

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΜΕΓΑΣ
ΑΘΑΝΑΣΙΟΣ
(ΜΕΡΟΣ

32



Printed in Greece
Athens 1963

**ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ**

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΔΕΥΤΕΡΟΣ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

(ΜΕΡΟΣ Γ′)



ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΘΗΝΑΙ 1963

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ
(ΜΕΡΟΣ Γ')

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣ ΜΑΡΚΕΛΛΙΝΟΝ ΕΙΣ ΤΗΝ ΕΡΜΗΝΕΙΑΝ ΤΩΝ ΨΑΛΜΩΝ.*

α΄. Ἄγαμαί σε τῆς ἐν Χριστῷ προαιρέσεως, φίλε Μαρκελλῖνε. Καὶ γὰρ καὶ τὸν παρόντα πειρασμόν, καίτοι πολλὰ παθὼν ἐν αὐτῷ, καλῶς φέρεις, καὶ τῆς ἀσκήσεως οὐκ ἀμελεῖς. Πυνθανόμενος γὰρ τοῦ κομίσαντος τὴν ἐπιστολήν, πῶς ἄρα καὶ μετὰ τὴν νόσον διάγεις, ἔμαθον πρὸς μὲν πᾶσαν τὴν θείαν Γραφὴν ἔχειν σε τὴν σχολήν, πυνότερον δὲ μάλιστα τῇ βίβλῳ τῶν Ψαλμῶν ἐντυγχάνειν, καὶ φιλονικεῖν τὸν ἐν ἑκάστῳ ψαλμῷ νοῦν ἐγκείμενον καταλαμβάνειν. Καὶ διὰ τοῦτο τοίνυν ἀποδέχομαί σε, πολὺν ἔχων εἰς αὐτὴν τὴν βίβλον κἀγὼ πόθον, ὥσπερ καὶ εἰς πᾶσαν τὴν Γραφήν. Καὶ γὰρ οὕτως ἔχων, συνέτυχόν τινι φιλοπόνῳ γέροντι, καὶ βούλομαι καί σοι, ἅπερ ἐκεῖνος κατέχων τὸ Ψαλτήριον περὶ αὐτοῦ μοι διηγήσατο, γράψαι· ἔχει γάρ τινα χάριν καὶ πιθανότητα μετ' εὐλόγου τοῦ διηγήματος. Ἔλεγε γὰρ οὕτως·

β΄. Πᾶσα μέν, ὦ τέκνον, ἡ καθ' ἡμᾶς Γραφή, παλαιά τε καὶ καινή, θεόπνευστός ἐστι καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, ὡς γέγραπται· ἔχει δέ τινα πιθανὴν παρατήρησιν τοῖς προσέχουσιν ἡ τῶν Ψαλμῶν βίβλος. Ἑκάστη μὲν γὰρ βίβλος τὸ ἴδιον ἐπάγγελμα διακονεῖ καὶ ἀπαγγέλλει· οἷον ἡ Πεντάτευχος γένεσιν κόσμου καὶ τῶν πατριαρχῶν τὰς πράξεις, τήν τε ἀπ' Αἰγύπτου τοῦ Ἰσραὴλ ἔξοδον, καὶ τὴν τῆς νομοθεσίας διάταξιν· ἡ Τρίτευχος τὴν κληροδοσίαν, καὶ τῶν κριτῶν τὰς πράξεις, καὶ γενεαλογίαν τοῦ Δαβίδ· αἱ Βασιλεῖαι καὶ Παραλειπόμεναι βασιλέων πράξεις· καὶ ὁ μὲν Ἔσδρας ἀπόλυσιν τῆς αἰχμαλωσίας καὶ ἐπάνοδον τοῦ λαοῦ, καὶ οἰκοδομὴν τοῦ ναοῦ καὶ τῆς πόλεως· οἱ δὲ Προφῆται προφητείας περὶ τῆς ἐπιδημίας τοῦ Σωτῆρος, ὑπομνήσεις τε περὶ τῶν ἐντολῶν, καὶ μέμψεις κατὰ τῶν παραβαινόντων, καὶ προφητείας τοῖς ἔθνεσιν. Ἡ δέ γε βίβλος τῶν Ψαλμῶν, ὡς παράδεισος τὰ ἐν αὐτῇ φέρουσα μελῳδεῖ, καὶ τὰ ἴδια πάλιν μετ' αὐτῶν ψάλλουσα δείκνυσι.

γ΄. Τὰ μὲν γὰρ τῆς Γενέσεως, ψάλλει ἐν τῷ ὀκτωκαιδεκάτῳ· «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα·» καὶ ἐν τῷ κγ΄· «Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν.» Τὰ δὲ τῆς Ἐξόδου καὶ τῶν Ἀρι-

---

* **Κατὰ τὴν ἔκδοσιν** J. P. Migne, Patrologiae Cursus Completus, **τ. 27, σ. 12 ἑξ.**

θμῶν καὶ τοῦ Δευτερονομίου ᾄδει καλῶς ἐν τῷ ἑβδομηκοστῷ ἑβδόμῳ ψαλμῷ, καὶ ἐν τῷ ἑκατοστῷ τρισκαιδεκάτῳ ψαλμῷ, λέγων· «Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ Ἰσραὴλ εἰς ἐξουσίαν αὐτοῦ.» Ψάλλει δὲ καὶ ταῦτα ἐν τῷ ἑκατοστῷ τετάρτῳ· «Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρών, ὃν ἐξελέξατο αὐτόν· ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ. Ἐξαπέστειλε σκότος, καὶ ἐσκότασε, καὶ παρεπίκραναν τοὺς λόγους αὐτοῦ. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν. Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν. Εἶπε, καὶ ἦλθε κυνόμυια καὶ σκνῖφες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.» Καὶ ὅλως ὅλον τε τὸν ψαλμὸν τοῦτόν τε καὶ ἑκατὸν πέμπτον περὶ τῶν αὐτῶν ἔστιν εὑρεῖν γεγραμμένον. Καὶ τὰ μὲν ἱερατείας καὶ τῆς σκηνῆς ἀναφωνεῖ ἐν ἐξοδίῳ σκηνῆς ἐν τῷ κη' ψαλμῷ· «Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν».

δ'. Τὰ δὲ τοῦ Ναυῆ καὶ τῶν Κριτῶν ἐμφαίνει πως ἐν τῷ ἑκατοστῷ ἕκτῳ, λέγων· «Καὶ συνεστήσαντο πόλεις κατοικεσίας, καὶ ἔσπειραν ἀγρούς, καὶ ἐφύτευσαν ἀμπελῶνας.» Ἐπὶ γὰρ τοῦ Ναυῆ διαδέδοται αὐτοῖς ἡ γῆ τῆς ἐπαγγελίας. Λέγων δὲ ἐν τῷ αὐτῷ ψαλμῷ συνεχῶς· «Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς·» σημαίνει τῶν Κριτῶν τὴν βίβλον· τότε γὰρ κραζόντων αὐτῶν ἤγειρε κατὰ τὸν καιρὸν κριτάς, καὶ ἔσῳζε τὸν λαὸν ἀπὸ τῶν θλιβόντων αὐτούς. Καὶ τὰ τῶν Βασιλειῶν ψάλλει πως ἐν τῷ ἐννεακαιδεκάτῳ, λέγων· «Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν. Κύριε, σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.» Τὰ δὲ τοῦ Ἔσδρα ἐν τῷ ἑκατονεικοστῷ πέμπτῳ τῶν ἀναβαθμῶν ᾄδει· «Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι·» καὶ πάλιν ἐν τῷ ἑκατονεικοστῷ πρώτῳ· «Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς οἶκον Κυρίου πορευσώμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό· ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, αἱ φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ.»

ε'. Τά τε τῶν Προφητῶν σχεδὸν ἐν ἑκάστῳ σημαίνει. Περὶ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, καὶ ὅτι μὲν Θεὸς ὢν ἐπιδημήσει, οὕτως φησὶν ἐν μὲν τῷ τεσσαρακοστῷ ἐνάτῳ ψαλμῷ· «Ὁ Κύριος ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται·» ἐν δὲ τῷ ἑκατοστῷ ἑπτακαιδεκάτῳ· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου· Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.» Ὅτι δὲ οὗτός ἐστιν ὁ τοῦ Πατρὸς Λόγος, οὕτως ἐν τῷ ἑκα-

τοστῷ ἕκτῳ ψάλλει· «Ἀπέστειλε τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.» Ὁ γὰρ ἐρχόμενος Θεὸς αὐτός ἐστι καὶ Λόγος ἀποστελλόμενος. Τοῦτον δὲ τὸν Λόγον εἰδὼς ὄντα τὸν Υἱὸν τοῦ Θεοῦ, ᾄδει φωνὴν τοῦ Πατρὸς ἐν τῷ τεσσαρακοστῷ τετάρτῳ ψαλμῷ· «Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν·» καὶ πάλιν ἐν τῷ ἑκατοστῷ ἐνάτῳ· «Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐξεγέννησά σε.» Τί γὰρ ἂν ἄλλο τις εἴποι γέννημα τοῦ Πατρὸς ἢ τὸν Λόγον καὶ τὴν Σοφίαν αὐτοῦ; Τοῦτον εἰδυῖα ὄντα, ᾧ εἶπεν ὁ Πατήρ· «Γενηθήτω φῶς[1]», καὶ «στερέωμα[2], καὶ τὰ πάντα», καὶ αὕτη ἡ βίβλος περιέχει λέγουσα· «Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.»

ς'. Καὶ Χριστὸν δὲ αὐτὸν ἐρχόμενον οὐκ ἠγνόησεν· ἀλλὰ καὶ μάλιστα περὶ τούτου λέγει ἐν τῷ τεσσαρακοστῷ τετάρτῳ ψαλμῷ· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.» Καὶ ἵνα μὴ κατὰ φαντασίαν τις ἔρχεσθαι αὐτὸν (εἶναι) νομίσῃ, σημαίνει αὐτὸν ἄνθρωπον γενησόμενον, καὶ τοῦτον εἶναι δι' οὗ τὰ πάντα γέγονε, λέγων ἐν τῷ ὀγδοηκοστῷ ἕκτῳ· «Μήτηρ Σιὼν ἐρεῖ· Ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.» Τοῦτο γὰρ ἴσον ἐστὶ τῷ εἰπεῖν· «Καὶ Θεὸς ἦν ὁ Λόγος·[3]» «πάντα δι' αὐτοῦ ἐγένετο·[4]» καὶ «ὁ Λόγος σὰρξ ἐγένετο.[5]» Διὰ τοῦτο καὶ τό, ἐκ Παρθένου, γινώσκων οὐκ ἐσιώπησεν, ἀλλ' εὐθὺς ἔμφασίν τινα δίδωσιν ἐν τῷ τεσσαρακοστῷ τετάρτῳ ψαλμῷ, λέγων· «Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, ὅτι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου.» Τοῦτο γὰρ πάλιν ὅμοιόν ἐστι τοῦ λεγομένου παρὰ τοῦ Γαβριήλ· «Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.[6]» Καὶ γὰρ εἰρηκὼς αὐτὸν Χριστόν, εὐθὺς καὶ τὴν ἀνθρωπίνην γένεσιν ἐκ τῆς Παρθένου ἐδήλωσε, λέγων· «Ἄκουσον, θύγατερ.» Ἰδὲ ὁ μὲν Γαβριὴλ ἐξ ὀνόματος καλεῖ Μαρίαν, ξένος ὢν αὐτῆς κατὰ τὴν γένεσιν· ὁ δὲ Δαβὶδ ἐκ τοῦ σπέρματος αὐτοῦ τυγχάνουσαν αὐτὴν εἰκότως θυγατέρα προσφωνεῖ ταύτην.

ζ'. Ἄνθρωπον δὲ αὐτὸν εἰρηκυῖα γενησόμενον, ἀκολούθως καὶ παθητὸν αὐτὸν σαρκὶ σημαίνει. Τήν τε ἐπιβουλὴν παρὰ τῶν Ἰουδαίων ὁρῶσα γινομένην, ψάλλει ἐν μὲν τῷ δευτέρῳ ψαλμῷ· «Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ·» ἐν δὲ τῷ εἰκοστῷ καὶ πρώτῳ τὴν ποιότητα

1. Γεν. 1, 3. 2. Γεν. 1, 6. 3. Ἰω. 1, 1. 4. Ἰω. 1, 3. 5. Ἰω. 1, 14. 6. Λουκ. 1, 28.

τοῦ θανάτου ἐκ προσώπου τοῦ Σωτῆρός φησιν· «Εἰς χοῦν θανάτου κατήγαγές με· ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. Αὐτοὶ δὲ κατενόησαν, καὶ ἐπεῖδόν με· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.» Τὸ δὲ τὰς χεῖρας καὶ τοὺς πόδας ὀρύττεσθαι, τί ἕτερον ἢ σταυρὸν λέγων σημαίνει; Πάντα ταῦτα διδάσκουσα προστίθησιν, ὅτι μὴ δι' ἑαυτόν, δι' ἡμᾶς δὲ ταῦτα πάσχει ὁ Κύριος. Καί φησιν ἐκ προσώπου πάλιν αὐτοῦ ἐν μὲν τῷ πζ'· «Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου·» ἐν δὲ τῷ ἑξηκοστῷ ὀγδόῳ· «Ἃ οὐχ ἥρπασα, τότε ἀπετίννυον.» Οὐ γὰρ ὑπεύθυνος ὢν ἀπέθνῃσκεν, ἀλλ' ὑπὲρ ἡμῶν ἔπασχε, καὶ τὸν καθ' ἡμῶν θυμὸν διὰ τὴν παράβασιν ἐφ' ἑαυτὸν ἐβάσταζε, λέγοντα διὰ τοῦ Ἠσαΐου· «Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε·[1]» καὶ λεγόντων μὲν ἡμῶν ἐν τῷ ἑκατοστῷ τριακοστῷ ἑβδόμῳ ψαλμῷ· «Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ·» λέγοντος δὲ καὶ τοῦ Πνεύματος ἐν ἑβδομηκοστῷ πρώτῳ· «Καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων, καὶ ταπεινώσει συκοφάντην, ὅτι ἐρρύσατο πτωχὸν ἐκ χειρὸς δυνάστου, καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός.»

η'. Διὰ τοῦτο καὶ τὴν εἰς οὐρανοὺς σωματικὴν αὐτοῦ ἄνοδον προμηνύει, καὶ λέγει ἐν μὲν εἰκοστῷ καὶ τρίτῳ· «Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης·» ἐν δὲ τῷ τεσσαρακοστῷ· «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.» Τὴν μὲν κάθισιν ἀναγγέλλει, καί φησιν ἐν μὲν τῷ ἑκατοστῷ ἐνάτῳ· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·» ἐν δὲ τῷ ἐνάτῳ καὶ τὴν γενομένην ἀπώλειαν τοῦ διαβόλου βοᾷ· «Ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην· ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής.» Καὶ γὰρ ὅτι τὴν κρίσιν πᾶσαν ἔλαβε παρὰ τοῦ Πατρός, οὐκ ἔκρυψεν καὶ κριτὴν πάντων αὐτὸν ἐρχόμενον προμηνύει ἐν μὲν οα'· «Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως, κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει·» ἐν δὲ τῷ μθ' φησί· «Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ. Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ· ὅτι ὁ Θεὸς κριτής ἐστι·» καὶ ἐν τῷ πα'· «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.» Καὶ μὴν καὶ τὴν κλῆσιν τῶν ἐθνῶν ἔστιν ἀπ' αὐτῆς μαθεῖν ἐπὶ πολλῶν μέν, μάλιστα δὲ ἀπὸ τοῦ μς'· «Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως·» ἐν δὲ τῷ οα'· «αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι· βασιλεῖς Θαρσεῖς καὶ αἱ νῆσοι δῶρα προσοίσουσι· βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσά-

1. Ἠσ. 53, 4.

ξουσι· καὶ προσκυνήσουσιν αὐτῷ πάντες, οἱ βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.» Ταῦτα μὲν ἐν τοῖς Ψαλμοῖς ᾄδεται, ἐν δὲ ἑκάστῃ τῶν ἄλλων βίβλων προαπαγγέλλεται.

θ'. Οὐκ ἀγνοῶν δὲ πάλιν ἔλεγεν, ὅτι καὶ ἐν ἑκάστῃ βίβλῳ τῆς Γραφῆς τὰ αὐτὰ περὶ τοῦ Σωτῆρος ἐξαιρέτως σημαίνεται· καὶ ἔστι τοῦτο πάσαις αὐταῖς ἀπάγγελμα, καὶ συμφωνία ἡ αὐτὴ τοῦ Πνεύματος. Καὶ γὰρ ὥσπερ τὰ τῶν ἄλλων ἐν ταύτῃ δυνατὸν εὑρεῖν· οὕτως καὶ τὰ ταύτης ἐν ταῖς ἑτέραις πολλάκις εὑρίσκεται. Καὶ γὰρ Μωϋσῆς ᾠδὴν γράφει, καὶ Ἡσαΐας ᾄδει, καὶ ὁ Ἀμβακοὺμ προσεύχεται μετ' ᾠδῆς. Πάλιν τε ἐν ἑκάστῃ βίβλῳ ἔστιν ἰδεῖν καὶ προφητείας καὶ νομοθεσίας καὶ ἱστορίας. Τὸ γὰρ αὐτὸ Πνεῦμα ἐπὶ πάντας ἐστί· καὶ κατὰ μὲν τὴν εἰς ἕκαστον γενομένην αὐτοῦ διαίρεσιν ἕκαστος τὴν δοθεῖσαν αὐτῷ χάριν διακονεῖ καὶ πληροῖ, εἴτε προφητεία ἐστίν, εἴτε νομοθεσία, εἴτε τῆς ἱστορίας ἡ μνήμη, εἴτε τῶν ψαλμῶν ἡ χάρις· ἐπειδὴ δὲ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμά ἐστιν, οὗπερ καὶ πᾶσαι διαιρέσεις εἰσίν, αὐτὸ δὲ ἀδιαίρετόν ἐστι κατὰ φύσιν· διά τοι τοῦτο τὸ ὅλον μέν ἐστιν ἑκάστῳ, κατὰ δὲ τὴν διακονίαν αἱ φανερώσεις καὶ αἱ διαιρέσεις τοῦ Πνεύματος ἑκάστοις γίνονται· καὶ λοιπὸν κατὰ τὴν ἀποκειμένην χρείαν πολλάκις ἕκαστος, ὑποσχοῦντος τοῦ Πνεύματος, διακονεῖ τὸν λόγον· ὥστε, καθὰ προεῖπον, νομοθετοῦντα Μωϋσῆν προφητεύειν ποτὲ καὶ ᾄδειν, καὶ προφητεύοντας τοὺς προφήτας ἐντέλλεσθαί ποτε· «Λούσασθε, καθαροὶ γίνεσθε.[1]» «Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ·[2]» καὶ ἱστορεῖν ποτε, τὸν μὲν Δανιὴλ τὰ κατὰ Σουσάνναν[3], τὸν δὲ Ἡσαΐαν τὰ κατὰ τὸν Ῥαψάκην καὶ τὸν Σενναχηρείμ.[4] Οὕτως γὰρ καὶ ἡ τῶν Ψαλμῶν βίβλος, ἔχουσα τὸ ἴδιον τῶν ᾠδῶν, ὅπερ ἐν ταῖς ἄλλαις βίβλοις διεξοδικῶς εἴρηται, ταῦτα αὐτὴ τῇ κατὰ πλάτος φωνῇ μετὰ μέλους ψάλλει, καθὼς προείρηται. Νομοθετεῖ γοῦν ποτε καὶ αὐτή· «Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν·[5]» καί, «Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν·[6] ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν.» Καὶ ἱστορεῖ δέ ποτε κατὰ τὴν ὁδὸν τοῦ Ἰσραήλ, καὶ προφητεύει περὶ τοῦ Σωτῆρος, ὥσπερ εἴρηται πρότερον.

ι'. Κοινὴ μὲν οὖν τοιαύτη τοῦ Πνεύματος χάρις ἔστω παρὰ πᾶσι, καὶ ἐν ἑκάστῳ γινομένη εὑρισκέσθω, καὶ παρὰ πᾶσιν ἡ αὐτή, ὡς ἐὰν ἡ χρεία ἀπαιτῇ, καὶ τὸ Πνεῦμα βούληται. Οὐ διαφέρει γὰρ τὸ πλέον καὶ ἔλαττον ἐν ταύτῃ τῇ χρείᾳ, ὡς ἕκαστος ἀνενδότως τὴν ἰδίαν ἀποπληροῖ καὶ τελειοῖ διακονίαν. Ἡ δέ γε βίβλος τῶν Ψαλμῶν καὶ οὕτως ἔχει τινὰ πάλιν χάριν ἰδίαν καὶ παρατήρησιν ἐξαίρετον· πρὸς γὰρ τοῖς ἄλλοις, ἐν οἷς πρὸς τὰς ἄλλας βίβλους ἔχει τὴν σχέσιν καὶ κοινωνίαν, λοιπὸν καὶ ἴδιον ἔχει τοῦτο θαῦμα, ὅτι καὶ τὰ ἑκάστης

1. Ἠσ. 1, 16. 2. Ἱερ. 4, 14. 3. Πρβλ. Δαν. (Σωσ.). 4. Πρβλ. Ἠσ. 36, 37. 5. Ψαλμ. 36, 8. 6. Ψαλμ. 33, 15.

ψυχῆς κινήματα, τάς τε τούτων μεταβολὰς καὶ διορθώσεις ἔχει διαγεγραμμένας καὶ διατετυπωμένας ἐν ἑαυτῇ· ὥστε τινὰ τὸν βουλόμενον ὡς ἄπειρον ἐξ αὐτῆς λαμβάνειν καὶ κατανοεῖν, οὕτω τὸ τυποῦν ἑαυτόν, ἐκεῖ γέγραπται. Ἐν μὲν γὰρ ταῖς ἄλλαις βίβλοις μόνον τις ἀκούει τὸν νόμον προστάττοντα, ἃ (μὴ) δεῖ ποιεῖν καὶ μὴ δεῖ πράττειν· προφητείας τε κατακούει,ὥστε μόνον εἰδέναι τὸν ἐρχόμενον Σωτῆρα· καὶ ἱστορίαις δὲ προσέχει, ἐξ ὧν γινώσκειν δύναται τὰς τῶν βασιλέων καὶ τὰς τῶν ἁγίων πράξεις. Ἐν δὲ τῇ βίβλῳ τῶν Ψαλμῶν, πρὸς τῷ ταῦτα μανθάνειν τὸν ἀκούοντα, ἔτι καὶ τὰ κινήματα τῆς ἑαυτοῦ ψυχῆς ἐν αὐτῇ κατανοεῖ καὶ διδάσκεται· καὶ λοιπὸν πρὸς ὃ πάσχει καὶ ἐν ᾧ συνέχεται, δύναται πάλιν ἐκ ταύτης ἔχεσθαι τὴν εἰκόνα τῶν λόγων· ὥστε μὴ μόνον ἀκούσαντα παρέρχεσθαι, ἀλλὰ καὶ πῶς δεῖ λέγοντα καὶ ποιοῦντα θεραπεύειν τὸ πάθος, διδάσκει. Εἰσὶ μὲν γὰρ καὶ ἐν ταῖς ἄλλαις βίβλοις κωλυτικοὶ λόγοι ἀπαγορεύοντες τὰ φαῦλα· ἐν ταύτῃ δὲ καὶ πῶς ἀπέχεσθαι δεῖ τετύπωται· οἷον παράγγελμά ἐστι τὸ μετανοεῖν· τὸ δὲ μετανοεῖν παύεσθαι τῆς ἁμαρτίας ἐστίν· ἐνταῦθα δὲ καὶ πῶς μετανοεῖν, καὶ τί δεῖ λέγειν ἐπὶ τῇ μετανοίᾳ, τετύπωτο. Καὶ πάλιν εἴρηκεν ὁ Παῦλος· «Ἡ θλίψις τῇ ψυχῇ ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.[1]» Ἐν δὲ τοῖς Ψαλμοῖς καὶ πῶς δεῖ φέρειν τὰς θλίψεις, καὶ τί θλιβόμενον δεῖ λέγειν, καὶ τί μετὰ τὰς θλίψεις, καὶ πῶς ἕκαστος δοκιμάζεται, καὶ τίνες οἱ λόγοι τῶν ἐλπιζόντων ἐπὶ Κύριον, γέγραπται καὶ κεχάρακται. Πάλιν τε ἐντολή ἐστιν ἐν παντὶ εὐχαριστεῖν·[2] ἀλλὰ καὶ τί δεῖ λέγειν εὐχαριστοῦντας διδάσκουσιν οἱ Ψαλμοί. Εἶτα παρ' ἑτέρων ἀκούοντες· «Ὅσοι θέλουσιν εὐσεβῶς ζῆν διωχθήσονται[3]», παρὰ τούτων διδασκόμεθα, καὶ πῶς δεῖ φεύγοντας φωνεῖν, καὶ τίνας διωκομένους καὶ μετὰ τὸν διωγμὸν ῥυσθέντας δεῖ λόγους ἀναφέρειν τῷ Θεῷ. Εὐλογεῖν παραγγελλόμεθα τὸν Κύριον, καὶ ἐξομολογεῖσθαι αὐτῷ· ἀλλ' ἐν τοῖς Ψαλμοῖς τυπούμεθα πῶς τε αἰνεῖν δεῖ τὸν Κύριον, καὶ τίνα ῥήματα λέγοντες ἐξομολογούμεθα πρεπόντως. Καὶ ἐφ' ἑκάστου δέ τις οὕτως ἂν εὕροι τὰς θείας ᾠδάς, πρὸς ἡμᾶς καὶ ἡμῶν κινήσεις καὶ καταστάσεις κειμένας.

ια'. Καὶ γὰρ καὶ τοῦτο παράδοξόν ἐστι πάλιν ἐν τοῖς Ψαλμοῖς, ὅτι ἐν μὲν ταῖς ἄλλαις βίβλοις ἃ λέγουσιν οἱ ἅγιοι, καὶ περὶ ὧν ἂν λέγωσι, ταῦτα καὶ οἱ ἀναγινώσκοντες, περὶ ὧν ἐκεῖνα γέγραπται, ἀπαγγέλλοντές εἰσιν· οἵ τε ἀκούοντες ἄλλους ἑαυτοὺς ἐκείνων ἡγοῦνται, περὶ ὧν ὁ λόγος φησί, καὶ τὰς ἐπαγγελλομένας δὲ πράξεις, ἄχρι τοῦ θαυμάζειν καὶ ζηλοῦν αὐτάς, εἰς τὸ μιμεῖσθαι γίνονται. Ταύτην δὲ βίβλον ὁ λαμβάνων τὰς μὲν περὶ τοῦ Σωτῆρος προφητείας συνήθως ἐν ταῖς ἄλλαις Γραφαῖς θαυμάζων καὶ προσκυνῶν διεξέρχεται, τοὺς δὲ ἑτέρους ψαλμοὺς ὡς ἰδίους ὄντας λόγους ἀναγινώσκει· καὶ ὁ

1. Ῥωμ. 5, 7-5. 2. Πρβλ. Α' Θεσσ. 5, 18. 3. Β' Τιμ. 3, 12.

ἀκούων δὲ ὡς αὐτὸς λέγων κατανύσσεται, καὶ συνδιατίθεται τοῖς τῶν ᾠδῶν ῥήμασιν, ὡς ἰδίαν ὄντων αὐτοῦ. Σαφηνείας δὲ χάριν οὐκ ὀκνητέον, κατὰ τὸν μακάριον Ἀπόστολον, ἐπαναλαβόντα τὸ αὐτὸ λέγειν. Πλεῖστοι λόγοι τῶν πατριαρχῶν εἰσι, καὶ ἴδιοι παρ' αὐτῶν εἰρημένοι· καὶ Μωϋσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο· Ἠλίας τε καὶ Ἐλισσαῖος ἐπὶ τὸ Καρμήλιον ὄρος καθήμενοι ἐπεκαλοῦντο τὸν Κύριον, καὶ ἀεὶ ἔλεγον· «Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον.[1]» Οἵ τε τῶν ἄλλων ἁγίων προφητῶν λόγοι προηγούμενοι μέν εἰσιν οἱ περὶ τοῦ Σωτῆρος· ἔπειτα δὲ καὶ πλεῖστοι γεγόνασι τοῖς τε ἔθνεσι καὶ τῷ Ἰσραήλ. Καὶ ὅμως οὐδεὶς οὔτε τῶν πατριαρχῶν λόγους ὡς ἰδίους ἄν ποτε εἴποι, οὔτε τολμήσοι τις μιμήσασθαι καὶ εἰπεῖν τὰ Μωϋσέως ἴδια ῥήματα, οὐδὲ τοῦ Ἀβραὰμ περὶ τοῦ οἰκογενοῦς καὶ τοῦ Ἰσμαὴλ καὶ τὰ περὶ τοῦ μεγάλου Ἰσαάκ, κἂν ἡ αὐτὴ χρεία τινὰ καὶ ἀνάγκη καταλάβῃ, τολμήσας ἄν τις ὡς ἴδια εἴποι. Ἂν δὲ καὶ συμπάσχῃ τις τοῖς πάσχουσι, καὶ πόθον ποτὲ λάβῃ τοῦ κρείττονος, οὔποτ' ἂν εἴπει ὡς Μωϋσῆς· «Ἐμφάνισόν μοι σεαυτόν·[2]» ἢ πάλιν· «Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ ἀφῇς, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας.[3]» Ἀλλ' οὐδέ, τὰς τῶν προφητῶν τις λαμβάνων ὡς ἴδια ῥήματα, μέμψαιτό τις ἢ ἐπαινέσειε τούτοις τὰ ὅμοια πράξαντας, οἷς ἐμέμψαντο καὶ ἐπήνεσαν ἐκεῖνοι· οὐδὲ τό, «Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον», μιμήσεται ἄν τις εἰπεῖν ὡς ἴδιον λόγον. Καὶ γὰρ καὶ ὁ ἐντυγχάνων ταῖς βίβλοις φανερός ἐστι μὴ ὡς ἰδίους, ἀλλὰ τῶν ἁγίων καὶ τῶν δι' αὐτῶν δηλουμένων λέγων τοὺς λόγους. Τοὺς δέ γε Ψαλμούς, τὸ παράδοξον, μετὰ τὰς περὶ τοῦ Σωτῆρος καὶ τῶν ἐθνῶν προφητείας ὁ λέγων τὰ ἄλλα ὡς ἴδια ῥήματα λαλῶν ἐστι, καὶ ὡς περὶ αὐτοῦ γραφέντας αὐτοὺς ἕκαστος ψάλλει, καὶ οὐχ ὡς ἑτέρου λέγοντος ἢ περὶ ἑτέρου σημαίνοντος δέχεται, καὶ διεξέρχεται· ἀλλ' ὡς αὐτὸς περὶ αὐτοῦ λαλῶν διατίθεται· καὶ οἷά ἐστι τὰ λεγόμενα, ταῦτα ὡς αὐτὸς πράξας καὶ ἐξ ἑαυτοῦ λαλῶν ἀναφέρει τῷ Θεῷ. Οὐ γὰρ ὡς τὰ τῶν πατριαρχῶν ῥήματα, καὶ Μωϋσέως, καὶ τῶν ἄλλων προφητῶν, εὐλαβηθήσεται καὶ ταῦτα· ἀλλὰ καὶ μάλιστα ὡς ἴδια καὶ περὶ ἑαυτοῦ γραφέντα θαρσεῖ λέγων ὁ ψάλλων ταῦτα. Τὸν γὰρ φυλάξαντα τὴν ἐντολήν, καὶ παραβάντα ταύτην, τήν τε ἑκατέρου πρᾶξιν περιέχουσιν οἱ Ψαλμοί. Ἀνάγκη δὲ πάντα ἄνθρωπον ἐν τούτοις συνέχεσθαι, καὶ ἢ ὡς φυλάξαντα τὴν ἐντολήν, ἢ ὡς παραβάντα ταύτην, λέγειν τοὺς περὶ ἑκάστου γεγραμμένους λόγους.

ιβ'. Καί μοι δοκεῖ τῷ ψάλλοντι γίνεσθαι τούτους ὥσπερ εἴσοπτρον, εἰς τὸ κατανοεῖν καὶ αὐτὸν ἐν αὐτοῖς καὶ τὰ τῆς ἑαυτοῦ ψυχῆς κινήματα, καὶ οὕτως αἰσθόμενον ἀπαγγέλλειν αὐτούς. Καὶ γὰρ καὶ ὁ ἀκούων τοῦ ἀναγινώσκοντος ὡς περὶ αὐτοῦ λεγομένην τὴν ᾠδὴν

1. Γ' Βασ. 17, 1. Δ' Βασ. 3, 14. 2. Ἔξ. 33, 13. 3. Ἔξ. 32, 32.

καταδέχεται· καὶ ἢ ἐλεγχόμενος ὑπὸ τοῦ συνειδότος κατανυγεὶς μετανοήσει, ἢ περὶ τῆς εἰς Θεὸν ἐλπίδος ἀκούων καὶ τῆς εἰς τοὺς πιστεύοντας γινομένης ἀντιλήψεως, ὡς εἰς αὐτὸν γενομένης τοιαύτης χάριτος ἀγαλλιᾶται, καὶ εὐχαριστεῖν ἄρχεται τῷ Θεῷ. Ὅτε γοῦν τὸν τρίτον ψάλλει τις εἰς τὰς ἰδίας θλίψεις συνορῶν, ὡς αὐτοῦ εἶναι νομίζει τὰ ἐν τῷ ψαλμῷ ῥήματα· καὶ τότε τὸν ια' καὶ τὸν ις' ὡς εἰς τὴν ἰδίαν πεποίθησιν καὶ προσευχήν ἐστιν ἀπαγγέλλων· καὶ τὸν μὲν ν' ψαλμὸν ὡς αὐτός ἐστι τὰ ἴδια τῆς μετανοίας ἑαυτοῦ λέγων ῥήματα· τὸν δὲ νγ', καὶ τὸν νε', καὶ τὸν νς' καὶ τὸν ρμα', ὅτε ψάλλει τις, οὐχ ὡς ἄλλου διωκομένου, ἀλλ' ὡς ὢν ὁ πάσχων συνδιατίθεται, καὶ ᾄδει τῷ Κυρίῳ ὡς ἰδίους τοὺς λόγους τούτους. Καὶ ὅλως οὕτως ἕκαστος ψαλμὸς παρὰ τοῦ Πνεύματος εἴρηταί τε καὶ συντέτακται, ὡς ἐν αὐτοῖς, κατὰ πρότερον εἴρηται, τὰ κινήματα τῆς ψυχῆς ἡμῶν κατανοεῖσθαι, καὶ πάντας αὐτοὺς ὡς περὶ ἡμῶν εἰρῆσθαι, καὶ εἶναι ἡμῶν αὐτοὺς ὡς ἰδίους λόγους, εἰς ἀνάμνησιν τῶν ἐν ἡμῖν κινημάτων καὶ διόρθωσιν τῆς ἡμῶν πολιτείας. Ἃ γὰρ οἱ ψάλλοντες εἰρήκασι, ταῦτα καὶ ἡμῶν δύνανται τύποι καὶ χαρακτῆρες εἶναι.

ιγ'. Αὕτη δὲ πάλιν τοῦ Σωτῆρός ἐστιν ἡ χάρις· ἄνθρωπος γὰρ δι' ἡμᾶς γενόμενος, τὸ μὲν σῶμα τὸ ἴδιον ὑπὲρ ἡμῶν προσήνεγκεν εἰς θάνατον, ἵνα πάντας ἀπαλλάξῃ τοῦ θανάτου· τὴν δὲ οὐράνιον καὶ εὐάρεστον ἑαυτοῦ πολιτείαν δεῖξαι θέλων ἡμῖν, ἐν ἑαυτῷ ταύτην ἐτύπωσεν, ὑπὲρ τοῦ μηκέτι τινὰς εὐχερῶς ἀπατᾶσθαι παρὰ τοῦ ἐχθροῦ, ἔχοντας ἐνέχυρον πρὸς ἀσφάλειαν, τὴν παρ' αὐτοῦ γενομένην ὑπὲρ ἡμῶν κατὰ τοῦ διαβόλου νίκην. Διὰ τοῦτο γοῦν οὐ μόνον ἐδίδαξεν, ἀλλὰ καὶ πεποίηκεν ἃ ἐδίδαξεν, ἵνα ἕκαστος ἀκούῃ μὲν αὐτοῦ λαλοῦντος, ὡς ἐν εἰκόνι δὲ βλέπων λαμβάνῃ παρ' αὐτοῦ τὸ παράδειγμα τοῦ ποιεῖν, ἀκούων· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.[1]» Τελειοτέραν δὲ καὶ εἰς ἀρετὴν διδασκαλίαν οὐκ ἄν τις εὕροι, ἧς ὁ Κύριος ἐτύπωσεν ἐν ἑαυτῷ. Εἴτε γὰρ ἀνεξικακίαν, εἴτε φιλανθρωπίαν, εἴτε ἀγαθότητα, εἴτε ἀνδρίαν, εἴτε ἐλεημοσύνην, εἴτε δικαιοσύνην, πάντα ἐν αὐτῷ τις εὑρήσει γενόμενα, ὥστε μηδὲν εἰς ἀρετὴν λείπειν τῷ κατανοοῦντι τὸν ἀνθρώπινον βίον τοῦτον. Τοῦτο γὰρ ὁ Παῦλος εἰδὼς ἔλεγε· «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.[2]» Οἱ μὲν παρ' Ἕλλησι νομοθέται ἄχρι τοῦ λέγειν ἔχουσι τὴν χάριν· ὁ δὲ Κύριος, ὡς ἀληθῶς Κύριος ὢν τοῦ παντός, καὶ κηδόμενος ὧν εἰργάσατο, οὐ μόνον νομοθετεῖ, ἀλλὰ καὶ τύπον ἑαυτὸν δέδωκεν, εἰς τὸ εἰδέναι τοὺς βουλομένους τὴν τοῦ ποιεῖν δύναμιν. Διὰ τοῦτο γοῦν καὶ πρὸ τῆς εἰς ἡμᾶς αὐτοῦ ἐπιδημίας ἐνήχησε καὶ ἐν τοῖς ψάλλουσι τοῦτο, ἵν' ὥσπερ ἐν αὐτῷ τὸν ἐπίγειον καὶ οὐράνιον ἄνθρωπον τυπῶν ἔδειξεν, οὕτω καὶ ἐκ τῶν Ψαλμῶν τὰ κινήματα καὶ τὰς διαθέσεις τῶν ψυχῶν ὁ βουλόμενος καταμαθεῖν δύνηται, εὑρίσκων ἐν

1. Ματθ. 11, 29. 2. Α' Κορ. 11, 1.

αὐτοῖς καὶ τὴν ἑκάστου κινήματος θεραπείαν τε καὶ διόρθωσιν.

ιδ.' Εἰ γὰρ δεῖ καὶ πιθανώτερον εἰπεῖν, πᾶσα μὲν ἡ θεία Γραφὴ διδάσκαλός ἐστιν ἀρετῆς καὶ πίστεως ἀληθοῦς· ἡ δέ γε βίβλος τῶν Ψαλμῶν ἔχει καὶ τὴν εἰκόνα πως τῆς διαγωγῆς τῶν ψυχῶν. Ὡς γὰρ ὁ εἰσερχόμενος πρὸς βασιλέα τυποῦται καὶ τῷ σχήματι καὶ τοῖς ῥήμασιν, ἵνα μή, παρὰ ταῦτα λέγων, ὡς ἀπαίδευτος ἐκβληθῇ· οὕτως ἡ θεία βίβλος τὸν ἐπ' ἀρετῇ τρέχοντα καὶ βουλόμενον κατανοῆσαι τὴν τοῦ Σωτῆρος ἐν σώματι πολιτείαν ὑπομιμνήσκει πρῶτον διὰ τῆς ἀναγνώσεως τὰ κινήματα τῆς ψυχῆς, καὶ οὕτω λοιπὸν τυποῖ καὶ διδάσκει τοὺς ἐντυγχάνοντας τοῖς τοιούτοις λόγοις. Εἰσὶ μὲν οὖν, ἵνα τοῦτο πρῶτόν τις τῆς βίβλου παρατηρήσηται, οἱ μὲν ἐν διηγήματι λεγόμενοι, οἱ δὲ ἐν παραινέσει, οἱ δὲ ἐν προφητείᾳ, οἱ δὲ ὡς ἐν εὐχῇ, οἱ δὲ ἐν ἐξομολογήσει.

Καὶ εἰσὶ μὲν οἱ ἐν διηγήματι ιη', μγ', μη', μθ', οβ', ος', οζ', πη', ρς', ριγ', ρκς' ρλς'.

Οἱ δὲ ὡς ἐν εὐχῇ, ις', ξζ', πθ', ρα', ρλα', ρμα'.

Οἱ δὲ ὡς ἐν ἐντυχίᾳ καὶ εὐχῇ καὶ δεήσει ε', ς', ζ', ια', ιβ', ιε', κδ', κζ', λ', λδ', λζ', μβ', νγ', νδ, νε', νς', νη', νθ', ξ', ξγ', πβ', πε', πζ', ρλζ' ρλθ', ρμβ'.

Καὶ ὁ μὲν ὡς ἐν ἐντυχίᾳ καὶ εὐχαριστίᾳ ρλη'.

Οἱ δὲ ὡς ἐν ἐντυχίᾳ μόνῃ γ', κε', ξη', ξθ', ο', ογ', οη', οθ', ρη', ρκβ', ρλ'.

Καὶ οἱ μὲν ἐν ἐξομολογήσει θ', οδ', ϟα', ρδ', ρε', ρς', ρζ', ρι', ριζ', ρλε', ρλζ.

Οἱ δὲ συμπεπλεγμένην ἔχοντες ἐξομολόγησιν καὶ διήγησιν θ', οδ', ρε', ρς' ριζ', ρλζ'.

Ὁ δὲ συμπεπλεγμένην ἔχων ἐξομολόγησιν καὶ διήγησιν μετὰ αἰνέσεως ρι'.

Καὶ ὁ μὲν ἐν παραινέσει ἐστὶ λς'.

Οἱ δὲ ἐν προφητείᾳ κ', κα', μδ', μς' οε'.

Καὶ ἀπαγγελτικὸς μὲν μετὰ προφητείας ρθ'.

Προτρεπτικοὶ δὲ καὶ ὡς παρακελευόμενοί εἰσι κη', λβ', π', ϟδ', ϟε', ϟς', ϟζ', ρβ', ργ', ριγ'.

Προτρεπτικὸς δὲ μετὰ ᾄσματος ἐλέχθη ρμθ'.

Καὶ οἱ μὲν διαγράφοντες τὸν ἐνάρετον βίον εἰσὶ ρδ', ρια', ριη', ρκδ', ρλβ'.

Οἱ δὲ αἶνον ἀπαγγέλλοντες οὗτοί εἰσιν ϟ', ριβ', ρις', ρλδ', ρμδ', ρμε', ρμς', ρμη', ρν'.

Καὶ οἱ μὲν εὐχαριστικοί εἰσιν η', θ', ιζ', λγ', με', ξβ', ος', πδ', ριδ', ριε', ρκ', ρκα', ρκγ', ρκε' ρκη', ρμγ'.

Οἱ δὲ μακαρισμὸν ἀναφωνοῦντές εἰσιν α', λα', μ', ριη', ρκζ'.

Καὶ ἄλλος ἐπιδεικτικὸς προθυμίας μετ' ᾠδῆς ρζ'.

Καὶ ὁ μὲν προτρεπτικὸς εἰς ἀνδρίαν ἐστὶ π'.

Οἱ δὲ κατηγορικοὶ τῶν ἀσεβῶν καὶ παρανόμων εἰσὶ β', ιγ', λε', νά, νβ'.

Καὶ ὁ μὲν ἐπικλήσεώς ἐστι δ'.

Οἱ δὲ ἐπευκτικὰ ἀπαγγέλλουσιν, ὡς ιθ' καὶ ξγ'.

Καὶ οἱ μὲν καυχήσεως τῆς ἐν Κυρίῳ ἀπαγγέλλοντες λόγους εἰσὶ κβ' καὶ κς', λη', λθ', μα', ξα', οε', πγ', ϟς', ϟη', ρνα'.

Οἱ δὲ ἐντρεπτικοί εἰσι νζ', πα'.

Καὶ οἱ μὲν ὕμνου ῥήματα λέγουσι μζ', ξδ'.

Ὁ δὲ ἀλαλαγμοῦ καὶ περὶ ἀναστάσεως ξε'.

Καὶ ἕτερος ἀλαλαγμοῦ μόνον ῥήματα λέγειν ϟθ'.

ιε'. Τοιαύτης οὖν τῆς διατάξεως οὔσης τῶν Ψαλμῶν, ἔστι λοιπὸν δυνατὸν τοὺς ἐντυγχάνοντας εὑρεῖν ἐν ἑκάστῳ, καθὰ προεῖπον, τὰ κινήματα καὶ τὴν κατάστασιν τῆς ἰδίας ψυχῆς, οὕτως τε περὶ ἑκάστου τὸν τύπον καὶ τὴν διδασκαλίαν· καὶ τίνα μὲν λέγων ἀρέσκειν δύναται τῷ Κυρίῳ, διὰ ποίων δὲ ῥημάτων ἑαυτὸν διορθοῦσθαι δύναται, καὶ εὐχαριστεῖν τῷ Κυρίῳ, ὑπὲρ τοῦ μὴ εἰς ἀσέβειαν ἐκπίπτειν τὸν παρὰ τοιαῦτα λέγοντα. Οὐ γὰρ μόνον περὶ τῶν ἔργων, ἀλλὰ καὶ περὶ ἀργοῦ ῥήματος ἀποδοῦναι λόγον ἔχομεν τῷ Κριτῇ.[1] Ἄν τε τοίνυν μακαρίσαι τινὰ θελήσῃς, ἔχεις πῶς δεῖ, καὶ ἐπὶ τίνι, καὶ τίνα δεῖ λέγειν, τόν τε α' καὶ τὸν λα', καὶ μ', καὶ ριά' καὶ ριη', καὶ ρκζ'· ἄν τε μέμψασθαι τὴν Ἰουδαίων κατὰ τοῦ Σωτῆρος ἐπιβουλήν, ἔχεις τὴν δευτέραν ᾠδήν. Ἂν δὲ διώκῃ παρὰ τῶν ἰδίων, καὶ πολλοὺς ἔχῃς τοὺς ἐπαναστάντας κατὰ σοῦ, λέγε τὸν γ' ψαλμόν. Εἰ δὲ οὕτως θλιβόμενος ἐπεκαλέσω τὸν Κύριον, καὶ εἰσακουσθεὶς θέλεις εὐχαριστεῖν, ψάλλε τὸν τέταρτον, καὶ οδ', καὶ ριδ'. Καὶ ἐάν, ἔτι τοὺς πονηρευομένους βλέπων ἐνεδρεύειν θέλοντας, ἐνωτίζεσθαί σου θέλῃς τὴν εὐχήν, ὀρθρίζων τὸ πρωῒ ψάλλε τὸν ε'. Αἰσθόμενος δὲ ἀπειλῆς τοῦ Κυρίου, ἐὰν διὰ τοῦτο ταραττόμενον σεαυτὸν βλέπῃς, δύνασαι λέγειν τὸν ς' καὶ τὸν λζ'. Ἐὰν δὲ καὶ βουλεύωνταί τινες κατὰ σοῦ, ὡς ὁ Ἀχιτόφελ κατὰ τοῦ Δαβίδ, καὶ τοῦτό σοί τις ἀπαγγείλῃ, ψάλλε τὸν ζ', καὶ θάρρει τῷ ῥυομένῳ σε Θεῷ.

ις'. Βλέπων δὲ τὴν πανταχοῦ χάριν τοῦ Σωτῆρος ἐκτεταμένην, καὶ σωθὲν τὸ γένος τῶν ἀνθρώπων, ἐὰν προσφωνεῖν θέλῃς τῷ Κυρίῳ, ψάλλε τὸν η'. Ἀλλὰ πάλιν ᾆσαι θέλεις ἐπιλήνιον, εὐχαριστῶν τῷ Κυρίῳ, ἔχεις αὐτὸν πάλιν τὸν η' καὶ τὸν πγ'. Ἐπὶ δὲ τῷ κατηργῆσθαι τὸν ἐχθρὸν καὶ σεσῶσθαι τὴν κτίσιν, μὴ καυχώμενος ἐπὶ σαυτῷ, ἀλλὰ εἰδὼς τὸν Υἱὸν τοῦ Θεοῦ τοῦτο κατορθώσαντα, λέγε τὸν εἰς αὐτὸν εἰρημένον θ' ψαλμόν. Καὶ ἐὰν λίαν σέ τις ταράσσειν ἐθέλῃ, ἔχε σὺ τὴν πεποίθησιν εἰς τὸν Κύριον, καὶ ψάλλε τὸν ι'. Ὅταν δὲ τὴν τῶν πολλῶν ὑπερηφανίαν ἴδῃς καὶ πλεονάζουσαν τὴν κακίαν, ὥστε μηδὲν ὅσιον ἐπ' ἀνθρώποις γενέσθαι, κατάφυγε σὺ ἐπὶ τὸν Κύριον,

1. Πρβλ. Ματθ. 12, 36.

καὶ λέγε τὸν ια'. Ἐγχρονιζούσης δὲ τῆς παρὰ τῶν ἐχθρῶν ἐπιβουλῆς, μὴ ὀλιγώρει ὡς ἐπιλησθεὶς παρὰ τῷ Θεῷ, ἀλλὰ παρακάλει τὸν Κύριον ᾄδων τὸν ιβ'. Ἐπειδὰν βλασφημούντων τινῶν κατὰ τῆς Προνοίας ἀκούσῃς, μὴ κοινώνει μὲν αὐτῶν τῇ ἀσεβείᾳ, ἐντυγχάνων δὲ τῷ Θεῷ, λέγε τὸν ιγ' καὶ νβ'. Καὶ λοιπὸν ἐὰν θέλῃς μαθεῖν ὁποῖός ἐστι τῆς βασιλείας τῶν οὐρανῶν ὁ πολίτης, ψάλλε τὸν ιδ'.

ιζ'. Προσευχῆς σοι χρεία διὰ τοὺς ἀνθεστηκότας σοι καὶ περιέχοντάς σου τὴν ψυχήν, ᾆδε τὸν ις', καὶ τὸν πε', καὶ τὸν πζ', καὶ τὸν ρμ'. Ἀλλὰ θέλεις μαθεῖν, πῶς Μωϋσῆς προσηύξατο, ἔχεις τὸν πθ'. Ἀλλ' ἐσώθης ἀπὸ τῶν ἐχθρῶν σου, καὶ ἐρρύσθης ἀπὸ τῶν διωκόντων σε, ᾆδε καὶ σὺ τὸν ιζ' ψαλμόν. Θαυμάζεις τὴν τῆς κτίσεως τάξιν, καὶ τὴν εἰς αὐτὴν τῆς Προνοίας χάριν, τοῦ τε νόμου τὰ ἱερὰ προστάγματα, ψάλλε τὸν ιη' καὶ τὸν κγ'. Θλιβομένους δὲ ὁρῶν, παρακάλει τούτους, ἐπευχόμενος καὶ λέγων αὐτοῖς τὰ ἐν τῷ ιθ' ψαλμῷ ῥήματα. Ὁρᾷς σεαυτὸν ποιμαινόμενον καὶ εὐοδούμενον παρὰ τοῦ Κυρίου, χαίρων ἐπὶ τούτῳ ψάλλε τὸν κβ'. Οἱ ἐχθροὶ περὶ σέ, ἀλλὰ σὺ τὴν ψυχὴν ἐπαίρων πρὸς Θεόν, λέγε τὸν κδ', καὶ ὄψει τούτους «ἁμαρτάνοντας διακενῆς.» Ἐπιμένουσιν οἱ ἐχθροί, οὐδὲν ἕτερον ἢ τὰς χεῖρας ἔχοντες αἱμάτων πλήρεις, καὶ ζητοῦντες ἑλκῦσαί σε καὶ ἀπολέσαι, μὴ δῷς ἀνθρώπῳ τὸ κρῖμα (ὕποπτα γὰρ πάντα τὰ ἀνθρώπινα)· ἀλλὰ τὸν Θεὸν ἀξιῶν κριτὴν γενέσθαι (μόνος γὰρ αὐτὸς δίκαιος), λέγε τὰ ἐν τῷ κε', καὶ τὸν λδ', καὶ τὸν μβ'. Ἐὰν δὲ καὶ τραχύτερον ἐπίθωνται, καὶ πλῆθος ὡς παρεμβολαὶ γένωνται οἱ ἐχθροί, καταφρονοῦντες ὡς μήπω σου χρισθέντος, καὶ διὰ τοῦτο πολεμεῖν ἐθέλοντες, μὴ πτήξῃς, ἀλλ' ᾆδε τὸν κς' ψαλμόν. Ἐπειδὴ δὲ ἀσθενής ἐστιν ἡ φύσις τῶν ἀνθρώπων, ἐὰν πάλιν ἀναισχυντῶσιν οἱ ἐπιβουλεύοντες, ἵνα μὴ πρὸς ἐκείνους ἔχῃς τὴν σχολήν, κράζε πρὸς τὸν Θεόν, λέγων τὰ ἐν τῷ κζ'. Καὶ ἐὰν θέλῃς εὐχαριστῶν μαθεῖν πῶς δεῖ προσφέρειν τῷ Κυρίῳ, νοητῶς νοῶν ψάλλε τὸν κη'. Καὶ λοιπὸν ἐγκαινίζων τὸν οἶκόν σου τήν τε ψυχὴν τὴν τὸν Κύριον ὑποδεχομένην, καὶ τὸν σωματικὸν οἶκον, ἐν ᾧ σωματικῶς κατοικεῖς, εὐχαρίστει, καὶ λέγε τόν τε κθ' καὶ τὸν ἐν τοῖς ἀναβαθμοῖς ρκς'.

ιη'. Ὅταν δὲ σαυτὸν διὰ τὴν ἀλήθειαν μισούμενον καὶ διωκόμενον παρὰ πάντων τῶν τε φίλων καὶ συγγενῶν βλέπῃς, μὴ τούτοις μηδὲ σαυτῷ κατανοῶν ὀλιγωρήσῃς, μηδ', ἂν τοὺς γνωρίμους ἴδῃς ἀποστρεφομένους σε, πτήξῃς ἀλλ' ἐκστὰς ἀπὸ τούτων, καὶ σκοπῶν τὰ μέλλοντα, ψάλλε τὸν λ'. Τοὺς δὲ βαπτιζομένους καὶ λυτρουμένους ἀπὸ τῆς φθαρτῆς γενέσεως βλέπων, καὶ θαυμάζων τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ᾆδε εἰς ἐκείνους τὸν λα'. Καὶ ὅταν μὲν ψάλλειν μετὰ πολλῶν ἐθέλῃς, τοὺς δικαίους ἄνδρας καὶ τοὺς ὀρθοὺς τῷ βίῳ συναγαγών, λέγε καὶ σὺ τὸν λβ'. Ἐμπεσὼν δὲ εἰς τοὺς ἐχθρούς, καὶ σοφῶς αὐτοὺς διαφυγών, καὶ ἐκκλίνας ἀπὸ τῆς ἐπιβουλῆς αὐτῶν, εἰ θέλεις εὐχαριστῆσαι, συγκαλέσας τοὺς πραεῖς ἄνδρας, ἐπ' αὐτῶν

ψάλλε τὸν λγʹ. Καὶ ἐὰν ἴδῃς τῶν παρανομούντων τὴν ἐπὶ τὸ κακὸν φιλονεικίαν, μὴ νόμιζε ἐν αὐτοῖς κατὰ φύσιν τὴν κακίαν εἶναι, οἷα λέγουσιν οἱ αἱρετικοί· ἀλλὰ λέγε τὸν λεʹ, καὶ ὄψει, ὅτι αὐτοὶ τοῦ ἁμαρτάνειν εἰσὶν αἴτιοι. Ἐὰν δὲ πολλὰ πράττοντας ἄνομα τοὺς πονηροὺς βλέπῃς, καὶ ἐπαιρομένους αὐτοὺς κατὰ τῶν μικρῶν, καὶ θέλῃς παραινεῖν τισι μὴ προσέχειν τούτοις, μηδὲ παραζηλοῦν αὐτούς, διὰ τὸ ταχέως αὐτοὺς ἀποσβέννυσθαι, λέγε καὶ σαυτῷ καὶ τοῖς ἑτέροις τὸν λϛʹ.

ιθʹ. Ἀλλὰ δὴ καὶ σύ, προθέμενος προσέχειν σαυτῷ, ἐὰν βλέπῃς ἐπιτιθέμενον τὸν ἐχθρὸν (τότε γὰρ μᾶλλον ἐπεγείρεται κατὰ τῶν τοιούτων), καὶ θέλῃς ἐπαλείφειν σαυτὸν κατ' αὐτοῦ, ᾆδε τὸν ληʹ ψαλμόν. Καὶ ἐάν, τῶν ἐχθρῶν ἐπιτιθεμένων, ὑπομένῃς τὰς θλίψεις, καὶ θέλῃς μαθεῖν τὴν ἐκ τῆς ὑπομονῆς ὠφέλειαν, ψάλλε τὸν λθʹ ψαλμόν. Βλέπων δὲ πολλοὺς πένητας καὶ πτωχούς, καὶ θέλεις ἐλεεῖσθαι αὐτούς, δύνασαι τοὺς μὲν ἤδη ἐλεήσαντας ἀποδέχεσθαι, τοὺς δὲ ἄλλους εἰς τὸ ποιεῖν προτρέπεσθαι, ἐν τῷ λέγειν τὸν μʹ. Εἶτα ἐάν, πάνυ τὸν πόθον ἔχων εἰς τὸν Θεόν, ἀκούσῃς τῶν ἐχθρῶν ὀνειδιζόντων, μὴ ταράσσου· ἀλλὰ συνιεὶς τὸν ἐκ τοῦ τοιούτου πόθου ἀθάνατον καρπόν, παρακάλει σαυτοῦ τὴν ψυχὴν τῇ εἰς Θεὸν ἐλπίδι, καὶ ταύτῃ ἐπικουφίζων καὶ καταπραΰνων τὰς ἐν τῷ βίῳ λύπας αὐτῆς, λέγε τὸν μαʹ ψαλμόν. Συνεχῶς δὲ ἀναμιμνήσκεσθαι θέλων τὰς εὐεργεσίας τοῦ Θεοῦ τὰς γενομένας εἰς τοὺς πατέρας, καὶ περὶ τῆς ἐξόδου τῆς Αἰγύπτου καὶ τῆς ἐν τῇ ἐρήμῳ διαγωγῆς, πῶς τε ὁ μὲν Θεὸς ἀγαθός, οἱ δὲ ἄνθρωποι ἀχάριστοι, ἔχεις τὸν μγʹ, καὶ τὸν οζʹ, καὶ πηʹ, καὶ τὸν ρδʹ, καὶ τὸν ρεʹ, καὶ ρϛʹ, καὶ ριγʹ. Καταφυγὼν δὲ πρὸς τὸν Θεὸν καὶ διασωθεὶς ἀπὸ τῶν περὶ σὲ γενομένων θλίψεων, ἐὰν θέλῃς εὐχαριστῆσαι τῷ Θεῷ, καὶ διηγήσασθαι τὴν εἰς σὲ γενομένην φιλανθρωπίαν, ἔχεις τὸν μεʹ.

κʹ. Ἀλλ' ἥμαρτες, καὶ ἐντραπεὶς μεταγινώσκεις καὶ ἐλεηθῆναι ἀξιοῖς, ἔχεις τοὺς τῆς ἐξομολογήσεως καὶ μετανοίας λόγους ἐν τῷ νʹ. Εἰ δὲ καὶ διεβλήθης πονηρῷ βασιλεῖ καὶ ὁρᾷς τὸν διάβολον κατακαυχώμενον, ἀναχώρει, καὶ λέγε καὶ σὺ τὰ ἐν τῷ ναʹ. Καὶ ὅτε μὲν διώκῃ, καὶ διαβάλλουσί τινες παραδοῦναί σε θέλοντες, ὡς οἱ Ζιφαῖοι καὶ οἱ ἀλλόφυλοι τὸν Δαβίδ, μὴ ἀκηδιάσῃς, ἀλλὰ θαρρῶν τῷ Κυρίῳ, καὶ ὑμνῶν αὐτόν, λέγε τὰ ἐν τῷ νγʹ καὶ νεʹ. Ἐὰν δὲ καὶ συνδράμῃ ὁ διώκων, καὶ μὴ γινώσκων εἰσέλθῃ εἰς τὸ σπήλαιον ἐν ᾧ καὶ σὺ κρύπτῃ, μηδ' οὕτως πτήξῃς· ἔχεις γὰρ τοὺς ἐν τοιαύτῃ ἀνάγκῃ χρησμοὺς εἰς παράκλησιν καὶ στηλογραφίας λόγους, τοὺς ἐν τῷ νϛʹ καὶ τοὺς ἐν τῷ ρμαʹ. Ἐὰν δὲ καὶ φυλαχθῆναι τὴν οἰκίαν κελεύσῃ ὁ ἐπιβουλεύων, καὶ διαφύγῃς, ἀνατίθει τῷ Κυρίῳ τὴν χάριν, ὡς ἐν στήλαις γράφων αὐτὴν ἐν τῇ ψυχῇ, μνημόσυνον οὖσαν τοῦ μὴ διεφθάρθαι σε, καὶ λέγε τὰ ἐν τῷ νηʹ ψαλμῷ. Ἐὰν δὲ καὶ ὀνειδίζωσι θλίβοντες οἱ ἐχθροί, καὶ φλυαροῦντες διαβάλλωσιν οἱ δοκοῦντες

εἶναι φίλοι, καὶ λυπηθῇς ἐν τῇ ἀδολεσχίᾳ σου πρὸς ὀλίγον, ἀλλὰ δύνασαι παρακαλεῖσθαι ὑμνῶν καὶ σὺ τὸν Θεόν, καὶ λέγων τὰ ἐν τῷ νδ' ῥήματα. Καὶ πρὸς μὲν ὑποκρινομένους καὶ ἐν προσώπῳ καυχωμένους λέγε πρὸς ἐντροπὴν ἐκείνων τὸν νζ' ψαλμόν· πρὸς δὲ τοὺς ὁρμῶντας ἀγρίως κατὰ σοῦ, καὶ θέλοντας λαβεῖν σου τὴν ψυχήν, ἀντίθες σὺ τὴν πρὸς τὸν Θεόν σου ὑποταγήν, καὶ θάρρει. Ὅσῳ γὰρ ἐκεῖνοι μαίνονται, τοσούτῳ μᾶλλον ὑποτάσσου σὺ τῷ Κυρίῳ, καὶ λέγε τὰ ἐν τῷ ξα'. Καὶ ἐὰν μὲν διωκόμενος εἰς ἐρημίαν ἀπέλθῃς, μὴ φοβηθῇς ὡς μόνος ὢν ἐκεῖ, ἔχων δὲ τὸν Θεὸν ἐκεῖ καὶ πρὸς αὐτὸν ὀρθρίζων ψάλλε τὸν ξβ'. Ἐκφοβούντων δὲ τῶν ἐχθρῶν καὶ μὴ παυομένων τοῦ ἐνεδρεύειν, ἀλλὰ καὶ ἐξερευνώντων πᾶν κατὰ σοῦ, κἂν πλῆθος ὦσι, μὴ ὑπενδῷς· βέλη γὰρ νηπίων ἔσονται τούτων αἱ πληγαί, ψάλλοντός σου τὸν ξγ', καὶ τὸν ξδ', καὶ ξθ' καὶ ο'.

κα'. Καὶ ὅταν μὲν ὑμνῆσαι βούλῃ τὸν Κύριον, ᾆδε τὰ ἐν τῷ ξδ'. Ἐὰν δὲ κατηχῆσαι θέλῃς τινὰς περὶ ἀναστάσεως, ᾆδε τὰ ἐν τῷ ξε'. Οἰκτιρμοὺς δὲ αἰτῶν παρὰ τοῦ Θεοῦ, ὕμνει αὐτόν, ψάλλων τὸν ξς'. Ὅτε δὲ βλέπεις τοὺς μὲν ἀσεβεῖς ἐν εἰρήνῃ εὐθηνουμένους καὶ καταθυμίως ζῶντας τοὺς δὲ δικαίους θλιβομένους, ἵνα μὴ σκανδαλισθῇς καὶ παρασαλευθῇς, λέγε καὶ σὺ τὰ ἐν τῷ οβ' ψαλμῷ. Καὶ ὅταν μὲν ὀργισθῇ ὁ Θεὸς ἐπὶ τὸν λαόν, ἔχεις εἰς παράκλησιν περὶ τούτου λόγους συνετοὺς τοὺς ἐν τῷ ογ'· ὅτε δὲ χρεία σοι ἐξομολογήσεώς ἐστι, ψάλλε τὸν θ', οδ' καὶ ϟα', καὶ ρδ', καὶ ρε', καὶ ρς' καὶ ρζ', καὶ ρι', καὶ ριζ', καὶ ρλε', καὶ ρλζ'. Καὶ δυσωπῆσαι μὲν θέλων τὰ τῶν Ἑλλήνων καὶ τὰ τῶν αἱρετικῶν, ὅτι μὴ παρ' αὐτοῖς ἔνι θεογνωσία, ἀλλ' ἐν μόνῃ τῇ καθολικῇ Ἐκκλησίᾳ, δύνασαι νοῶν ᾄδειν καὶ λέγειν τὰ ἐν τῷ οε'. Τῶν δὲ ἐχθρῶν προκαταλαβόντων τὰς διεκφυγάς, καὶ πάνυ θλιβόμενος, κἂν ταραχθῇς, μὴ ἀπελπίσῃς, ἀλλὰ εὔχου· καὶ ἐὰν κράζων εἰσακουσθῇς, εὐχαρίστει τῷ Θεῷ, λέγων τὰ ἐν τῷ ος'. Ἐὰν δὲ ἐπιμένοντες οἱ ἐχθροὶ ἐπεισέλθωσι, καὶ μιάνωσι τὸν οἶκον τοῦ Θεοῦ, τούς τε ἁγίους ἀποκτείνωσι, καὶ τὰ σώματα αὐτῶν ῥίψωσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, ἵνα μὴ συνελκυσθεὶς καταπτήξῃς αὐτῶν τὴν ὠμότητα, σύμπασχε μὲν τοῖς πάσχουσιν, ἐντύγχανε δὲ τῷ Θεῷ, λέγων τὸν οη' ψαλμόν.

κβ'. Ἐν ἑορτῇ δέ, θέλων ᾆσαι τῷ Κυρίῳ, συγκαλέσας τοὺς τοῦ Θεοῦ δούλους, ψάλλε τὰ ἐν τῷ π' καὶ ϟδ'. Τῶν δὲ ἐχθρῶν πάλιν ἐπισυναχθέντων πάντων πανταχόθεν, καὶ ἀπειλούντων κατὰ τοῦ οἴκου τοῦ Θεοῦ, συνθήκας τε ποιούντων κατὰ τῆς εὐσεβείας, ἵνα μὴ ἀθυμήσῃς διὰ τὸ πλῆθος καὶ τὴν δυναστείαν αὐτῶν, ἔχεις ὥσπερ ἄγκυραν ἐλπίδος τὰ ἐν τῷ πβ' ῥήματα. Καὶ ἐάν, βλέπων τὸν οἶκον τοῦ Θεοῦ καὶ τὰ αἰώνια αὐτοῦ σκηνώματα, τὸν πόθον ἔχῃς εἰς αὐτά, ὡς εἶχεν ὁ Ἀπόστολος, λέγε καὶ σὺ τὸν πγ' ψαλμόν. Παυσαμένης δέ ποτε τῆς ὀργῆς, καὶ τῆς αἰχμαλωσίας λυθείσης, ἐὰν θέλῃς εὐχαριστῆσαι, ἔχεις εἰς τὸ λέγειν τὰ ἐν τῷ πδ' καὶ ρκε'. Καὶ τὴν μὲν διαφορὰν τῆς καθολικῆς Ἐκκλησίας πρὸς τὰ σχίσματα ἐὰν θέλῃς γινώσκειν, καὶ

ἐντρέπειν ἐκείνους, δύνασαι λέγειν τὰ ἐν τῷ πς´ γεγραμμένα. Παραθαρσῦναι θέλων σεαυτὸν καὶ τοὺς ἑτέρους εἰς θεοσέβειαν, καὶ ὡς εἰς τὸν Θεὸν ἐλπὶς οὔτε καταισχύνει, ἀλλὰ καὶ ἄφοβον τὴν ψυχὴν κατασκευάζει, αἴνει τὸν Θεόν, λέγων τὰ ἐν τῷ ϟ´. Ψάλαι θέλεις τῷ Σαββάτῳ; ἔχεις τὸν ϟα´.

κγ´. Εὐχαριστῆσαι θέλεις τῇ Κυριακῇ; ἔχεις τὸν κγ´. Ἆσαι θέλεις δευτέρᾳ Σαββάτων; λέγε τὰ ἐν τῷ μζ´. Αἰνέσαι βούλει τῇ Παρασκευῇ; ἔχεις τὸν αἶνον ἐν τῷ ϟβ´. Τότε γάρ, γενομένου τοῦ σταυροῦ, ὁ οἶκος τοῦ Θεοῦ ᾠκοδομήθη, καίτοι τῶν ἐχθρῶν ἐπιχειρησάντων κωλῦσαι· καὶ διὰ τοῦτο ἐπινίκιον ᾄδειν τῷ Θεῷ πρέπει τότε τὰ εἰρημένα ἐν τῷ ϟβ´. Ἐὰν δὲ καί, αἰχμαλωσίας γενομένης, καθαιρεθῇ ὁ οἶκος, καὶ πάλιν οἰκοδομηθῇ, ᾆδε τὰ ἐν τῷ ϟε´. Τῆς δὲ γῆς κατάστασιν λαβούσης ἀπὸ τῶν πολεμούντων, καὶ λοιπὸν ἠρεμούσης, καὶ βασιλεύσαντος τοῦ Κυρίου, ἐὰν θέλῃς ᾆσαι περὶ τούτου, ἔχεις τὸν ϟς´. Θέλεις τῇ τετράδι τοῦ Σαββάτου ψάλλειν; ἔχεις τὸν ϟγ´· τότε γὰρ παραδοθεὶς ὁ Κύριος ἐκδικεῖν ἤρξατο τὴν κατὰ τοῦ θανάτου δίκην, καὶ θριαμβεύειν αὐτὸν παρρησίᾳ. Ὅτ᾽ ἂν οὖν, ἀναγινώσκων τὸ Εὐαγγέλιον, ἴδῃς τῇ τετράδι τοῦ Σαββάτου συμβούλιον λαβόντας τοὺς Ἰουδαίους κατὰ τοῦ Κυρίου, ὁρῶν αὐτὸν τότε παρρησιαζόμενον ἐν τῇ κατὰ τοῦ διαβόλου ὑπὲρ ὑμῶν ἐκδικίᾳ, ψάλλε τὰ ἐν αὐτῷ τῷ ϟγ´. Πάλιν βλέπων τὴν εἰς πάντα πρόνοιαν τοῦ Κυρίου καὶ τὴν κυριότητα αὐτοῦ, καὶ θέλων κατηχῆσαί τινας εἰς τὴν αὐτοῦ πίστιν καὶ ὑπακοήν, πείθων αὐτοὺς πρῶτον ἐξομολογεῖσθαι, ψάλλε τὸν ϟθ´. Καὶ ἐάν, μαθὼν αὐτοῦ τὴν κριτικὴν δύναμιν, καὶ ὅτι ἐλέῳ τὴν κρίσιν κεράσας κρίνει ὁ Κύριος, θελήσῃς αὐτῷ προσελθεῖν, ἔχεις εἰς τοῦτο λόγους τοὺς ἐν τῷ ρ´.

κδ´. Ἀσθενοῦς δὲ ἡμῶν τῆς φύσεως οὔσης, ἐὰν διὰ τὰς συνοχὰς τοῦ βίου ὡς πτωχὸς γενόμενος ἀκηδιάσῃς ποτέ, καὶ θέλῃς παρακληθῆναι, ἔχεις τὸν ρα´ ψαλμόν. Καὶ ἐπειδὴ πρέπει διὰ πάντων καὶ ἐν πᾶσιν εὐχαριστεῖν ἡμᾶς τῷ Θεῷ, ὅτε θέλεις εὐλογεῖν αὐτόν, ἔχεις εἰς τοῦτο προτρέπεσθαι σαυτοῦ τὴν ψυχήν, καὶ λέγειν τὸν ρβ´ καὶ ργ´. Αἰνεῖν θέλεις τὸν Θεόν, καὶ εἰδέναι πῶς καὶ ἐπὶ τίνι δεῖ αἰνεῖν, καὶ τίνας πρέπει λέγειν τὸν αἶνον; ἔχεις τὸν ρδ´, καὶ τὸν ρς´, καὶ ρλδ´, καὶ ρμε´, καὶ τὸν ρμς´, καὶ τὸν ρμζ´, καὶ τὸν ρμη´, καὶ τὸν ρν´. Ἔχεις πίστιν, ὡς εἶπεν ὁ Κύριος, καὶ πιστεύεις οἷς εὐχόμενος λαλεῖς; λέγε τὸν ριε´. Ἀλλὰ ἀναβαίνοντα σαυτὸν αἴσθῃ ταῖς πράξεσιν, ὥστε λέγειν· «Τὰ μὲν ὀπίσω ἐπιλανθάνομαι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτείνομαι;[1]» ἔχεις καθ᾽ ἑκάστην προκοπὴν εἰς τὸ λέγειν τὰς ιε´ τῶν ἀναβαθμῶν ᾠδάς.

κε´. Ἠχμαλωτεύθης ὑπὸ ἀλλοτρίων λογισμῶν, καὶ ᾔσθου σεαυτὸν ἀπαγόμενον, καὶ μετέγνως, παῦσαι τοῦ λοιποῦ, καὶ μείνας ἐφ᾽

1. Φιλιπ. 3, 33.

οἷς ἁμαρτάνοντα σεαυτὸν κατέλαβες, κάθου, καὶ κλαῦσον καὶ σύ, ὡς πεποίηκεν ὁ τότε λαός, λέγων τὰ ἐν τῷ ρλς´. Τοὺς δὲ πειρασμοὺς ἡγούμενος εἶναί σου δοκιμήν, μετὰ τοὺς πειρασμοὺς ἐὰν εὐχαριστῆσαι θελήσῃς, ἔχεις τὸν ρλη´ ψαλμόν. Συνέχῃ πάλιν ἀπὸ ἐχθρῶν, καὶ ῥυσθῆναι θέλεις; λέγε τὰ ἐν τῷ ρλθ´. Δεηθῆναι δὲ καὶ προσεύξασθαι θέλεις; ψάλλε τὸν ε´ καὶ ρμβ´. Ἐχθρὸς τύραννος ἐπανέστη τῷ λαῷ καί σοι, ὥσπερ Γολιὰθ τῷ Δαβίδ, μὴ πτήξῃς· ἀλλὰ πίστευε καὶ σύ, ὡς ὁ Δαβίδ, καὶ λέγε τὰ ἐν τῷ ρμγ´. Εἶτα θαυμάζων τὰς εἰς πάντας τοῦ Θεοῦ εὐεργεσίας, καὶ μνημονεύων τῆς τε εἰς σὲ καὶ εἰς πάντας γενομένης ἀγαθότητος αὐτοῦ, ἐὰν θέλῃς διὰ ταῦτα εὐλογεῖν τὸν Θεόν, λέγε τὰ τοῦ Δαβὶδ ῥήματα, ἅπερ καὶ αὐτὸς εἶπεν ἐν τῷ ρμδ´ ψαλμῷ. Ἆσαι θέλεις τῷ Κυρίῳ; ἔχεις εἰς τὸ λέγειν τὸν ϟβ´ καὶ ϟζ´. Ἐὰν μικρὸς ὢν προκριθῇς εἰς ἀρχήν τινα τῶν ἀδελφῶν σου, μὴ ἐπαίρου κατ' αὐτῶν· ἀλλὰ τῷ ἐκλεξαμένῳ Κυρίῳ διδοὺς δόξαν, ψάλλε καὶ σὺ τὸν ρνα´ ἴδιον ὄντα τοῦ Δαβίδ. Ἀλλὰ θέλεις ψάλλειν ἐπακοὴν ἔχοντας τὸ Ἀλληλούϊα, ἔχεις τὸν ρδ´, ρε´ ρς´, ρια´, ριβ´, ριγ´, ριδ´, ριε´ ρις´, ριζ´, ριη´, ρλδ´, ρλε´, ρμε´, ρμς´, ρμζ´, ρμη´, ρμθ´, ρν´.

κς´. Ὅτε δὲ θέλῃς κατ' ἰδίαν τὰ περὶ τοῦ Σωτῆρος ψάλλειν, ἐν ἑκάστῳ μὲν σχεδὸν εὑρίσκεις ψαλμῷ τὰ τοιαῦτα· ἔχεις δὲ μάλιστα τὸν μὲν μδ´ καὶ τὸν ρθ´ δηλοῦντας τὴν ἐκ τοῦ Πατρὸς αὐτοῦ γνησίαν γέννησιν καὶ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν· τὸν δὲ κα´ καὶ ξη´ προλέγοντας περὶ τοῦ θείου σταυροῦ, καὶ ὅσην δι' ἡμᾶς ἐπιβουλὴν ἀνεδέξατο, καὶ πόσα πέπονθε· καὶ τὸν μὲν β´ καὶ ρη´ σημαίνοντας τήν τε τῶν Ἰουδαίων ἐπιβουλὴν καὶ πονηρίαν, καὶ τὴν Ἰούδα τοῦ Ἰσκαριώτου προδοσίαν· τόν τε κ´, καὶ μθ´, καὶ οα´ (καὶ) δηλοῦντας τήν τε βασιλείαν αὐτοῦ καὶ κριτικὴν δύναμιν, καὶ τὴν εἰς ἡμᾶς αὐτοῦ πάλιν ἔνσαρκον παρουσίαν, καὶ τὴν κλῆσιν τῶν ἐθνῶν. Καὶ ὁ μὲν ιε´ δείκνυσιν αὐτοῦ τὴν ἐκ νεκρῶν ἀνάστασιν· ὁ δὲ κγ´ καὶ μς´ ἀπαγγέλλουσι τὴν εἰς οὐρανοὺς ἄνοδον αὐτοῦ· τὸν δὲ ϟβ´, καὶ ϟε´, καὶ ϟζ´, καὶ ϟη´ ἀναγινώσκων, θεωρῆσαι δυνήσῃ τὰς εἰς ἡμᾶς τοῦ Σωτῆρος διὰ τῶν παθημάτων αὐτοῦ γενομένας εὐεργεσίας.

κζ´. Τοιοῦτος μὲν οὖν ἐστι καὶ ὁ χαρακτὴρ εἰς ὠφέλειαν τοῖς ἀνθρώποις ἐκ τῆς βίβλου τῶν Ψαλμῶν, ἐχούσης αὐτῆς ἰδίους ψαλμοὺς καὶ ἐν τοῖς λοιποῖς δὲ περὶ τῆς σώμασι παρουσίας τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ πυκνοτέρας τὰς προφητείας, καθὰ προεῖπον. Διὰ τί δὲ μετὰ μέλους καὶ ᾠδῆς ψάλλονται οἱ τοιοῦτοι λόγοι, ἀναγκαῖον μηδὲ τοῦτο παρελθεῖν. Τινὲς μὲν γὰρ τῶν παρ' ἡμῖν ἀκεραίων, καίτοι πιστευόντων εἶναι θεόπνευστα τὰ ῥήματα, ὅμως νομίζουσι διὰ τὸ εὔφωνον καὶ τέρψεως ἕνεκεν τῆς ἀκοῆς μελῳδεῖσθαι τοὺς ψαλμούς. Οὐκ ἔστι δὲ οὕτως· οὐ γὰρ τὸ ἡδὺ καὶ πιθανὸν ἐζήτησεν ἡ Γραφή· ἀλλὰ καὶ τοῦτο ὠφελείας ἕνεκεν τῆς ψυχῆς τετύπωται διὰ πάντα μέν, μάλιστα δὲ διὰ δύο ταῦτα· πρῶτον μέν, ὅτι ἔπρεπε τὴν

θείαν Γραφὴν μὴ μόνον τῇ συνεχείᾳ, ἀλλὰ καὶ τῇ κατὰ πλάτος φωνῇ τὸν Θεὸν ὑμνεῖν. Κατὰ συνέχειαν μὲν οὖν εἴρηται, οἷά ἐστι τὰ τοῦ νόμου καὶ τῶν προφητῶν, καὶ τὰ ἱστορούμενα πάντα, μετὰ τῆς Καινῆς Διαθήκης· κατὰ πλάτος δὲ λέγεται, οἷά ἐστι τὰ τῶν ψαλμῶν καὶ ᾠδῶν καὶ ᾀσμάτων ῥήματα· καὶ οὕτως γὰρ σωθήσεται τὸ ἐξ ὅλης ἰσχύος καὶ δυνάμεως ἀγαπᾶν τὸν Θεὸν τοὺς ἀνθρώπους. Δεύτερον δέ, ὅτι, ὥσπερ ἁρμονία τοὺς αὐλοὺς συντιθεῖσα μίαν τὴν συμφωνίαν ἀποτελεῖ, οὕτως, ἐπειδὴ καὶ ἐν τῇ ψυχῇ διάφορα κινήματα φαίνεται, καὶ ἔστιν ἐν αὐτῇ τὸ λογίζεσθαι, καὶ τὸ ἐπιθυμεῖν, καὶ τὸ θυμοειδές, ἐκ δὲ τῆς τούτων κινήσεως καὶ ἡ τῶν μελῶν γίνεται τοῦ σώματος ἐνέργεια, βούλεται ὁ λόγος μὴ ἀσύμφωνον εἶναι τὸν ἄνθρωπον ἑαυτῷ, μηδὲ διίστασθαι πρὸς αὐτόν· ὥστε λογίζεσθαι μὲν τὰ βέλτιστα, πράττειν δὲ τῷ θυμῷ τὰ φαῦλα, ὡς ὁ Πιλᾶτος λέγων μέν· «Οὐδεμίαν αἰτίαν εὑρίσκω εἰς αὐτόν·[1]» συντρέχων δὲ τῇ γνώμῃ τῶν Ἰουδαίων· ἢ ἐπιθυμεῖν μὲν τὰ φαῦλα, μὴ δύνασθαι δὲ πράττειν, ὡς οἱ κατὰ Σουσάννης πρεσβύτεροι· ἢ πάλιν μὴ μοιχεύειν μέν, κλέπτειν δέ· ἢ μὴ κλέπτειν μέν, φονεύειν δέ· ἢ μὴ φονεύειν μέν, βλασφημεῖν δέ.

κη'. Ἵν' οὖν μὴ τοιαύτη τις ἐν ἡμῖν ταραχὴ γίνηται, θέλει τὴν ψυχὴν ὁ λόγος ἔχουσαν Χριστοῦ νοῦν[2], ὡς εἶπεν ὁ Ἀπόστολος, τούτῳ καθηγεμόνι χρήσασθαι, καὶ ἐν τούτῳ τῶν μὲν ἐν αὐτῇ παθητικῶν κρατεῖν, τῶν δὲ τοῦ σώματος μελῶν ἄρχειν, εἰς τὸ ὑπακούειν τῷ λόγῳ· ἵνα, ὡς ἐν ἁρμονίᾳ τὸ πλῆκτρον, οὕτως αὐτὸς ὁ ἄνθρωπος ψαλτήριον γενόμενος, καὶ τῷ πνεύματι προσέχων ὁλοκλήρως, καὶ πᾶσι τοῖς μέλεσι καὶ τοῖς κινήμασιν ὑπακούῃ, καὶ δουλεύῃ τῷ βουλήματι τοῦ Θεοῦ. Τῆς δὲ τοιαύτης τῶν λογισμῶν ἀταραξίας καὶ ἀκύμονος καταστάσεως εἰκὼν καὶ τύπος ἐστὶν ἡ τῶν Ψαλμῶν ἐμμελὴς ἀνάγνωσις. Ὥσπερ γὰρ τὰ τῆς ψυχῆς νοήματα γνωρίζομεν καὶ σημαίνομεν δι' ὧν προφέρομεν λόγων, οὕτως, τῆς πνευματικῆς ἐν ψυχῇ ἁρμονίας τὴν ἐκ τῶν λόγων μελῳδίαν σύμβολον εἶναι θέλων ὁ Κύριος, τετύπωκεν ἐμμελῶς τὰς ᾠδὰς ψάλλεσθαι, καὶ τοὺς ψαλμοὺς μετ' ᾠδῆς ἀναγινώσκεσθαι. Καὶ τοῦτ' ἔστιν ἡ ἐπιθυμία τῆς ψυχῆς, τὸ καλῶς αὐτὴν διακεῖσθαι, ὡς γέγραπται· «Εὐθυμεῖ τις ἐν ὑμῖν; ψαλλέτω.[3]» Οὕτως τὸ μὲν ἐν αὐτῇ ταραχῶδες καὶ τραχὺ καὶ ἄτακτον ἐξομαλίζεται· τὸ δὲ λυποῦν θεραπεύεται, ψαλλόντων ἡμῶν· «Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;[4]» Καὶ τὸ μὲν ἐσφαλμένον ἐπιγνώσεται λέγουσα· «Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες·[5]» τὸ δὲ φοβηθὲν ἐπιρρώσει τῇ ἐλπίδι ἐν τῷ λέγειν· «Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.[6]»

κθ'. Οἱ μὲν οὖν μὴ τοῦτον τὸν τρόπον ἀναγινώσκοντες τὰς θείας ᾠδὰς οὐ συνετῶς ψάλλουσιν, ἀλλ' ἑαυτοὺς μὲν τέρπουσιν, ἔχουσι δὲ

1. Ἰω. 18, 38. 2. Πρβλ. Α' Κορ. 2, 16. 3. Ἰακ. 5, 13. 4. Ψαλμ. 41, 6, 12. 42, 5. 5. Ψαλμ. 72, 2. 6. Ψαλμ. 117, 6.

μέμψιν, ὅτι «Οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ·[1]» οἱ δὲ κατὰ τὸν προειρημένον τρόπον ψάλλοντες, ὥστε τὴν μελῳδίαν τῶν ῥημάτων ἐκ τοῦ ῥυθμοῦ τῆς ψυχῆς καὶ τῆς πρὸς τὸ πνεῦμα συμφωνίας προσφέρεσθαι, οἱ τοιοῦτοι ψάλλουσι μὲν τῇ γλώσσῃ, ψάλλοντες δὲ καὶ τῷ νοΐ, οὐ μόνον ἑαυτούς, ἀλλὰ καὶ τοὺς θέλοντας ἀκούειν αὐτῶν μεγάλως ὠφελοῦσιν. Ὁ γοῦν μακάριος Δαβίδ, οὕτως καταψάλλων τοῦ Σαούλ, αὐτὸς εὐηρέστει τῷ Θεῷ, καὶ τὸν τάραχον καὶ τὸ μανικὸν πάθος τοῦ Σαοὺλ ἀπήλαυνε, καὶ γαληνιᾶν τὴν ψυχὴν αὐτοῦ παρεσκεύαζεν.[2] Οὕτως οἱ ἱερεῖς ψάλλοντες, εἰς ἀταραξίαν τὰς ψυχὰς τῶν λαῶν καὶ εἰς ὁμόνοιαν αὐτὰς τῶν ἐν οὐρανοῖς χορευόντων προσεκαλοῦντο. Τὰ ἄρα μετὰ μέλους λέγεσθαι τοὺς ψαλμοὺς οὐκ ἔστιν εὐφωνίας σπουδή, ἀλλὰ τεκμήριον τῆς ἁρμονίας τῶν ἐν τῇ ψυχῇ λογισμῶν. Καὶ ἡ ἐμμελὴς δὲ ἀνάγνωσις σύμβολόν ἐστι τῆς εὐρύθμου καὶ ἀχειμάστου καταστάσεως τῆς διανοίας. Καὶ γὰρ τὸ αἰνεῖν τὸν Θεὸν ἐν κυμβάλοις εὐήχοις καὶ κιθάρᾳ καὶ δεκαχόρδῳ ψαλτηρίῳ[3], σύμβολον πάλιν ἦν καὶ σημαντικὸν τοῦ συγκεῖσθαι μὲν νομίμως τὰ μέλη τοῦ σώματος ὡς χορδάς, τοὺς δὲ λογισμοὺς τῆς ψυχῆς ὡς κύμβαλα γίνεσθαι, καὶ λοιπὸν τῇ ἠχῇ καὶ τῷ νεύματι τοῦ πνεύματος ταῦτα πάντα κινεῖσθαι καὶ ζῆν· ὥστε, κατὰ τὸ γεγραμμένον, «τῷ πνεύματι τὸν ἄνθρωπον ζῆν μέν, καὶ τὰς πράξεις τοῦ σώματος θανατοῦν.[4]» Οὕτως γὰρ καὶ καλῶς ψάλλων ῥυθμίζει τὴν ψυχὴν αὐτοῦ, καὶ ὥσπερ ἐξ ἀνισότητος εἰς ἰσότητα ἄγει· ὥστε ἐν τῷ κατὰ φύσιν αὐτὴν ἑστηκυῖαν μὴ πτοεῖσθαι ὑπό τινος, ἀλλὰ καὶ μᾶλλον εὐφαντάσιον γίνεσθαι, καὶ πλέον αὐτὴν λαμβάνειν πόθον τῶν μελλόντων ἀγαθῶν. Τῇ γὰρ τῶν ῥημάτων μελῳδίᾳ συνδιατιθεμένη ἐπιλανθάνεται τῶν παθῶν, καὶ χαίρουσα βλέπει πρὸς τὸν νοῦν τὸν ἐν Χριστῷ, λογιζομένη τὰ βέλτιστα.

λ΄. Δεῖ τοίνυν, ὦ τέκνον, τῶν ἐντυγχανόντων ἕκαστον ταύτῃ τῇ βίβλῳ ἐντυγχάνειν μὲν ἅπασι γνησίως τοῖς ἐν αὐτῇ θεοπνεύστοις οὖσι, λαμβάνειν δὲ λοιπὸν ἀπ' αὐτῶν ὡς ἐκ παραδείσου καρπῶν ὠφελείας, πρὸς ὃ τὴν χρείαν ἑαυτὸν ἔχοντα συνορᾷ. Ἡγοῦμαι γὰρ ἐν τούτοις τοῖς λόγοις τῆς βίβλου τὸν πάντα βίον τῶν ἀνθρώπων, τάς τε τῆς ψυχῆς διαθέσεις, καὶ τὰ τῶν λογισμῶν κινήματα μεμετρῆσθαι καὶ περιέχεσθαι· καὶ μηδὲν πλέον τούτων ἐν ἀνθρώποις εὑρίσκεσθαι. Εἴτε γὰρ μετανοίας ἢ ἐξομολογήσεως χρεία, ἢ θλίψις καὶ πειρασμὸς κατέλαβεν, ἢ ἐδιώχθη τις, καὶ ἢ ἐπιβουλευόμενος ἐρρύσθη, εἰ δὲ καὶ περίλυπός τις γέγονεν καὶ ταράττεται, καὶ πάσχει τι τοιοῦτον, οἷον ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἢ καὶ συνορᾷ ἑαυτὸν μὲν προκόπτοντα, τὸν δὲ ἐχθρὸν καταργούμενον, ἢ καὶ αἰνέσαι καὶ εὐχαριστῆσαι, καὶ εὐλογῆσαι βούλεται τὸν Κύριον, ἔχει τὴν διδασκαλίαν τούτων ἐν τοῖς

1. Σοφ. Σειρ. 15, 9. 2. Πρβλ. Α' Βασ. 16, 23. 3. Πρβλ. Ψαλμ. 150, 3-5. 4. Ῥωμ. 8, 13.

θείοις ψαλμοῖς. Ἐκλεγέσθω γὰρ τὰ ἐν αὐτοῖς περὶ ἑκάστου τούτων εἰρημένα, καὶ οὕτως ὡς περὶ ἑαυτοῦ γεγραμμένα λέγων, καὶ συνδιατιθέμενος τοῖς γεγραμμένοις, ἀναφέρει τῷ Κυρίῳ.

λα'. Μὴ περιβαλλέτω μέντοι τις αὐτὰ τοῖς ἔξωθεν πιθανοῖς ῥήμασι, μηδὲ πειραζέτω τὰς λέξεις μεταποιεῖν ἢ ὅλως ἐναλλάσσειν· ἀλλ' οὕτως ἀτεχνῶς τὰ γεγραμμένα λεγέτω καὶ ψαλλέτω, ὥσπερ εἴρηται, ὑπὲρ τοῦ καὶ τοὺς διακονήσαντας ἀνθρώπους αὐτὰ ἐπιγινώσκοντας τὸ ἑαυτῶν συνεύχεσθαι ἡμῖν· μᾶλλον δὲ ἵνα καὶ τὸ Πνεῦμα τὸ λαλῆσαν ἐν τοῖς ἁγίος, θεωροῦν τοὺς παρ' αὐτοῦ λόγους ἐνηχηθέντας ἐκείνοις, συναντιλαμβάνηται ἡμῖν. Ὅσῳ γὰρ τῶν ἁγίων ὁ βίος βελτίων τῶν ἄλλων ἐστί, τοσούτῳ καὶ τὰ παρ' αὐτῶν ῥήματα τῶν παρ' ἡμῶν συντιθεμένων βελτίονα καὶ ἰσχυρότερα ἄν τις εἴποι δικαίως. Ἐν τούτοις γὰρ εὐηρέστησαν τῷ Θεῷ, καὶ ταῦτα λέγοντες, ὡς εἶπεν ὁ Ἀπόστολος· «Κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων, ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν.[1]»

λβ'. Οὐκοῦν καὶ νῦν ταῦτα λέγων ἕκαστος ἔστω θαρρῶν, ὅτι δι' αὐτῶν ταχέως ὁ Θεὸς ἐπακούσεται τοῖς δεομένοις· εἴτε γὰρ θλίβεται λέγων ταῦτα, μεγάλην ὄψεται τὴν ἐν αὐτοῖς παράκλησιν· εἴτε πειράζεται καὶ διώκεται ψάλλων οὕτως, δοκιμώτερος ἀναφανήσεται, καὶ σκεπασθήσεται παρὰ τοῦ Κυρίου, τοῦ καὶ τὸν εἰπόντα ταῦτα σκεπάσαντος· ἐν τούτοις τὸν μὲν διάβολον ἀνατρέψει, τοὺς δὲ δαίμονας αὐτοῦ σοβήσει. Ταῦτα λέγων εἰ μὲν ἥμαρτεν, ἑαυτὸν ἐντρέψει καὶ παύσεται· εἰ δὲ μὴ ἥμαρτεν, ὄψεται ἑαυτὸν χαίροντα, ὅτι τοῖς μὲν ἔμπροσθεν ἐπεκτείνεται, καὶ ἀγωνιζόμενος μὲν ἰσχύσει ψάλλων οὕτως, οὐ σαλευθήσεται δὲ εἰς τὸν αἰῶνα ἀπὸ τῆς ἀληθείας, ἀλλὰ καὶ τοὺς ἀπατῶντας καὶ πλανᾶν ἐπιχειροῦντας ἐλέγξει· καὶ τούτου οὐκ ἄνθρωπος ἐγγυητής, ἀλλ' αὐτὴ ἡ θεία γίνεται Γραφή. Ὁ γὰρ Θεὸς ἐνετείλατο τῷ Μωϋσῇ γράψαι τὴν μεγάλην Ὠδήν[2], καὶ διδάξαι τὸν λαόν· τόν τε καθιστάμενον ἄρχοντα κελεύει γράψαι τὸ Δευτερονόμιον, ἔχειν τε τοῦτο μετὰ χεῖρας, καὶ μελετᾶν ἀεὶ τὰ ἐν αὐτῷ ῥήματα[3], ὡς ἀρκούντων τῶν ἐν αὐτοῖς λόγων πρός τε ὑπόμνησιν ἀρετῆς, καὶ βοήθειαν φέρειν τοῖς γνησίως αὐτοὺς μελετῶσιν. Ἀμέλει ὁπηνίκα εἰς τὴν γῆν εἰσῆλθεν ὁ τοῦ Ναυῆ, βλέπων τὰς τῶν ἐχθρῶν διατάξεις, καὶ τοὺς βασιλεῖς τῶν Ἀμορραίων πάντας συνελθόντας εἰς πόλεμον, αὐτὸς ἀνθ' ὅπλων καὶ ξιφῶν τὸ Δευτερονόμιον ἀναγνοὺς εἰς τὰ ὦτα πάντων, τά τε ῥήματα τοῦ νόμου ὑπομνήσας, καὶ τούτοις τὸν λαὸν καθοπλίσας, περιγέγονε τῶν πολεμίων. Ὁ δὲ βασιλεὺς Ἰωσίας εὑρεθέντος τοῦ βιβλίου, καὶ ἀναγνωσθέντος εἰς τὰς πάντων

1. Ἑβρ. 11, 33-35. 2. Πρβλ. Δευτ. 31, 19. 3. Πρβλ. Δευτ. 17, 18.

ἀκοάς, οὐκέτι τοὺς ἐχθροὺς ἐφοβεῖτο.[1] Καὶ εἴ ποτε δὲ πόλεμος ἦν τῷ λαῷ, ἡ κιβωτὸς ἔχουσα τὰ πυξία τοῦ νόμου προώδευε πάντων, καὶ ἤρκεῖτο τούτοις ἀντὶ πάσης παρατάξεως εἰς βοήθειαν, εἰ μή τις ἦν παρὰ τοῖς βαστάζουσι καὶ ἐν τοῖς λαοῖς προκρατήσασα ἁμαρτία καὶ ὑπόκρισις. Πίστεως γὰρ καὶ γνησίας διαθέσεως χρεία, ἵνα ὁ νόμος εἰς τὰ κατ' εὐχὴν συνεργάζηται.

λγ'. Ἐγὼ γοῦν, ἔλεγεν ὁ γέρων, ἤκουσα καὶ παρὰ φρονίμων ἀνδρῶν, ὡς ἄρα τὸ παλαιὸν ἐν τῷ Ἰσραήλ, μόνον ἀναγινώσκοντες τὰς Γραφάς, ἐδίωκον δαίμονας, καὶ ἠλέξουν τὰς παρ' αὐτῶν τοῖς ἀνθρώποις γινομένας ἐπιβουλάς. Ὅθεν καὶ καταγνώσεως πάσης ἀξίους εἶναι ἔλεγε τοὺς ταῦτα μὲν ἀφιέντας, συντιθέντας δὲ ἑαυτοῖς ἔξωθεν πιθανὰ ῥήματα, καὶ ἐν τούτοις ἐξορκιστὰς ὀνομάζοντας. Μᾶλλον γὰρ παίζουσι, καὶ παρέχουσιν ἑαυτοὺς ἐκείνοις εἰς τὸ χλευάζεσθαι· οἷα πεπόνθασιν Ἰουδαῖοι οἱ Σκευᾶ υἱοί, ἐπιχειρήσαντες καὶ αὐτοὶ τὸν τρόπον τοῦτον ἐξορκίζειν.[2] Ταῦτα μὲν γὰρ ἀκούοντες παρὰ τῶν τοιούτων οἱ δαίμονες παίζουσι· τὰ δὲ τῶν ἁγίων ῥήματα φοβοῦνται, ἢ καὶ φέρειν αὐτὰ οὐ δύναται. Ἔστι γὰρ ἐν τοῖς τῶν Γραφῶν ῥήμασιν ὁ Κύριος, ὃν μὴ δυνάμενοι φέρειν ἔκραζον· «Δέομαί σου, μή με πρὸ καιροῦ βασανίσῃς·[3]» ἐκαίοντο γὰρ καὶ μόνον βλέποντες παρόντα τὸν Κύριον. Οὕτως καὶ ὁ Παῦλος παρήγγειλε τοῖς ἀκαθάρτοις πνεύμασιν·[4] οὕτως καὶ τοῖς μαθηταῖς ὑπετάσσετο τὰ δαιμόνια.[5] Καὶ ἐπὶ Ἐλισσαίου δὲ τοῦ προφήτου ἐγένετο χεὶρ Κυρίου[6], καὶ προεφήτευσε περὶ τῶν ὑδάτων τοῖς τρισὶ βασιλεῦσιν, ὅτε ἔψαλλε κατ' ἐντολὴν αὐτοῦ ὁ ψάλλων. Οὕτως καὶ νῦν, εἴ τις κήδεται τῶν πασχόντων, ταῦτα λεγέτω, καὶ μᾶλλον τόν τε πάσχοντα ὠφελεῖ, καὶ ἑαυτοῦ τὴν πίστιν ἀληθῆ καὶ βεβαίαν ἐπιδείξεται· ὥστε, καὶ ταύτην ὁρῶντα τὸν Θεόν, τελείαν τὴν θεραπείαν παρασχεῖν τοῖς δεομένοις. Τοῦτο γὰρ καὶ ὁ ἅγιος γινώσκων, ἔλεγεν ἐν τῷ ριη' ψαλμῷ· «Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου·[7]» καὶ πάλιν· «Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.[8]» Ἐν τούτοις γὰρ καὶ σωτηρίαν ἐκέρδαινον, λέγοντες· «Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.[9]» Ὅθεν καὶ ὁ Παῦλος ἐν τούτοις ἠσφαλίζετο τὸν ἑαυτοῦ μαθητήν, λέγων· «Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ γένηται.[10]» Ταῦτα καὶ σὺ μελετῶν, καὶ συνετῶς ἐντυγχάνων οὕτως τοῖς ψαλμοῖς, τὸν μὲν ἐν ἑκάστῳ νοῦν «ὁδηγούμενος ὑπὸ τοῦ Πνεύματος» καταλαβεῖν δυνήσῃ. Τοιοῦτον δὲ καὶ σὺ ζηλώσεις βίον, οἷον ἔσχον οἱ ταῦτα θεοφορούμενοι λαλήσαντες ἄνδρες ἅγιοι.

---

1. Πρβλ. Δ' Βασ. 22, 8-11. 2. Πρβλ. Πράξ. 19, 14-16. 3. Λουκ. 8, 28. 4. Πρβλ. Πράξ. 16, 18. 5. Πρβλ. Λουκ. 10, 17. 6. Πρβλ. Δ' Βασ. 3, 15. 7. Ψαλμ. 118, 16. 8. Ψαλμ. 118, 54. 9. Ψαλμ. 118, 92. 10. Α' Τιμ. 4, 15.

ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ
ΥΠΟΘΕΣΙΣ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ.*

Ἐν τῇ Ἑβραϊκῇ βίβλῳ τῶν Ψαλμῶν ἄνευ τῆς τοῦ ἀριθμοῦ προσθήκης ἀνεγράφησαν οἱ πάντες καὶ διαφόρως· οἱ μέν εἰσι συνημμένοι, οἱ δὲ διῃρημένοι. Αὐτίκα γοῦν ὁ πρῶτος καὶ ὁ δεύτερος κατὰ τὸ Ἑβραϊκὸν συνημμένοι· καὶ πάλιν ὁ ἔνατος, συνημμένος παρ' ἡμῖν, ἐν τῷ Ἑβραϊκῷ διήρηται εἰς δύο. Καὶ πᾶσα δὲ ἡ τῶν Ψαλμῶν βίβλος εἰς μέρη πέντε διήρηται. Παρατηρητέον δέ, μὴ κατὰ ἀκολουθίαν τῶν τῆς ἱστορίας χρόνων ἡ τῶν ψαλμῶν σύγκειται τάξις· ἐνήλλακται δὲ παρὰ πολλοῖς τοῖς χρόνοις, ὡς ἡ βίβλος τῶν Βασιλειῶν δηλοῖ. Πολλῆς γὰρ εἰδωλολατρείας κατακρατησάσης τοῦ τῶν Ἰουδαίων ἔθνους, λήθην αὐτοὺς πεποιῆσθαι τῶν πατρικῶν Γραφῶν, ὡς μηδὲ φαίνεσθαι βίβλον τοῦ Μωσέως νόμου, μηδὲ μὴν τῆς τῶν πατέρων εὐσεβείας τι σῴζεσθαι παρ' αὐτοῖς. Ὅτε γοῦν καὶ τοὺς προφήτας ἀνήρουν, διαλέγοντας αὐτῶν τὰς δυσσεβείας, καὶ τούτων ἕνεκα τὸ πρῶτον τῇ τῶν Ἀσσυρίων πορεδόθησαν αἰχμαλωσίᾳ· μετὰ δὲ ταῦτά τινα τῶν προφητῶν, περὶ τῆς συναγωγῆς αὐτῶν ἐσπουδακότα, μετά γε τῶν λοιπῶν καὶ τὴν βίβλον τῶν Ψαλμῶν συναγηοχέναι· οὐκ ἀθρόως εὑρόντα τοὺς πάντας, ἀλλὰ κατὰ διαφόρους χρόνους· κατατάττειν δὲ ἐν πρώτοις τοὺς πρώτους εὑρισκομένους· διὸ μηδὲ τοῦ Δαυὶδ ἐφεξῆς εὑρίσκεσθαι τοὺς πάντας, ἐν δὲ τῷ μεταξὺ καὶ τῶν υἱῶν Κορέ, καὶ τοῦ Ἀσάφ, καὶ Σολομῶντος, καὶ Μωσέως, Αἰθάμ τε τοῦ Ἰσραηλίτου, καὶ Αἱμάν, καὶ πάλιν τοῦ Δαυίδ, εὑρίσκεσθαι ἀναμὶξ ἐν τῇ βίβλῳ τεταγμένους· οὐ καθ' οὓς ἐλέχθησαν χρόνους, ἀλλὰ καθ' οὓς εὕραντο. Τὸ δ' αὐτὸ εὕροις γεγενημένον καὶ ἐν ταῖς τῶν προφητῶν περικοπαῖς.

Τοὺς δὲ μετὰ τὸν πρῶτον καὶ δωδέκατον ἀνεπιγράφους ψαλμούς, καὶ τοὺς ἐπιγραφὴν ἔχοντας, οὐ δηλοῦντας τίνος εἰσίν, ἐκείνων εἶναι παῖδες Ἑβραίων φασί, ὧν τοὔνομα φέρεται ἐν ταῖς τῶν ἀνεπιγράφων προτεταγμέναις. Τὸν δὲ πρῶτον καὶ δεύτερον, ἕνα ὄντας ἄμφω, τοῦ Δαυὶδ ὑπάρχειν ἡγοῦμαι, διὰ τὸ πάντας τοὺς ἐν τῷ πρώτῳ μέρει τῶν Ψαλμῶν ἐφεξῆς αὐτοῦ εἶναι. Ἀπὸ γοῦν τοῦ τρίτου μέχρι τοῦ μ' τοῦ Δαυὶδ ἐπιγράφονται οἱ πάντες· διό μοι δοκοῦσιν ὑπάρχειν τοῦ αὐτοῦ ὅ τε πρῶτος καὶ ὁ δεύτερος. Πιστοῦται δὲ λόγον ἡ τῶν Πράξεων τῶν ἀποστόλων βίβλος, ἐν ᾗ εἴρηται· «Δέσποτα, σὺ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 27, σ. 56 ἑξ.

ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· ὁ τοῦ πατρὸς ἡμῶν διὰ Πνεύματος ἁγίου στόματος παιδός σου Δαυὶδ εἰπών· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; [1]» Σαφῶς γὰρ διὰ τούτων τὸν β' ψαλμὸν τοῦ Δαυὶδ ἔφησεν εἶναι. Ἀποσεσιωπῆσθαι δὲ εἰκὸς ἐπ' αὐτὸν τὴν τοῦ Δαυὶδ προγραφήν, διὰ τὸ γυμνὴν ἔχειν περὶ τοῦ Κυρίου προφητείαν, ἐν ᾗ εἴρηται· «Κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.[2]» Οἷς ἀκολούθως ἐπιλέγει ἐξ αὐτοῦ τοῦ προσώπου τοῦ Χριστοῦ τό· «Κύριος εἶπε πρός μέ· Υἱός μου εἶ σύ.[3]» Φέρονται τοίνυν ψαλμοὶ οἱ πάντες ρν'. Τινὲς δὲ νομίζουσι τοὺς πάντας εἶναι τοῦ μακαρίου Δαυίδ· οὐ σημαίνεται δὲ τοῦτο. Οἱ μὲν γὰρ πάντες ἀναφέρονται τοῦ Δαυίδ· ἐν δὲ ταῖς ἐπιγραφαῖς δείκνυται τίς τίνος ψαλμὸς γεγένηται. Τέσσαρες γὰρ ἄρχοντες ᾠδῶν ἐξελέγησαν, σπη' ἀκόλουθοι. Τῶν οὖν τεσσάρων ἀρχόντων παράκεινται ψαλμοί, ὡς καὶ αἱ ἐπιγραφαὶ διδάσκουσιν. Ὁπόταν γὰρ λέγῃ· «Ψαλμὸς τοῖς υἱοῖς Κορέ, Αἰθάν, Ἀσάφ, καὶ Αἰμάν·» αὐτοὶ ψάλλουσιν οἱ υἱοὶ Κορέ, Αἰθάν, Ἀσάφ, καὶ Αἰμάν. Ὅταν εἴπῃ, «Ψαλμὸς τοῦ Ἀσάφ», αὐτὸς εἶπεν ὁ Ἀσάφ· ὅταν εἴπῃ, «Ψαλμὸς τοῦ Ἰδιθούμ», αὐτὸς ψάλλει Ἰδιθούμ· ὁπόταν εἴπῃ, «τοῦ Δαυίδ», αὐτὸς λέγων ἦν Δαυίδ· ἐπὰν δὲ λέγῃ, «τῷ Δαυίδ», ὑφ' ἑτέρων λέγεται εἰς τὸν Δαυίδ. Εἰσὶ μὲν οἱ πάντες ρν', ὧν οβ' εἰσὶ τοῦ Δαυίδ, θ' δὲ τῷ Δαυίδ, ιβ' τοῦ Ἀσάφ, ιβ' τοῖς υἱοῖς Κορέ, εἷς τοῦ Ἰδιθούμ, εἷς τοῦ Αἰθάμ, εἷς τοῦ Αἰμάν, εἷς τοῦ Σαλομών, δύο Ἀγγαίου καὶ Ζαχαρίου, ἀνεπίγραφοι λθ' καὶ εἷς Μωσέως· πάντες ρν'.

Δεῖ τοίνυν θεωρῆσαι τὸ μυστήριον τίνι λόγῳ, διαφόρων ᾠδῶν ὑπαρχόντων, καὶ μὴ πάντων τῶν ψαλμῶν ὄντων Δαυίδ, ἀναφέρεται εἰς τὸν Δαυίδ· καὶ τοῦτο οὐ παραδραμούμεθα. Τούτου γὰρ χάριν ἐπεγράφη, ἐπεὶ αὐτὸς αἴτιος γεγένηται τοῦ εἶναι ταῦτα· αὐτὸς γὰρ ἐξέλεξε τοὺς ᾠδούς. Αὐτὸς τοίνυν αἴτιος γενόμενος ἠξιώθη τῆς τιμῆς ταύτης, ἵνα πάντες ὅσα εἶπαν οἱ ᾠδοὶ εἰς τὸν Δαυὶδ καταλογισθῇ.

Ὅτι προφήτης ὑπάρχων ὁ Δαυίδ, καὶ ἠνεῳγμένους ἔχων τοὺς ἔνδον ὀφθαλμούς, καὶ εἰδώς, ὅτι χαίρουσι τῇ πτώσει τῶν ἀνθρώπων τὰ πονηρὰ πνεύματα, καὶ πάλιν ἀντιλυποῦνται ἡττώμενα ἐπὶ τῇ διορθώσει τῶν ἀνθρώπων, πάντως ὅτι νοητῶς τὰς κατ' αὐτῶν προσευχὰς ἐποιεῖτο, ἐκ τῶν αἰσθητῶν ἐχθρῶν πρὸς αὐτὰ μεταβαλλόμενος. Εἰ γὰρ μὴ κατὰ τοῦτον τὸν τρόπον ἐκλάβωμεν τὸν σκοπὸν τῶν προφητῶν, οὐ μόνον οὐδεμίαν οἰκοδομὴν ἐκ τῶν παρ' αὐτοῖς εἰρημένων πρὸς κτῆσιν πραότητος ἕξομεν, ἀλλὰ καὶ σκληράν τινα καὶ ἐναντίαν τῆς εὐαγγελικῆς διδασκαλίας διάθεσιν ἀναληψόμεθα ἐκ τοῦ κατεύχεσθαι συχνῶς τῶν ἐχθρῶν, καὶ μὴ ἀγαπᾶν· μυριοντάκις λέγοντος τοῦ Δαυίδ, «Αἰσχυνθείησαν καὶ ἐντραπείησαν πάντες οἱ ἐχθροί

---

1. Πράξ. 4, 24-25. Ψαλμ. 2, 1. 2. Ψαλμ. 2, 2. 3. Ψαλμ. 2, 7.

μου, καὶ μὴ αἰσχυνθείην ἐγώ.» Ταῦτα δὲ οὐκ ἂν πεισθείημεν οὕτως εἰρηκέναι ἄνδρας προφήτας καὶ φίλους Θεοῦ, εἰ μὴ τῷ προειρημένῳ τρόπῳ. Οὕτω γὰρ χρὴ νοεῖν τὸν φιλόπονον, ἔνθα ἂν ἐπαρώμενον εὕροι προφήτην, ἐπὶ τοὺς νοητοὺς ἐχθροὺς ἀπὸ τῶν αἰσθητῶν μεταβάλλοντα. Λοιπὸν δὴ κατασχολάζεσθαι τὸν ἀσκητὴν παντὸς ῥήματος τὴν κατανόησιν.

ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΕΙΣ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ.*

ΨΑΛΜΟΣ Α΄.

Ὑπόθεσις.

Τὴν ἀρχὴν τῆς προφητείας τῷ ἐξ αὐτοῦ τεχθησομένῳ Χριστῷ ἀνατίθησιν ὁ Δαυίδ. Διὸ ἐν πρώτοις μακαρίζει τοὺς εἰς αὐτὸν ἠλπικότας.

[Μακαρίους δὲ καλεῖ τοὺς μὴ πορευθέντας ἐν βουλῇ ἀσεβῶν, μήτε μὴν στάντας ἐν ὁδῷ ἁμαρτωλῶν, μήτε ἐπὶ καθέδραν λοιμῶν καθεστηκότας. Τρία γὰρ ἦν τὰ τάγματα παρὰ Ἰουδαίοις κατὰ τοῦ Σωτῆρος ἐπαναστάντα, γραμματεῖς, Φαρισαῖοι, καὶ νομικοί· οἳ καὶ κληθεῖεν εἰκότως ἀσεβεῖς καὶ ἁμαρτωλοὶ καὶ λοιμοί. Ὁδὸς μὲν ὁ βίος εἴρηται διὰ τὴν πρὸς τὸ τέλος τῶν γεννωμένων ἔπαξιν.]

«Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν.» Δυνατὸν δὲ βουλὴν ἀσεβῶν εἰπεῖν τὴν σύνοδον καὶ τὴν συνέλευσιν τῶν πονηρῶν. Καὶ ἐπεὶ βλαβερὸν τὸ τοῖς ἀθροίσμασι τῶν ἀσεβῶν παραβάλλειν, μακαρίζει τὸν μηδὲ κατὰ ποσὸν εἰς τὸ αὐτὸν αὐτοῖς ἐρχόμενον. Τοιοῦτος ὑπῆρχεν ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθίας, ὁ τὸ σῶμα τοῦ Κυρίου καὶ Θεοῦ θάψας. Εἴρηται γὰρ περὶ αὐτοῦ, ὡς οὐκ ἦν συγκατατιθέμενος τῇ βουλῇ τῶν Ἰησοῦ προδοτῶν. «Καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισε.» Διὰ τῆς καθέδρας τὴν διδασκαλίαν δηλοῖ, ὥς φησιν· «Ἐπὶ τῆς καθέδρας Μωσέως.[1]» Καθέδρα τοίνυν λοιμῶν ἡ διδασκαλία τῶν πονηρῶν.

«Ἡμέρας καὶ νυκτός.» Τὸ σύντονον δηλοῖ. Οὐ γὰρ ἠμελημένως δεῖ μελετᾶν τὸν νόμον τοῦ Κυρίου.

[Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.» Τῷ νόμῳ, τῷ ἀγγελικῷ δηλονότι. Τὸ σύντονον δηλοῖ· οὐ γὰρ ἠμελημένως δεῖ μελετᾶν τὸν νόμον τοῦ Κυρίου. Οὐ γὰρ ποτὲ δεῖ τοῖς μελετᾶν, ποτὲ δὲ οὔ, ἀλλ' ἀεὶ καὶ διαπαντὸς τοῖς θείοις λογίοις προσηλῶσθαι· τοῦτο γὰρ δηλοῖ τό, «ἡμέρας καὶ νυκτός.» Καλὸς τοῦ κατορθώματος ὁ μισθός· ὁ γὰρ τῷ θείῳ σχολάζων νόμῳ καὶ τοῖς ἐκ τούτου νάμασιν ἀρδευόμενος. Καὶ ὕδωρ καὶ ὁ Χριστὸς τὴν ἑαυτοῦ διδασκαλίαν ἀνεκάλεσεν εἰπών·

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ, 27, σ. 60 ἑξ.

1. Ματθ. 23, 2.

«Εἴ τις διψᾷ, ἐρχέσθω πρός μέ, καὶ πινέτω.[1]» Τῷ παρ' ὕδασι δένδρῳ ἀπείκασται ἀεὶ τεθηλότι, ἀεὶ βρίθοντι τοῖς ὡραίοις. Οἱ γὰρ τῆς ἀρετῆς ἀθληταὶ τοὺς μὲν τῶν πόνων καρποὺς κατὰ τὸ μέλλον κομίσονται· οἷον δέ τισι φύλλοις κἀντεῦθεν τῇ ἀγαθῇ ἐλπίδι κατασκιάζονται, καὶ κλέπτουσι τῇ ψυχαγωγίᾳ τὴν τῶν πόνων βαρύτητα. Τῷ τοιούτῳ πάντα εὐοδωθήσεται. Οὐδὲν γὰρ ἐναντίον τοῖς θείοις νόμοις διενεργήσει, τῷ τοῦ νόμου βουλήματι συναρμόττων τὸ θέλημα· πρότερον ἅπαντα τῆς κακίας ἀπαγορεύσας τὰ εἴδη, καὶ τῶν θείων νόμων ὑποδείξας τὴν τελειότητα, οὕτως ἐπήγαγε· «Πάντα ὅσα ἂν ποιῇ.]

«Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων.» Ἐξομολογήσεως, ἤτοι παραβολῆς ξύλον ὁ Χριστὸς ἀναγέγραπται ἐν τῇ θεοπνεύστῳ Γραφῇ, κατὰ τὸ εἰρημένον· «Ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς.[2]» Λέγει οὖν, ὅτι οἱ πιστεύσαντες τῷ Χριστῷ σῶμα αὐτοῦ ἔσονται· μετασχηματίσει γὰρ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν πρὸς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. «Διεξόδους δὲ τῶν ὑδάτων» τὰς θείας φησὶ Γραφάς· ἐν αἷς ἁπανταχοῦ ἔστιν εὑρεῖν Χριστὸν κηρυσσόμενον. [Ξύλον ζωῆς ὁ Χριστός, κλάδοι οἱ ἀπόστολοι, καρπὸς αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς· ὧν τὸ μὲν εἰς ὑποτύπωσιν μαρτυρίου, τὸ δὲ βαπτίσματος. Φύλλα οἱ λόγοι· καρπὸν τοῦ ξύλου νοήσεις τὴν ὀρθὴν πίστιν· φύλλα δὲ αὐτοῦ τὴν πλήρωσιν τῶν ἐντολῶν. Καρπὸς καὶ οἱ σῳζόμενοι, ῥίζα τὸ βάπτισμα· γεωργὸς ὁ Πατήρ.] «Ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ.» Καρπὸν τοῦ ξύλου νοήσεις τὴν πίστιν· φύλλα δὲ αὐτοῦ τὴν πλήρωσιν τῶν ἐντολῶν. «Καὶ τὸ φύλλον αὐτοῦ ἀπορρυήσεται», οὐκ ἀποπεσεῖται. «Καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται.» Οὐ γάρ ἐστι πρᾶξις τῶν κατὰ Θεὸν γινομένων ἀνωφελής. [Καιρὸς τοῦ διδόναι ἡ τοῦ λαμβάνοντος ἐπιτηδειότης ἐστίν.]

«Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει.» Διὰ τοῦτο μέν, διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἀλλ' ὁμοίους εἶναι χοῒ γῆς ὑπὸ ἀνέμου ῥιπιζομένῳ· ἄνεμον δὲ νοήσεις τὴν ἀπειλὴν τοῦ Θεοῦ τὴν λέγουσαν· «Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς πῦρ τὸ αἰώνιον.[3]» Οἱ τὴν αὐτὴν ἀκούσαντες φωνὴν καταπεσοῦνται δικαίως· οὐ γὰρ ἑστήκασιν εἰς Χριστόν, ὅς ἐστι πιστευόντων στήριγμα καὶ θεμέλιος· τὸ γὰρ εἰς κρίσιν φησίν, οὐκ εἰς ἐρώτησιν. «Ἐν τῇ συναγωγῇ δικαίων», λέγει· ἀφορίζει γὰρ τοὺς δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν.

«Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων.» Τό, «γινώσκει», ἀντὶ τοῦ, «τιμᾷ», κατὰ τὸ εἰρημένον ὑπὸ Θεοῦ εἰς Μωσῆν· «Γινώσκω σε παρὰ πάντας·[4]» ἀντὶ τοῦ τιμῶ σε, καὶ εὗρες χάριν ἐν ἐμοί.

1. Ἰω. 7, 37. 2. Παρμ. 3, 18. 3. Ματθ. 25, 41. 4. Ἔξ. 33, 12.

ΨΑΛΜΟΣ τῷ Δαυΐδ. Ἀνεπίγραφος παρ' Ἑβραίοις

Β'.

Ὑπόθεσις.

Ἐν τῷ πρώτῳ ψαλμῷ ἀσεβεῖς τε καὶ ἁμαρτωλοὺς καὶ λοιμοὺς ἀποφηνάμενος τοὺς ἄρχοντας τοῦ Ἰουδαίων ἔθνους, ἐν τούτῳ πάλιν δείκνυσι τὰς πράξεις διὰ τῶν τοιούτων ὀνομάτων, ὧν γεγόνασι μέτοχοι. [Μνήμῃ τῶν ἀσεβῶν συμπεράνας τὸν πρῶτον ψαλμόν, ἐκ ταύτης πάλιν τοῦ β' τὴν ἀρχὴν ἐποιήσατο, διδάσκων, ὅτι τὸ προειρημένον τῶν ἀσεβῶν τέλος καὶ τοὺς κατὰ τοῦ Σωτῆρος λυττήσαντας ὑποδέξεται.]

«Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά;» Φρύαγμα τὸ ἄλογον φρόνημα. Ἀπὸ κοινοῦ τό, «ἵνα τί», τουτέστι· «Διὰ τί οἱ λαοὶ ἐμελέτησαν κενά;» Πῶς γὰρ οὐ κενὰ γέγονεν αὐτοῖς ἡ μελέτη μὴ δεξαμένοις τὸν Σωτῆρα τοῦ γένους;

[Τίς, φησίν, ἡ αἰτία τοσούτου μίσους εἰς ταὐτὸ συνδραμεῖν ἔθνη καὶ λαούς; Τὸ γάρ, «ἐφρύαξαν», κατὰ τοσοῦτο ὑπερηφανεύσαντο, σημαίνει τὸ μετ' ἐπάρσεως καὶ μεγαλαυχίας τινὸς ταράσσεσθαι καὶ θορυβεῖσθαι. Μετενεχθὲν ἀπὸ τῆς ἀλόγου τῶν ἵππων ὁρμῆς ἐπ' οὐδενὶ τῶν δεόντων· ὃ συνέβη τοῖς Ἰουδαίοις ἐπὶ Χριστοῦ. Τί τὸ αἴτιον εἰς ταὐτὸ συνδραμεῖν ἔθνη καὶ λαούς; Εἴτε γὰρ τοὺς Ἰσραηλίτας φησὶ ἔθνη καὶ λαούς, εἴτε τοὺς περὶ Ἡρώδην καὶ Πιλᾶτον ὡς ἐθνικούς, καὶ λαοὺς τοὺς Ἰουδαίους.]

[«Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς.» Τό, «παρέστησαν», ἀντὶ τοῦ, ἑαυτοὺς πρὸς τοῦτο ἀφώρισαν βασιλεῖς Ἡρώδης τε καὶ Πόντιος Πιλᾶτος. Οὕτως καὶ οἱ ἅγιοι ἀπόστολοι ἐν ταῖς Πράξεσιν ἡρμήνευσαν.]

«Καὶ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό.» Τὰ προλεχθέντα τάγματα· γραμματεῖς καὶ Φαρισαῖοι καὶ νομικοί. «Κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.» Ἡ γὰρ εἰς τὸν Χριστὸν ἐπιβουλὴ καὶ εἰς αὐτὸν ἀνατρέχει τὸν Πατέρα. Εἰ γὰρ ὁ Πατὴρ ἐν τῷ Υἱῷ καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί, πῶς οὐ καὶ μία ἡ εἰς αὐτοὺς ὕβρις γένοιτ' ἄν;

«Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν.» Λείπει τό, «λέγοντες·» ἵνα ᾖ ἡ διάνοια αὕτη· Συνήχθησαν κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, λέγοντες· Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν. Οὐ γὰρ ἤθελον εἴσω τῆς ἱερᾶς γενέσθαι σαγήνης, περὶ ἧς γέγραπται· «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ.[1]» «Καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.» Τὴν βαρύτητα τοῦ νόμου, περὶ οὗ εἴρηκε· «Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.[2]»

1. Ματθ. 13, 47. 2. Ματθ. 11, 30.

[«Τὸν ζυγὸν αὐτῶν·» ἡ γὰρ εἰς τὸν Χριστὸν ἐπιβουλὴ καὶ εἰς αὐτὸν ἀνατρέχει τὸν Πατέρα. Εἰ γὰρ ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί, πῶς οὐκ ἂν μία τις εἴη ἡ εἰς αὐτοὺς ὕβρις;]

«Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς.» Ὡς ἀνόητα βουλευσαμένους· ὁ γὰρ ὑπ' αὐτῶν προσηλωθείς, καὶ θανάτῳ παραδοθείς, ἐν οὐρανοῖς ὢν καὶ τὰ πάντα περιέχων, κενὰς αὐτῶν καὶ ματαίας δείκνυσι τὰς βουλάς. Καὶ ὁ τούτου δὲ Πατὴρ καὶ τῶν ἁπάντων Δεσπότης τὴν ἀξίαν αὐτοῦ εἰσπράξεται δίκην. «Καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.» Ἐξουδενώσει γὰρ αὐτούς, φησί, καὶ μισήσει καὶ ἀποστραφήσεται.

[«Καταγελάσει», ἀντὶ τοῦ, μισήσει καὶ ἀποστραφήσεται. Ἀλλ' ὁ τῶν ἐπιβουλευόντων, φησίν, ὑψηλότερος καταγελάσει, ἤτοι γέλωτα τὴν ἐκείνων ἐπιβουλὴν ἀποφανεῖ, ὡς ἀνοήτοις ἐπιχειρούντων. Καὶ γὰρ μυκτηρισμός ἐστι πνεῦμα διὰ ῥινῶν ἀφιέμενον εἰς ἐξουδένωσιν τῶν μεγάλα φρυαττομένων. Καὶ τὸ μετὰ τῶν προθέσεων δὲ ταῦτα εἰρῆσθαι ἐπιτακτικώτερον ἔχει τὸν γέλωτα. Καὶ οὐ μόνον, φησί, τοῦτο, ἀλλὰ καὶ ὀργῆς πειραθήσονται.]

«Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ.» Τότε, πότε ἢ ὅτε ἔλεγον· «Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν;» Τί δέ ἐστι τὰ ἐν ὀργῇ παρ' αὐτοῦ λαληθέντα; ἢ τό· «Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι·[1]» καὶ τό· «Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία·» καὶ τό· «Καὶ ὑμῖν οὐαὶ τοῖς νομικοῖς.[2]»

[Στρατιὰ γὰρ αὐτοὺς Ῥωμαϊκὴ ἐξηνδραποδίσατο. Διαφέρει δὲ θυμὸς ὀργῆς, τῷ θυμὸν μὲν εἶναι ὀργὴν ἀναθυμιωμένην καὶ ἔτι ἐκκαιομένην, ὀργὴν δὲ ὄρεξιν ἀντιλυπήσεως. Ἀτελέστερος οὖν τῆς ὀργῆς ὁ θυμός, ἀποτέλεσμά τε ἡ ὀργή. Καὶ τοιούτων δὲ τῶν ῥημάτων τὴν ἑρμηνείαν διδάσκει τὸ τέλος τῶν πραγμάτων. Στρατιὰ γὰρ αὐτοῖς ἐπιστᾶσα Ῥωμαϊκὴ τήν τε πόλιν ἐπόρθησε καὶ ἐνέπρησε τὸν νεών, καὶ αὐτῶν τοὺς μὲν πλείστους θανάτῳ παρέπεμψε· τοὺς δὲ τὴν σφαγὴν ἐκφυγόντας ἐξανδραποδίσασα, δουλείᾳ παρέδωκεν. Ἐπιστῆσαι δὲ προσήκει τὸν πιστόν, ὡς δύο προσώπων ἐφεξῆς μέμνηται, καὶ πρῶτον μὲν Κυρίου τοῦ Χριστοῦ· «Κατὰ τοῦ Κυρίου γάρ», ἔφη, «καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ·» εἶτα κατοικοῦντος ἐν οὐρανοῖς καὶ Κυρίου· «Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς·» καὶ αὖθις δὲ τὸ αὐτὸ διετήρησε σχῆμα.]

«Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιών.» Ὡς ἀποβληθέντος τοῦ ἐξ Ἰσραὴλ λαοῦ, τὴν εἰς τὰ ἔθνη γενομένην αὐτὸς πίστιν αὐτοῖς διηγεῖται· Σιὼν δὲ τὴν Ἐκκλησίαν δηλοῖ.

[«Κύριος εἶπε πρὸς μέ, Υἱός μου», καὶ τὰ ἑξῆς· ἀντὶ τοῦ, Ἀπεφήνατό με ἡ τοῦ Πατρὸς φύσις Υἱόν· οὐ προστάγματος ἐνεργήσαντος· ἀλλὰ τῆς οὐσίας ἀποδειξάσης ἐμὲ χαρακτῆρα τῆς τοῦ Πατρὸς

1. Ματθ. 23, 13. 2. Λουκ. 11, 46.

ὑποστάσεως. Καλῶς γὰρ πρόσκειται τό, «εἶ», τὴν πρὸ αἰώνων δηλοῦν γέννησιν· ἦν γὰρ ἀεὶ Υἱός. Ἐπήνγκε δὲ τό, «σήμερον γεγέννηκά σε», ἵνα τὴν κατὰ σάρκα γέννησιν δείξῃ· τὸ γάρ, «σήμερον», χρόνου ἐστί· διὸ καὶ τέθειται περὶ τῆς χρονικῆς γεννήσεως. Ἀκολούθως δὲ τῷ ἀνθρωπίνῳ καὶ τὰ ἐπαγόμενα, «γεγέννηκά σε.» Ὅρα πῶς τὴν κατὰ σάρκα γέννησιν οἰκειοῦται ὁ Πατὴρ τοῦ μονογενοῦς τοῦ Χριστοῦ.]

«Καὶ τὴν κατάσχεσίν σου τὰ πέρα τατῆς γῆς, ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ.» Τουτέστιν ἐν τῷ σταυρῷ· ἡ μὲν γὰρ ὕλη ξύλου, ἡ δὲ ἰσχὺς σιδήρου. Τινὲς δὲ τὴν τῶν Ῥωμαίων ἀρχὴν δηλοῦσιν.

«Καὶ νῦν, βασιλεῖς, σύνετε.» Τουτέστι, νοήσατε, πρὸς μετάνοιαν ἐπιστράφητε. «Παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν.» Τὴν μὲν προκοπὴν διὰ τοῦ, «παιδεύθητε» παριστᾷ, τὴν δὲ τελείωσιν διὰ τοῦ, «Δράξασθε παιδείας.»

«Δράξασθε παιδείας.» Τῆς εὐαγγελικῆς δηλονότι. «Καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.» Τοῦ εἰρηκότος· «Ἐγώ εἰμι ἡ ὁδός.[1]»

ΨΑΛΜΟΣ τῷ Δαυὶδ ὁπότε ἀπεδίδρασκεν ἀπὸ τοῦ Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.

Γ'.

Ὑπόθεσις.

Ἡ τοῦ ψαλμοῦ προκειμένη ἐπιγραφὴ περιέχει οὕτως. Τοῦτο γάρ ἐστιν ὃ λέγει ὁ ψαλμός, ὅτιπερ ὁ χορὸς τῶν προφητῶν διώκεται ὑπὸ τοῦ λαοῦ τῶν Ἰουδαίων. Δαυὶδ γὰρ ἑρμηνεύεται πεποθημένος· ὅπερ ἐστὶν ὁ χορὸς τῶν προφητῶν. Ὥσπερ οὖν ὁ Ἀβεσσαλὼμ ἀνταρσίαν διεζήτει κατὰ τοῦ ἰδίου Πατρός, τουτέστι τοῦ Δαυίδ, οὕτω καὶ οἱ Ἰουδαῖοι ἐπανέστησαν κατὰ τῶν πατέρων αὐτῶν προφητῶν, μὴ δεχόμενοι τὰ προστάγματα τοῦ Θεοῦ, ἀλλὰ ἀνθιστάμενοι αὐτοῖς.

«Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;» Τό, «τί», ἀντὶ τοῦ «σφόδρα» κεῖται.

«Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν Θεῷ αὐτοῦ.» Ὁ Θεός, φησίν, αὐτοῦ οὐ σώσει αὐτόν· εἰς γὰρ μόνην τὴν ἁμαρτίαν ἔβλεπον ἣν ἐπεποιήκει, ἀγνοοῦντες αὐτοῦ τὴν μετάνοιαν. Τοῦτο δὲ φανερώτερον δείκνυσιν ἐπὶ τοῦ Δαυὶδ λέγεσθαι τὸν ψαλμόν. Τὸ γὰρ ἐπανίστασθαι κυρίως λέγεται ἐπὶ τῶν πρότερον μὲν ἐν ὑπηκόων τάξει καθεστηκότων, μετὰ δὲ ταῦτα πόλεμον ἀραμένων.

«Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου.» Ἐπειδὴ ἐλέχθη, ὡς ἐκ προσώπου Κυρίου ὁ ψαλμὸς ἀπαγγέλλεται, ῥητέον ὡς καὶ αὐτοῦ ὑψοῦται ἡ κεφαλή, ὁ Θεὸς οὖσα, ὅταν ἡ θεότης αὐτοῦ φανερὰ δι' ἀποδείξεως τοῖς πιστοῖς γένηται.

---

1. Ἰω. 14, 6.

[«Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ.» Πρέπουσα τῇ πίστει τοῦ προφήτου φωνή, ἀσείστως φέροντος τηλικαύτας περιστάσεις, καὶ πεποιθότος μὴ ἐγκαταλειφθήσεσθαι· ἀλλὰ πρὸς τὸ βοηθηθῆναι καὶ ὑψωθήσεσθαι καὶ τὴν βασιλείαν ἀπολήψεσθαι· τοῦτο γὰρ εἶπόν τινες, «ὑψῶν τὴν κεφαλήν.» Δόξα τοίνυν τοῦ δικαίου ὁ Θεός, ᾧ πέποιθεν· ᾧ δὲ δόξα ὁ Θεός, οὗτος ὑψοῦται τὴν κεφαλήν.]

«Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα.» Διδάσκει ὁ λόγος, ὡς ἐν ταῖς περιστάσεσι οὐκ ἄλλῳ ἢ Θεῷ μόνῳ προσιέναι δεῖ.

[«Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα.» Προέταξε μὲν τὴν εὐχήν, εἶτα μετὰ τὸ διάψαλμα τὴν εὐχαριστίαν, ἐπὶ τὸ τετυχηκέναι ὧν ᾔτησε. Νῦν μέντοι ἀποστρέφει τὸ πρόσωπον πρὸς ἡμᾶς, καὶ διηγεῖται πῶς εὐξάμενος ἐπηκούσθη, καί φησι· «Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα.» Καὶ φωνὴν μὲν ὑποληπτέον τὴν νοερὰν τῆς διανοίας πρὸς τὸν τῶν ὅλων Θεὸν ἱκεσίαν· οὐ γὰρ τὴν κραυγὴν λέγει, ἀλλὰ τὴν αὐδαίαν τῆς διανοίας εὐχήν.

Τὸ δέ· «ἐπήκουσέ μου ἐξ ὄρους», κατὰ τὴν κατέχουσαν εἴρηται δόξαν. Ἐνομίζετο γὰρ ἐν τῇ Σκηνῇ κατοικεῖν, ἐπειδὴ ἐκεῖθεν καὶ οἱ χρησμοὶ τοῖς ἱερεῦσι ἐδίδοντο. Ἢ τό, «ἐξ ὄρους ἁγίου», ἀντὶ τοῦ, ἐξ οὐρανοῦ· ὡς καὶ τό· «Ἐν ὄρει ἁγίῳ σου·[1]» καί, «Ἐγγίσατε ὄρεσιν αἰωνίοις[2]», δύναται ὄρος ἅγιον εἶναι Θεοῦ ἐξ οὗ εἰσακούει τῶν εὐχομένων ὁ Θεὸς ὁ μονογενὴς αὐτοῦ, περὶ οὗ εἴρηται· «Ἔσται ἐμφανὲς τὸ ὄρος τοῦ Κυρίου ἐπ' ἐσχάτῳ τῶν ἡμερῶν·» δηλούσης τῆς λέξεως ταύτης τὴν γενομένην αὐτοῦ φανέρωσιν, κατὰ τὴν ἐπιδημίαν ἐπὶ συντελείᾳ τῶν αἰώνων· ἤ, ἐξ ὄρους ἁγίου, ἐκ τοῦ οὐρανοῦ. Ὄρος ἅγιον Θεοῦ ἡ ὑπερφυὴς γνῶσις αὐτοῦ.

Τὸ διάψαλμα, μουσικοῦ μέλους ἢ τροπῆς γενομένης ἢ διανοίας καὶ δυνάμεως λόγου ἐναλλαγῆς.

Τό, «ἐξηγέρθην», τοῦτο δηλοῖ, ὅτι, τῆς θείας ἀπολαύσας τροπῆς, κρείττων ἐγενόμην τῶν προσπεσόντων κακῶν.]

«Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα.» Τὸν περὶ τοῦ νοῦ ὕπνον φησί, δι' οὗ καὶ εἰς τὴν ἁμαρτίαν κατέπεσεν.

[«Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι.» Πάταξον, σύντριψον, ἢ πατάξεις. Ἐπισπεύδει τὴν ἐξανάστασιν τὴν κατ' αὐτῶν τοῦ Θεοῦ, ἤτοι τὴν ἄμυναν. «Ματαίως» ἔχει τοὺς ἐχθροὺς ὁ μὴ παρέχων πρόφασιν μίσους. «Ὀδόντας δὲ ἁμαρτωλῶν» ἢ τὴν ἰσχὺν λέγει τῶν εἰς αὐτὸν ἁμαρτανόντων, ἢ τοὺς λόγους τοὺς κατ' αὐτοῦ, καὶ τὰς βλασφημίας· ἢ ὀδόντες ἁμαρτωλῶν εἰσι λογισμοὶ ἄλογοι παρὰ φύσιν ἡμῖν ἐπισυμβαίνοντες. Τοῖς γὰρ λογισμοῖς ὡς ὀδοῦσι χρώμενοι πολλάκις ἀντικείμενοι προσεγγίζουσιν ἡμῖν, τοῦ φαγεῖν τὰς σάρκας ἡμῶν, τουτέστι τὰ ἐκ τῆς σαρκὸς φυόμενα. «Φανερὰ δέ», φησίν, «ἐστὶ τὰ ἔργα τῆς σαρκός[3]», ὁ θεῖος Ἀπόστολος. Ὀδόντας λέγει· ἀπὸ με-

1. Ψαλμ. 14, 1. 2. Πρβλ. Ψαλμ. 75, 5. 3. Γαλ. 5, 19.

ταφορᾶς τῶν θηρίων τοῦτό φησιν, ἃ μᾶλλον τοῖς ὀδοῦσιν ἰσχύει, καὶ συνθλωμένων, εὐκαταφρόνητα γίνονται. Καὶ γὰρ οἱ φονεῖς καὶ αἱμοχαρεῖς καὶ αὐτῶν τῶν αἱμοβόρων θηρίων χείρους εἰσίν, ἢ τούτοις παρισοῦνται.]

«Τοῦ Κυρίου ἡ σωτηρία.» Σῶσόν με, φησίν, Κύριε. Εὔχομαι δὲ καὶ τοῦτο εἰς πάντα ἐξενεχθῆναι τὸν λαόν. Ἰστέον δέ, ὡς ἅπας ὁ ψαλμὸς ἀναφορὰν ἔχει εἰς τὴν ἀνθρωπότητα, ἁμαρτοῦσαν μὲν καὶ δι' αὐτὸ τοῦτο παραδεδομένην τοῖς νοητοῖς ἐχθροῖς, βοῶσαν δὲ ἐν θλίψει καὶ ἐπακουσθεῖσαν παρὰ τοῦ Θεοῦ, καὶ μὴν καὶ σωθεῖσαν διὰ τοῦ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν δηλονότι, καὶ πατάξαι τοὺς ἐχθραίνοντας ἡμῖν δαίμονας. Αὐτὸς γάρ, «ὁ τὰς μύλας τῶν λεόντων συνθλάσας Κύριος.[1]» Καὶ αὐτοῦ ἐστιν, ἤτοι παρ' αὐτοῦ, ἡ σωτηρία.

[«Τοῦ Κυρίου ἡ σωτηρία.» Οὐκ ἔχω, φησίν, εἰς ἄνθρωπον τὴν ἐλπίδα, ἀλλὰ παρὰ σοῦ τὴν σωτηρίαν προσμένω, καὶ ὁ σὸς λαὸς σὺν ἐμοὶ πολεμούμενος.]

Εἰς τὸ τέλος ΨΑΛΜΟΣ ᾠδῆς τῷ Δαυΐδ.

Δ'.

Ὑπόθεσις.

Τοῦτον τὸν ψαλμὸν μετὰ τὸ νικῆσαι τὸν πόλεμον ἀνατίθησι τῷ νικοποιῷ

[Ἀντὶ τοῦ, «εἰς τὸ τέλος», ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων, «τῷ νικοποιῷ», ἡρμήνευσαν· ὁ δὲ Σύμμαχος «Ἐπινίκιον.»]

«Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου.» Ὅμοιον τῷ, «Ἔτι λαλοῦντός σου, ἐρεῖ· Ἰδοὺ πάρειμι.[2]» «Ἐν θλίψει ἐπλάτυνάς μοι.» Οὐ μόνον, φησί, τῶν περιστάσεων ἐξήγαγες, ἀλλὰ καὶ εἰς εὐρυχωρίαν πολλὴν στῆναι παρεσκεύασας. [Σιβὰς καὶ Βερζὲλ τροφὰς πολλὰς καὶ τάπητας προσήγαγον τῷ Δαυΐδ, ὅτε δή, φυγὼν τὸν Ἀβεσσαλώμ, διέτριβεν ἐν τοῖς ἐρήμοις καὶ ἐν τοῖς ὄρεσιν ὥσπερ τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ, καὶ Δανιὴλ ἐν τοῖς λέουσιν. Ὅταν θλίψεων καὶ τῶν πειρασμῶν τοὺς λόγους ἐπιγινώσκωμεν, τότε μάλιστα πλατυνόμεθα. Ἔστι δὲ καὶ ἑτέρως εὐρυχωρίαν εἰπεῖν.] «Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.» Ἐπειδὴ ἐξηκούσθη, ἔφη, ἐκ τῆς δικαιοσύνης αὐτοῦ, τούτου χάριν ἐπὶ τοὺς οἰκτιρμοὺς ἀνατρέχει τοῦ Θεοῦ.

«Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;» Ταῦτα ὡς πρὸς τοὺς πιστεύσαντας τῷ πλήθει τοῦ στρατοῦ ἑλεῖν τὸν δίκαιον. Αὕτη δὲ ἡ ἐλπίς, φησί, ματαία καὶ ψευδής ἐστιν.

«Καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ.» Ἀντὶ

---

1. Ψαλμ. 57, 7. 2. Ἡσ. 58, 9.

τοῦ, Γνῶτε τοιγαροῦν, οἱ πεποιθότες ἐπὶ πλήθει, ὡς θαυμαστὸν ἀπέδειξε τὸν πεποιθότα ἐπ' αὐτῷ. «Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με.» Χρόνος ἀντὶ χρόνου εἴληπται· ἀντὶ τοῦ, εἰσήκουσε, γὰρ ἔφη τό, εἰσακούσεται, ῥῆμα.

«Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.» Ὡς πρὸς τοὺς ἰδίους αὐτοῦ ταῦτά φησιν, ὡς πρὸς πάντας ἀνθρώπους. Εἰ καὶ δέξησθε, φησί, τὴν ὀργήν, ἀλλ' ἄπρακτον ἀπεφήνατε τῇ ἐν ἡσυχίᾳ κατανυγῇ. Τοῦτο γάρ ἐστι τό, «Ἐν ταῖς κοίταις ὑμῶν κατανύγητε.»

«Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον.» Διδάσκει πῶς περιεσόμεθα τῶν ἐχθρῶν. Πῶς δὲ περιεσόμεθα; εἰ δικαιοπράττοντες, καὶ τοῦτο ὥσπερ θυσίαν ἀναπέμποντες τῷ Θεῷ. «Πολλοὶ λέγουσι· Τίς δείξει ἡμῖν τὰ ἀγαθά;» Ταῦτα τῶν περὶ τὰς διοικήσεις τοῦ Θεοῦ ὀλιγωρούντων τὰ ῥήματα.

«Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.» Τὸ φῶς τοῦ κόσμου ὁ Χριστός ἐστι, ὁ καὶ διδάξας ἡμᾶς τὰ ὄντως ἀγαθά, δι' ἃ καὶ τὴν νοητὴν εὐφροσύνην ἐσχήκαμεν τὴν εἰς νοῦν καὶ καρδίαν.

ΨΑΛΜΟΣ Ε'.

Ὑπόθεσις.

Κληρονομοῦσά ἐστιν ἡ θεοφιλὴς ψυχή, ἤτοι ἡ Ἐκκλησία. Τί δέ ἐστιν ἃ κληρονομεῖ; «Ἃ ὀφθαλμός οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη.[1]» Εὔχεται δὲ καί τι ἂν ποιουμένη εἰσακουσθῆναι, ἑαυτῆς τό τε εὐθὲς παριστῶσα, καὶ τῶν αἰτίων διαβάλλουσα τὴν πονηρίαν.

[«Ὅτι πρὸς σὲ προσεύξομαι.» Ἐν ἀπολαύσει, φησί, τοῦ νοητοῦ γενομένη φωτός, προσεύξομαί σοι· διὸ καὶ εἰσακουσθῆναι πιστεύω.]

«Τὰ ῥήματά μου ἐνώτισαι.»

«Τὸ πρωῒ παραστήσομαί σοι.» Μέγα ἀγωνίας καύχημα τὸ ἐκ τῆς κοίτης αὐτῆς παρίστασθαι τῷ Θεῷ καὶ φθάνειν ἐν εὐχαριστίᾳ τὸν ἥλιον. Οὕτω γάρ, φησίν, ἐπόψομαι τὰ θεῖα καὶ ἅγιά σου μυστήρια ἃ ἡτοίμασας τοῖς ἀγαπῶσί σε. «Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ.» «Διὰ τοῦτο, φησίν, εἰσακουσθήσεσθαι θαρρῶ, ὅτι τῶν τοιούτων οὐκ ἐπιτήδευμα οὐδὲν ὧν μεμίσηκας. Ταῦτα δέ ἐστιν ἀνομία, καὶ πονηρία, καὶ παρανομία, καὶ ψεῦδος, καὶ φθόνος, καὶ δόλος.

«Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.» Τοὺς μὲν ἐν τῇ πολιτείᾳ πταίοντας ἐργαζομένους τὴν ἀνομίαν ὠνόμασεν· τούτους δὲ μισεῖ ὁ Θεός· τοὺς δὲ ἀποπεσόντας τῆς ἀληθείας ἑτεροδόξους λαλοῦντας ψεῦδος εἶπεν, οὓς ἀπολεῖ ὁ Θεός. Καὶ τήρει διαφορὰν τοῦ, «ἐμίσησας», καί, «ἀπο-

1. Α' Κορ. 2, 9.

λεῖς.» Πρῶτον μὲν εἰ χεῖρον τό, «ἀπολεῖς», τοῦ, «ἐμίσησας·» δεύτερον δὲ διὰ τί τὸ μὲν εἰς παρεληλυθότα ἔκλινε χρόνον, τὸ δὲ εἰς μέλλοντα.

[Λαλοῦντας ψεῦδος, καὶ τοὺς τὰ εἴδωλα λέγοντας θεούς, καὶ αὐτοὺς τοὺς δαίμονας, τοὺς ἐν τοῖς εἰδώλοις λέγοντας λόγους ψευδεῖς καὶ λοξοὺς καὶ χρησμούς.]

«Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.» Μισεῖ γὰρ τὸν τοιοῦτον ὁ Θεὸς καὶ ἀποστρέφεται. «Ἐγὼ δὲ ἐν πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου.» Τὴν ἐπουράνιον Ἱερουσαλὴμ τὴν πρωτοτόκων μητέρα. «Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.» Ναὸς Θεοῦ ἡ ἐνάρετος καὶ ἁγία κατάστασις, ἣν οἱ ἔχοντες μετὰ παρρησίας φησί. Χριστὸς δὲ ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ ἐπαναπαύσεται, οὗ οἶκός ἐσμεν ἡμεῖς. Τῆς γὰρ σῆς ἀπολαύουσα φιλανθρωπίας καὶ τῇ σῇ δεξιᾷ φρουρουμένη τὴν διηνεκῆ σοι προσφέρω προσκύνησιν ἐν τῷ ἀφιερωμένῳ τῆς σῆς δόξης ναῷ, φησὶν ἡ ἁγία καὶ καθαρὰ ψυχή· τὸν σὸν γὰρ ἀεὶ περιφέρουσα φόβον, οὐκ ἀνέξομαι τοῦτον ἀποβαλεῖν τῇ φιλανθρωπίᾳ σου θαρροῦσα. «Ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.» Τῶν νοητῶν δηλονότι. «Ἡ καρδία αὐτῶν ματαία.» Τῶν σοφῶν τοῦ αἰῶνος τούτου, ἢ καὶ τῶν αἱρετικῶν. Οὗτοι γὰρ ἀληθείας λόγον οὐκ ἴσασιν.

«Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.» Τὴν γλῶσσαν αὐτῶν λεαίνουσι, καὶ τὰ νεκρὰ ἐρεύγονται δόγματα.

«Ἀποπεσέτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν.» Ταῦτα γάρ, φησί, τὰ διαβούλια πάντα κατ' ἐμοῦ ἐποιοῦντο τῇ κατὰ Θεόν μου προκοπῇ ἐναντιούμενοι.

[«Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν ἔξωσον αὐτούς», εὐσεβεῖς αὐτοὺς ἐργασάμενος. Οἱ γὰρ διώκοντες τὴν φίλα τῷ Θεῷ πράττουσαν ψυχὴν πικραίνουσι θεομαχοῦντες σαφῶς.]

«Καὶ κατασκηνώσεις ἐν αὐτοῖς.» Αὐτὸς γὰρ ἐλεύσεται καὶ ὁ Πατήρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσονται.

«Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον, Κύριε.» Τῆς γὰρ σῆς εὐλογίας τε καὶ προνοίας τοῖς σοῖς χορηγουμένης θεραπευταῖς, οἵ, σφᾶς αὐτοὺς ἐραστὰς τοῦ σοῦ ὀνόματος καταστήσαντες, ἐπὶ τῇ σῇ κηδεμονίᾳ μεγάλα φρονήσουσι τὴν σὴν διηγούμενοι δύναμιν. Οὕτω καὶ ὁ μακάριος λέγει Παῦλος· «Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω.[1] Ὡς ὅπλον εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.» Στέφανος, φησίν, ἡμῶν τῶν πόνων χαρίσῃ τὸ τέλος, τούτῳ καθάπερ ὅπλῳ τινὶ περιφράττουσα ἡμᾶς.

1. Β' Κορ. 10, 17.

Εἰς τὸ τέλος, ἐν ὕμνοις, ὑπὲρ τῆς ὀγδόης, ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ϛ'.

Ὑπόθεσις.

Καὶ τίς ἂν εἴη ἡ ὀγδόη, ἢ ἡ τοῦ Χριστοῦ ἀναστάσιμος ἡμέρα, καθ' ἣν τῶν ἡμετέρων κόπων ἀποληψόμεθα καρπούς; τῶν ἐχθρῶν δηλαδὴ ἀποστρεφομένων εἰς τὰ ὀπίσω, μετ' αἰσχύνης δηλονότι καὶ ταραχῆς. Ἄδει δὲ τὸν ψαλμὸν ὡς μακρὸν χρόνον ἔχων ἐν τῇ μετανοίᾳ, ἣν ὑπὲρ ἁμαρτίας προσέφερεν.

«Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με.» Οὐ τὸν ἔλεγχον παραιτεῖται, ἀλλὰ τὸν μετὰ θυμοῦ· οὐδὲ τὴν παιδείαν, ἀλλὰ τὴν μετ' ὀργῆς.

«Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι.» Πᾶσα γὰρ ψυχὴ οὐ πρότερον εἰς ἁμαρτίαν πίπτει πρὶν τῆς ἰσχύος ἐνδῷ.

[Ἀσθένειαν αἰνίττεται τὴν ἀπὸ τῆς ἀθυμίας καὶ τῶν ὀδυρμῶν ἐγγινομένην.]

«Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα.» Αἱ τῆς ψυχῆς δηλονότι δυνάμεις. «Καὶ σύ, Κύριε, ἕως πότε; » Τῆς πολυχρόνου μετανοίας τὸ ῥῆμα παραστατικόν.

«Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου.» Ὡς ἀπεστραμμένου αὐτοῦ δηλονότι διὰ τὴν ἁμαρτίαν. «Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.» Πᾶν γὰρ τὸ τῆς σωτηρίας ἡμῶν τῷ ἐλέῳ ἀναθετέον τοῦ Θεοῦ.

«Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου.» Ἐπειδὴ μακρός μοι γέγονε, φησίν, ὁ τῆς μετανοίας καιρός, δέδοικα μὴ φθάσῃ τὸν παρὰ σοῦ ἔλεον ὁ θάνατος, ἐν ᾧ τὰ τῆς ἐξομολογήσεως οὐκ ἔστι. Τούτου χάριν ἐπιταχῦναι τὸν ἔλεον αἰτῶ.

«Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου.» Ἀκούσωμεν οἵαν ὁ βασιλεὺς μετάνοιαν ἐπεδείξατο. Οὐχ ἁπλῶς ἔκαμεν, ἀλλ' ἐκοπίασε στενάζων· οὐχ ἁπλῶς ἐδάκρυσεν, ἀλλὰ τὴν κλίνην ἔλουσε, καὶ καθ' ἑκάστην νύκτα. Καὶ οὐ τὸ παρελθὸν σκοπεῖ, ἀλλὰ καὶ ἐπαγγέλλεται τοῖς πρὸς τὸ μέλλον διὰ πάσης τῆς ζωῆς· καὶ ὃν οἱ πολλοὶ ποιοῦνται αἰνέσεως [ἀνέσεως] καιρόν, τοῦτον ἐκεῖνος ἐξομολογήσεως. «Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου.» Ἀντὶ μιᾶς, φησί, νυκτός, καθ' ἣν τὴν ἁμαρτίαν ἐποίησα, πολλὰς διετέλεσα νύκτας δάκρυσι βρέχων τὴν στρωμνήν μου.

«Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου.» Ὀφθαλμὸν δὲ τὸν νοῦν λέγει, ἐπειδὴ ὁ ὀφθαλμὸς τῆς ψυχῆς ἐστιν ὁ νοῦς. «Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.» Ἐνταῦθα τὸν χρόνον δηλοῖ τῆς κακοπαθείας.

[Ὃν καὶ ἐν τάξει κατορθώματος κέκτηται, διὰ τὸ πολὺν εἶναι.]

«Ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.» Ὡς ἤδη εἰσακουσθεὶς μακρὸν κατὰ τῶν ἐχθρῶν συνείρει λόγον. Οὐ μικρὰ δὲ καὶ αὕτη πρὸς ἀρετὴν ὁδός, τὸ φεύγειν καὶ διακρούεσθαι τὰς τῶν πονηρῶν συνουσίας. Οὗτος γὰρ τῆς μετανοίας καρπὸς καὶ τῶν

δακρύων τὸ κέρδος. Ἢ ἐλλιπῶς τοῦτο, ἀντὶ τοῦ· Δὸς εἰπεῖν τοῖς ἐπεμβαίνουσιν ἐχθροῖς· Ἀπόστητε, ὅτι εἰσηκούσθην, ὅτι προσεδέχθην ὁ διὰ τῆς ἁμαρτίας ἀπωσθείς.

ΨΑΛΜΟΣ τῷ Δαυίδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμινεῖ.

Ζʹ.

Ὑπόθεσις.

Ἀρχιεταῖρος τοῦ Δαυὶδ ὁ Χουσί, ὃς ἀποστέλλεται παρὰ τοῦ Δαυὶδ πρὸς Ἀβεσσαλὼμ ἐπὶ τῷ ἀντιπρᾶξαι τῷ Ἀχιτόφελ βουλὰς εἰσηγουμένῳ κατὰ τοῦ Δαυίδ· ὃς καὶ ἀπελθών, καὶ προδοσίαν ὑποκρινάμενος, βουλῆς προστεθείσης παρὰ τοῦ Ἀβεσσαλώμ, αὐτῷ τε τῷ Χουσὶ καὶ τῷ Ἀχιτόφελ· καὶ τοῦ μὲν κελεύοντος ἐπιδιώκειν, τοῦ Ἀχιτόφελ, τοῦ δὲ μή, τοῦ Χουσί· οὐ γὰρ δεῖ ἀπράκτως, φησίν, ἐπιέναι ἀνδρὶ ἐπισταμένῳ τὰ πολέμια· καὶ τούτῳ τῷ λόγῳ διασώσαντος τὸν Δαυίδ· ὡς ἂν μὴ ἀνθρωπίνης ἐπικουρίας σῳζόμενος, τῷ Θεῷ τὴν ὑπὲρ τούτων εὐχαριστήριον ᾠδὴν ἀναπέμπει, τὸ πᾶν ἐκείνου τῇ χάριτι ἀνατιθείς, ἀνθρώπων δὲ οὐδενί.

«Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα.» Ἐπειδὴ ἀνθρώπῳ, φησί, περὶ σωτηρίας οὐ θαρρῶ, εἰ καὶ τοῦ Χουσὶ οἱ λόγοι καλοί, σῶσόν με καὶ ἐκ τῶν παρόντων μὲν ἐχθρῶν, μάλιστα δὲ ἀπὸ τοῦ ἐφεδρεύοντος νοητοῦ λέοντος τῇ ἡμετέρᾳ ψυχῇ.

«Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά.» Τὸ ἀμνησίκακον προβάλλεται ἐκκαλούμενος δι' αὐτοῦ εἰς ἔλεον τὸν Θεόν. «Ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.» Ὁ μὲν δίκαιος νικήσας πλήρης ἀπὸ τῶν ἐχθρῶν ἐξέρχεται· ὁ δὲ φαῦλος καὶ νικηθεὶς ἀποπίπτει αὐτῶν κενός, καὶ οὐδὲν ἔχων πληρώματος.

«Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου.» Ὃ λέγει τοιοῦτόν ἐστιν· Ἐμπέσω εἰς τὰς χεῖρας τοῦ διαβόλου, εἰ τοιοῦτόν τι ἐποίησα τῶν προλεχθέντων· εἰ καὶ τὸ καὶ τὸ ἐποίησα, μὴ ἐλευθερωθείην τῆς ἁμαρτίας πρὸ τοῦ θανάτου. «Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου.» Τουτέστιν, ἐν τοῖς κραταιοῖς τῶν ἐχθρῶν μου. Πέρατα γὰρ τὰ ἄκρα δηλοῖ.

«Καὶ ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω.» Σαφῶς περὶ τῆς θεοφανείας τοῦ Σωτῆρος διὰ τῶν παρόντων εὐαγγελίζεται. «Καὶ συναγωγὴ λαῶν κυκλώσει σε.» Σαφῶς διὰ τῶν παρόντων τῆς Ἐκκλησίας τὴν εἰς αὐτὸν πίστιν δηλοῖ.

«Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.» Ταύτης μὲν τῆς συναγωγῆς δηλονότι. Τὸ δέ, «εἰς ὕψος», ἢ τὸν τίμιον αἰνίττεται σταυρόν, εἰς ὃν ἀνήνεγκεν ἡμῶν τὰς ἁμαρτίας, ἢ τὴν εἰς οὐρανὸν ἀναφοίτησιν. Ἐπορεύθη γὰρ ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Πατρὸς ὑπὲρ ἡμῶν.

«Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου.» Ἀξιοῖ πάλιν ἀπὸ τῶν ἐχθρῶν σωθῆναι, ἀφ' ὧν ἔπραξαν τὸ ἔλεον ἐκκαλούμενος.

«Τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.» Ἐπειδὴ οἶδας, φησί, τῆς ἡμετέρας καρδίας τὰ νοήματα, τούτου χάριν τὴν βοήθειαν ἐξαιτῶ.

«Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος.» Σαφῶς διὰ τῶν τοιούτων παρίστησι τὸ μακρόθυμον τοῦ Θεοῦ, ἀναβολὴν μὲν ἔχοντος τῆς ἡμετέρας κολάσεως, οὐ μὴν παντελῆ συγγνώμην.

«Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.» Βέλη μὲν τὴν τιμωρίαν φησίν, «καιομένοις» δὲ τοῖς ἀξίοις πυρός.

«Ἰδοὺ ὠδίνησεν ἀδικίαν.» Ὁ ἐχθρὸς τῆς ἡμετέρας ζωῆς. «Συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν.» Τουτέστι καὶ βεβούλευται καὶ εἰς ἔργον ἐξήγαγε τὰ σκέμματα.

«Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν.» Θάνατον γὰρ κατασκευάσας κατὰ τοῦ Σωτῆρος Χριστοῦ, θανάτῳ παραδίδοται.

Εἰς τὸ τέλος, ὑπὲρ ληνῶν, ΨΑΛΜΟΣ τῷ Δαυίδ.

Η΄.

Ὑπόθεσις.

Πάλαι μὲν ἐν τῇ νομικῇ λατρείᾳ ἦν ἓν προλήνιον, τὸ θυσιαστήριον δηλονότι τὸ ἐν τῷ ναῷ· μετὰ δὲ τὴν τῶν ἐθνῶν κλῆσιν πολλοὶ ληνοί· αὗται δὲ ἂν εἶεν αἱ Ἐκκλησίαι, αἱ τοὺς τῶν κατορθούντων ἐν θεοσεβείᾳ δεχόμεναι καρπούς.

[«Εἰς τὸ τέλος» εἴρηται, διὰ τὸ ἐπὶ τέλει τῶν αἰώνων πέρας σχεῖν τὰ προφητευόμενα. Περὶ Χριστοῦ γὰρ καὶ τῶν μετὰ τὴν ἐνανθρώπησιν λέγει Ἐκκλησιῶν. Ἐπεί γε καὶ ὁ Μονογενὴς ἄμπελος κέκληται, οἱ δὲ πιστοὶ κλήματα.[1] Εἰ δὲ βιάζεται ὁ Ἰουδαῖος, εἰς τὸν κοινὸν τὸν ψαλμὸν λέγεσθαι ἄνθρωπον, καὶ οὕτως γνωστὸν ἔστω, ὡς διὰ τοῦτο πάντα αὐτῷ ὑπετάγη, ὡς ἐν εἰκόνι Θεοῦ γεγονότι τοῦ μέλλοντος ἐνανθρωπῆσαι.]

«Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ!» Ἐκπλήττεται τὴν εἰς ἀνθρώπους δοθεῖσαν γνῶσιν τοῦ ὀνόματος τοῦ Θεοῦ. Οὐκ ἔτι γὰρ μόνοις τοῖς ἐν τῇ Ἰουδαίᾳ γνωστὸς ὁ Θεός.

«Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.» Τῶν κατὰ Θεὸν νηπιαζόντων τῇ κακίᾳ. Τοῦτο δὲ καὶ ἐν τοῖς Εὐαγγελίοις σαφῶς ἀναγέγραπται εἰρηκὼς ὁ Σωτήρ, ὅτε τοὺς παῖδας οἱ Φαρισαῖοι ἐπεστόμιζον εὐλογοῦντας αὐτόν.[2] «Ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.» Ἢ τὸν αἰσθητόν, ἢ τὸν νοητόν, ἢ τὸν λαὸν τὸν Ἰουδαϊκόν· ἤλαυνον γὰρ ὡς ἐχθρὸν τὸν Χριστόν· προσεποιοῦντο δὲ τὸν Πατέρα ἐκδικοῦντες τοῦτο ποιεῖν. Διὰ τοῦτο, ἄνω καὶ κάτω ταύτης αὐτοὺς ἀποστερῶν τῆς ἀπολογίας, ἔλεγεν· «Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ.[3]» «Ἐχθρὸν καὶ ἐκδικητήν», τὸν διάβολον δηλονότι. Ἐπειδή, μετὰ τὸ ἀναγκάσαι

---

1. Πρβλ. Ἰω. 15, 5. 2. Ματθ. 21, 16. 3. Ἰω. 15, 23.

πληρῶσαι τὴν ἁμαρτίαν, καὶ τιμωρεῖται τοὺς ἁμαρτάνοντας, τὸ μέγεθος αὐτοῖς τοῦ ἁμαρτήματος ἐν ὀφθαλμοῖς παριστῶν. Ἢ τὸν λαὸν τῶν Ἰουδαίων, ἐχθρὸν μὲν τῆς ἀληθείας, ἐκδικητὴν δὲ τῷ δοκεῖν ἐκδικεῖν τὸν νόμον.

«Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου.» Ἐκεῖνοι μὲν ἀγανακτοῦσι τῶν νηπίων καταρτιζόντων αἶνον· ἐγὼ δὲ τὸ οὕτω μέγα καὶ περικαλλές, τοὺς οὐρανούς φημι, μικρόν τι ἔργον τῆς σῆς δημιουργίας, θεωρῶ.

«Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους.[1]» Ταῦτα τοῦ Παύλου σαφῶς ἐπὶ τὸν Σωτῆρα ἡμῶν ἐξειληφότος, ἀρκεῖσθαι τῇ ἐκδόσει χρή.

«Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ.» Εἰπὼν ὁ Θεός· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν[2]», ἐπήγαγε· «Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης», καὶ τοῖς λοιποῖς κατὰ μέρος ἐπεξέρχεται, οἷς ἐπιλέγει· «Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς·[3]» τῇ γὰρ λογικῇ φύσει, ὡς ἂν ὡμοιωμένῃ Θεῷ, τὴν κατὰ πάντων ἀρχὴν ἐδωρήσατο. Καὶ δύναμιν ὁ ἄνθρωπος λαβὼν τῆς θεϊκῆς εἰκόνος, ὡς βασιλεὺς ἁπάντων ἐστὶν ὁ Θεός, οὕτως ἄρχων κατέστη τῶν ἐπὶ γῆς. Εἰ δὲ καθολικῶς εἴρηται· «Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου», λέγει δὲ ἀλλαχοῦ, «Καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί·[4]» δῆλον ὡς ἐπὶ τοὺς οὐρανοὺς κατέστησεν αὐτόν, καὶ μήποτε ἀπορρήτως τὴν ἐν οὐρανοῖς σημαίνει διατριβὴν τῶν ἀπὸ γῆς ἐκεῖσε μεθισταμένων, ὅτε μέλλουσι βασιλείαν οὐρανῶν κληρονομεῖν, ὡς ἐπήγγελται. Λέγει δὲ καὶ Παῦλος· «Κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ.[5]» Οὕτως καὶ τό, «Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ[6]», νοητέον. Νῦν μὲν τὰ ζῷα· ἐπειδὴ δὲ βίος ἰσάγγελος ἀπόκειται τοῖς ἀνθρώποις ἐν οὐρανῷ, ἐκεῖ καταστὰς ἐπὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, θεωρὸς οὐρανῶν ἔσται καὶ τῶν ἐν αὐτοῖς. Ὁ δὲ μακάριος Παῦλος καὶ τοῦτο περὶ τοῦ Σωτῆρος ἐξέλαβεν ἐν αἰῶνι τῷ μέλλοντι γενησόμενον. Διό φησι πρὸς αὐτὸν ὁ Πατήρ· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[7]» «Πρόβατα καὶ βόας ἁπάσας.» Τοὺς ἐξ Ἰσραὴλ πιστεύοντας αἰνίττεται. «Ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου.» Διὰ τούτων τὰ ἔθνη δηλοῖ. «Τὰ πετεινὰ τοῦ οὐρανοῦ», τοὺς ἐπηρμένους κατὰ τὸν βίον καὶ τὰ ὑψηλὰ φρονοῦντας, τοὺς ἀλογωτάτους.

«Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ!» Ἀναλαμβάνων ἀναδιπλασιάζει τὸ θαῦμα ἐκπληττόμενος, ὡς ἔφην, ἐπὶ τῇ γενομένῃ τῶν ἀνθρώπων θεογνωσίᾳ.

---

1. Πρβλ. Ἑβρ. 2, 6-7. 2. Γεν. 1, 26. 3. Γεν. 1, 28. 4. Ψαλμ. 101, 26. 5. Ῥωμ. 8, 17. 6. Πρβλ. καὶ Ἑβρ. 2, 8. 7. Ψαλμ. 109, 1.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ, ΨΑΛΜΟΣ τῷ Δαυίδ.
Θ'.

Ὑπόθεσις.

Διὰ τούτου τοῦ ψαλμοῦ τὰ κρυφίως πεπραγμένα τῷ Σωτῆρι δηλοῖ. Πολλὰ δὲ ἦν αὐτῷ τὰ κρυφίως πραττόμενα· ἥ τε ἐκ παρθένου διὰ Πνεύματος ἁγίου κατὰ σάρκα γέννησις, αἵ τε παράδοξοι καὶ θαυματουργοὶ δυνάμεις, ὅ τε θάνατος αὐτός, καὶ ἡ εἰς ᾅδου κάθοδος, καὶ ἡ ἐκ νεκρῶν ἀναβίωσις. Ταῦτα γὰρ πάντα κρυφίως αὐτῷ πέπρακται. Ἀπέκρυψε γὰρ αὐτὰ καὶ τοὺς ἄρχοντας τοῦ κόσμου τούτου. Ὑπὲρ δὴ τούτων τῶν κρυφίων ὁ προφήτης ἐκ προσώπου τῆς ἀνθρωπότητος εἰσέρχεται εὐχαριστῶν καὶ λέγων· «Ἐξομολογήσομαί σοι, Κύριε». Ἐπισφράγισμα δὲ τῶν κρυφίων ὁ θάνατος καὶ τὰ ἐν ᾅδου πραχθέντα, ἡ ἀνάστασίς τε καὶ ἡ ἀνάληψις.

«Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου... ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω.» Ἐπὶ τίσιν ἡ ἐξομολόγησις δηλοῖ. Ἐχθρὸν δὲ αὐτοῦ τὸν θάνατον εἶναί φησι τὸν εἰς τὰ ὀπίσω ἀποστρεφόμενον, τουτέστιν εἰς τὸ μὴ εἶναι.

«Ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.» Ἐπειδάν, φησίν, ἀποστραφῇ εἰς τὰ ὀπίσω ὁ θάνατος, τότε δὴ καὶ πᾶσα δύναμις ἀντικειμένη καταργηθήσεται· εἰ γὰρ ἔσχατος καταργεῖται ὁ θάνατος [1], δηλονότι προαναιρεθεισῶν τῶν ἀντικειμένων δυνάμεων.

«Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου.» Τὴν αἰτίαν τῆς εὐχαριστίας ἀνταποδίδωσι· τό, «Ἐκάθισας ἐπὶ θρόνου» τὴν εἰς τὸ κρίνειν ἐπισκοπὴν δηλοῖ τοῦ Θεοῦ.

«Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής.» Τοὺς νοητοὺς ἐχθροὺς δηλονότι. «Τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα.» Τὸν δράκοντά φησι τὸν νοητόν, ὅς ἐστιν ὁ διάβολος.

[«Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής.» Τὸν δράκοντά φησιν, ἢ τὸν διάβολον· ἐπειδὴ ἡ ἐπιτίμησις καὶ διόρθωσιν σημαίνει. Εἴποι ἄν τις, διορθουμένων τῶν ἐθνῶν ὑπὸ τῶν ἀποστόλων, ἀπολέσθαι τὸν ἀσεβῆ, σβεσθείσης αὐτοῦ τῆς ἐπιβωμίου κνίσσης, καὶ παυθείσης. Ἐπιτιμηθέντων γὰρ τῶν ἐθνῶν, καὶ πρὸς Κύριον ἐπιστρεψάντων, ὁ ἐν αὐτοῖς ἐνεργῶν, ἅτε υἱοῖς οὖσιν ἀπειθείας, διάβολος, ἀπώλετο μετὰ τῶν νεῶν τῶν εἰδωλικῶν· οἳ ὡς πόλεις συνεῖχον τοὺς πρὸς δυσσέβειαν ἀφορῶντας. Καὶ οὕτως ἀπώλοντο, ὡς μηδὲ ἴχνος ὑπολειφθῆναι. Ἔστιν ἐκλαβεῖν τοῦτο καὶ κατὰ τὴν τελευταίαν κρίσιν· τότε γὰρ τῶν ἁμαρτωλῶν ἐπιτιμωμένων, καὶ ὁ διάβολος, ὁ κυρίως ἀσεβής, ἀφανίζεται. Αἱ πόλεις, τῆς ἐν αὐταῖς πάλαι πολιτευομένης ἀσεβείας καταλυθείσης, τὴν οἰκοδομίαν τῆς εὐσεβείας ἐδέξαντο.]

«Τοῦ ἐχθροῦ ἐξέλιπον οἱ ῥομφαῖαι εἰς τέλος.» Ῥομφαίας τοῦ

1. Πρβλ. Α' Κορ. 15, 26.

διαβόλου τὰς ἀντικειμένας δυνάμεις φησί, δι' ὧν ἦν ἰσχυρός. [Αἱ πόλεις αἱ ἀντικείμεναι δυνάμεις, αἵ, ὥσπερ πόλεις ἰσχυραὶ τετειχισμέναι, τοὺς ἁλόντας αὐτῶν ἀπάτῃ ἐν αὐταῖς συλλαβοῦσαι κατεῖχον. Καὶ πόλεις ποίας λέγει ἢ ταύτας περὶ ὧν ἀλλαχοῦ λέγεται· «Ἔθηκας εἰς χῶμα πόλεις ὀχυράς, τοῦ πεσεῖν αὐτῶν τὰ θεμέλια;[1]» αἵ εἰσιν, ὡς δεδήλωται, αἱ ἀντικείμεναι δυνάμεις.] «Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου.» [Ὥστε ἐξάκουστον γενέσθαι αὐτῶν τὴν ἀπώλειαν. Ἢ τὴν πανωλεθρίαν φησίν, ἢ τὸ διωλύγιον τῶν κακῶν, καὶ τὸ περιφανὲς τῆς ἀπωλείας.] Ἐξάκουστος γὰρ αὐτῶν γέγονεν ἡ ἀπώλεια.

«Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι.» [Συνεχῶς ἑαυτὸν καλεῖ πένητα καὶ πτωχόν, καίτοι γε ἐν βασιλείοις. Ἤδει γὰρ τὰ ἀνθρώπινα πάντα σκιᾶς ἀδρανέστερα. «Εὐκαιρίαν» λέγει τὸν τῆς θλίψεως καιρόν· ἀεὶ μὲν γὰρ τῆς βοηθείας ἐπιδεόμεθα, καὶ ἐν εὐημερίαις· ἀλλὰ πλέον ἐν θλίψει τῆς συμμαχίας ἐπαισθανόμεθα.] Τῷ πτωχῷ, τῷ πνευματικῷ λαῷ φησι. «Βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψεσιν.» Ὡς· «Ἐν καιρῷ δεκτῷ ἐπήκουσά σου.[2]»

«Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών.» Τῇ ἐπουρανίῳ, φησί, Ἱερουσαλήμ. «Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ.» Ταῦτα ὡς πρὸς τοὺς ἀποστόλους καὶ τοὺς τῶν Εὐαγγελίων κήρυκάς φησιν. Τίνα δὲ τὰ ἐπιτηδεύματα διὰ τῶν ἑξῆς σημαίνει.

«Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη.» Τὰ αἵματα, φησί, τὰ ὑπὲρ αὐτοῦ ἐκκεχυμένα ἐκζητήσει ἐπὶ τὸ ἐκδικίας ἀξιῶσαι.

[«Οὐκ ἐπελάθετο τῆς δεήσεως τῶν πενήτων.» Πένητας πάλιν τούς δι' αὐτὸν πτωχεύοντάς φησιν, οἳ καὶ διὰ παντὸς τὰς πρὸς αὐτὸν ἱκεσίας ποιοῦντες, ἐκδίκησιν τῶν κατ' αὐτῶν γενομένων ἀδικιῶν παρὰ τῶν δαιμόνων αἰτοῦντες.]

«Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου.» Διὰ τοῦτο ἐγείρεις ἐκ γῆς ταπεινώσεως, ἵνα τῇ ἐπουρανίῳ συγχορεύσω Σιών.

[«Ἐν πύλαις τῆς θυγατρὸς Σιών.» Ἐν τῇ ἐπουρανίῳ Ἱερουσαλήμ. Τό, «ἐπηγγείλω», ἀντὶ τοῦ, χρονίως ᾄσομαι.]

«Γινώσκεται Κύριος κρίματα ποιῶν.» Κρίμα γὰρ ἀληθῶς δίκαιον τὸ τοὺς κατασκευάσαντας ἀνθρώπῳ θάνατον ἐν αὐτῷ περιληφθῆναι. Τάχα ἐπεὶ καὶ οἷς τὸ κρίμα γίνεται, γνώσονται τὸν κρίνοντα ἐν καιρῷ κρίσεως.

«Ἀνάστηθι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος.» Ἐπιλάμψειν τοῖς ἐπὶ γῆς εὔχεται τὸν Μονογενῆ· ὅπως ὁ ὑψηλόφρων ἐκεῖνος διάβολος, ὃν καὶ ἄνθρωπον ἐπὶ τοῦ παρόντος καλεῖ, ἐπὶ πλείω μὴ ἐπαίρῃ τὴν ὀφρύν. «Κριθήτωσαν ἔθνη ἐνώπιόν σου.» Τὴν ἐπὶ σωτηρίᾳ γενομένην τῶν ἐθνῶν κλῆσιν ἐπισπεύδων εὔχεται.

«Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτούς.» Καὶ τίς ὁ νομοθέτης ἢ ὁ τὸν τῆς Καινῆς Διαθήκης νόμον ἡμῖν εἰσηγησάμενος; «Γνώ-

---

1. Ἡσ. 25, 2. 2. Ἡσ. 49, 8.

τωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσι.» Τῇ ὑπερβολῇ τῆς τῶν δαιμονίων ἀπάτης εἰς κτηνῶν ἦσαν μετενεχθέντες τρόπον· ὡς λέγεσθαι περὶ αὐτῶν· «Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.[1]

ΨΑΛΜΟΣ Ι'.

«Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν;» Ἐπιταχῦναι τὴν μακρὸν ὕστερον γενησομένην κλῆσιν τῶν ἐθνῶν εὔχεται. Τοῦτο δὲ αὐτὸ πεποίηκεν ἡ τοῦ διαβόλου ὑπεροψία.

«Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός.» Ἡ ὑπεροψία, φησί, τοῦ πονηροῦ, πύρωσις τῷ πτωχῷ σου γίνεται λαῷ· «Συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται.» Ἀντὶ τοῦ, συλληφθήσονται. Σὺ γὰρ εἶ, φησίν, ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν.[2]

«Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ.» Τοσαύτη, φησί, γέγονεν ἡ ἀνεξικακία, ὡς καί, διὰ τὸ ἀτιμωρήτους μένειν τοὺς ἀσεβεῖς, λοιπὸν καὶ παρά τισι τῶν ἀνοητοτέρων ἀπόδεκτον αὐτοῖς εἶναι τὸ βίον.

«Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός.» Παρώξυνε μὲν χλευάζων τοὺς περὶ προνοίας καὶ τῆς κρίσεως αὐτοῦ λόγους. Πολλοὶ μὲν γὰρ ἀκούοντες τοιοῦτόν τι γελῶσιν εὐθέως· τοῦτο δὲ συνάπτεται, τὸ «Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ·» ἵνα ᾖ τὸ ὅλον οὕτως· Παρώξυνε τὸν Κύριον, φησίν, ὁ ἁμαρτωλός, πλῆθος ὀργῆς ἑαυτῷ θησαυρίζων. Τὸ γάρ, «αὐτοῦ», ἐπὶ τοῦ παροξύναντος ληπτέον. Εἶτα τὸ ἐπιφερόμενον τοῦτο, «οὐκ ἐκζητήσει», καθ' ὑποστιγμὴν ἀναγνωστέον· ἵνα ᾖ τὸ νοούμενον οὕτως· Ἆρ' οὖν ὁ μὲν παροξύνει τὸν Θεόν, καίτοι πλῆθος αὐτῷ ἐκκαίων ὀργῆς, ὁ δὲ οὐκ ἐκζητήσει; Καθ' ὑποστιγμὴν ἡ ἀνάγνωσις, ἵνα ᾖ· Οὐκ ἐκζητήσει, φησίν, ὁ Θεός, καὶ ἀποδώσει αὐτῷ κατὰ τὴν ὀργήν, ἣν ἑαυτῷ ἐθησαύρισεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ;

«Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ.» Ἀρχὴ πάσης πονηρᾶς πράξεως τὸ μὴ λογίζεσθαι κριτὴν τὸν Θεόν· «Ἀνταναίρεται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ. » Ὁ γὰρ μὴ ἐπιστάμενος, ὅτι ἔστι Θεός, οὐδὲ ὅτι κριτής ἐστιν οἶδε. «Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.» Ὅμοιον τό, «Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νοσσιάν.[3] Εἶπε γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ· Οὐ μὴ σαλευθῶ.» Ἀντὶ τοῦ· Οὐ μὴ σφάλω, οὐ μὴ περιτραπήσομαι εἰς γενεάν· οὐ γὰρ ἔσομαι ἐν κακώσει.

[«Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ.» Ἐκβαλὼν τὸν θεῖον φόβον ἐκ τῆς ψυχῆς, διαπαντὸς ἐν κακίᾳ διατρίβει. Ἀρχὴ πάσης πανηρᾶς πράξεως τὸ μὴ λογίζεσθαι κριτὴν τὸν Θεόν. «Ἀνταναίρεται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ.» Οὐ βούλεται εἰδέναι, ὅτι κριτὴς

1. Ψαλμ. 48, 13. 2. Πρβλ. Ἰὼβ 5, 13. 3. Ἡσ. 10, 14.

εἶ δίκαιος· ὁ γὰρ μὴ ἐπιστάμενος, ὅτι ἔστι Θεός, οὐδὲ ὅτι κριτής ἐστιν οἶδε. «Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.» Τῶν πειρασμῶν οἱ μὲν προσάγονται τῇ ψυχῇ, οἱ δὲ τῷ σώματι, οἱ δὲ τοῖς πέριξ τοῦ σώματος. Καὶ οἱ μὲν ψυχῇ προσαγόμενοι λογισμοὶ ἀκάθαρτοι λέγονται, ἁμαρτίας γεννῶντες καὶ δόγματα ψευδῆ· οἱ δὲ τῷ σώματι προσφερόμενοι πληγῶν καὶ στρεβλώσεων καὶ διωγμῶν καὶ φυλακῶν καὶ θανάτων αἴτιοι γίνονται· οἱ δὲ τῶν περὶ τοῦ σώματος πειρασμοὶ περιέχουσι ζημίας χρημάτων καὶ κτημάτων καὶ ἀποβολὰς τέκνων καὶ γυναικῶν ἀφαιρέσεις. Δῆλον οὖν ἐστιν ἐκ τούτων, ὅτι πάντως διά τινος τῶν κατειλεγμένων πειρασμῶν ἐκυρίευσε παντὸς δικαίου ὁ Σατανᾶς· μόνος γὰρ Χριστὸς «ἁμαρτίαν οὐκ ἐποίησε, καὶ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.[1]»]

«Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει.» Παράμονον, φησίν, ἕξειν τὴν εὐημερίαν λελόγισται. Διὸ καὶ πικρίας καὶ δόλου τὸ στόμα πεπλήρωται· καὶ μὴν ἐνεδρεύει πτωχοὺς πρὸς τὸ ἀποκτεῖναι διὰ τῶν ἰδίων παγίδων. Τὸ δέ, «μετὰ πλουσίων», τί ἂν ἕτερον νοηθείη ἢ τῶν πλουτούντων ἐν κακοῖς; Οὗτοι γὰρ τῷ διαβόλῳ κατὰ τῶν πτωχῶν τῷ πατρὶ αὐτῶν συμπράττουσιν

«Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων.» Ἐν συλλόγοις δὲ καὶ ἐν συνέδροις καθήμενος, ἐνέδρας τινὰς καὶ μηχανὰς τοῖς ἀναιτίοις κατασκευάζει.

«Κύψει καὶ πεσεῖται.» Ὅταν εἴπῃ [ὁ διάβολος]· Νενίκηκα, τότε πεσὼν αἰσχύνεται.

«Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Ἐπιλέλησται ὁ Θεός.» Λέγει ταῦτα ὁ διάβολος οὐχ οὕτως ἔχων, ἀλλ' ἡμᾶς ἀπατῆσαι βουλόμενος, ἵνα σκελισθῶμεν, ἀμελεῖν τὸν Θεὸν τῶν ἀνθρωπίνων νομίζοντες.

«Ἀνάστηθι, Κύριε ὁ Θεός μου.» Εὔχεται τὴν ἀνοχὴν τοῦ Θεοῦ καὶ τὴν χρηστότητα κινῆσαι· μὴ ὑψουμένης γὰρ ἐπὶ τῇ μωρίᾳ τῶν ἀσεβῶν τῆς χειρὸς τοῦ Θεοῦ, προπετέστεροι γίνονται.

[«Ὑψωθήτω ἡ χείρ σου.» Ἔπαρον τὴν χεῖρά σου, καὶ δίδαξον αὐτούς, ὡς τῶν ἀδικουμένων προνοῇ· καὶ ὡς ἐξ ὕπνου ἀναστάς, ἀνωτέραν δεῖξον τῆς ἐκείνων γνώμης τὴν ἀπὸ σοῦ τιμωρίαν. Καὶ κόλασον μὲν ἐκείνους, φεῖσαι δὲ τὸν ἀδικούμενον, σφοδρότερον ἀχθεσθεὶς ταῖς ἐκείνων τόλμαις καὶ βλασφημίαις. «Ἕνεκεν τίνος,» φησί, «παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν;]

«Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἐκζητήσει.» Τοῦτο αἴτιον καὶ τοῦ ἐπαρθῆναι καὶ τοῦ πεσεῖν αὐτόν.

«Βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς. » Σύ, φησίν, ὦ Κύριε, πάντα γινώσκεις, καὶ οὐδέν σε τῶν πραττομένων λανθάνει, οὐδὲ τῶν ἐν διανοίᾳ καὶ λογισμοῖς ἀνιόντων. Ἀλλὰ καὶ τοὺς πόνους αὐτῶν καὶ τοὺς θυμοὺς τῶν ἐπηρεαζόντων καὶ τοὺς παροργισμοὺς

1. Α' Πέτρ. 2, 22.

τῶν ἀνθρώπων οἶδας ἀκριβῶς. Ἐπειδὴ πάντων τοὺς λογισμοὺς κατανοεῖς, καὶ σὺ ὁ ἐτάζων καρδίας καὶ νεφρούς. Καὶ ταῦτα πάντα ἐφορῶν μακροθυμεῖς, εἰδώς, ὅτι ὑπὸ τὰς σὰς χεῖρας οἱ πάντες τυγχάνουσι, καὶ οὐκ ἔστι που οὐδενὶ ἐκτὸς διαδρᾶναι. «Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός.» Τουτέστι τὴν παρὰ σοῦ μένει βοήθειαν.

«Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ.» Ἀντὶ τοῦ, τὴν δυναστείαν τοῦ ἐχθροῦ. «Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.» Δι' αὐτὴν μὲν τὴν ἁμαρτίαν. Τὸ δὲ ὅλον οὕτως· Ἐάν, φησίν, ἐκζητήσῃς τὴν ἁμαρτίαν τοῦ πονηροῦ, οὐ μὴ εὑρεθῇ· τουτέστιν, ἀπολεῖται ὁ πονηρὸς δι' αὐτήν.

[Εὑρίσκονται οἱ σῳζόμενοι παρὰ τοῦ Θεοῦ, ὡς τό· «Εὗρον Δαυὶδ τὸν δοῦλόν μου [1]», καί, Εὑρέθη ἡ ἀπολλυμένη δραχμή· [2] καὶ ἐπεὶ μὴ εὑρέθη, ἀπώλετο ἄν. Οἱ ἀπολλύμενοι οὐχ εὑρίσκονται εἰς τὸν αἰῶνα· μένει γὰρ ὁ δικαστής, καὶ βασιλεύει διαπαντὸς ἐν τῷ μέλλοντι καὶ νέῳ αἰῶνι.]

«Κύριος βασιλεύσει εἰς τὸν αἰῶνα.» Ἐν τῷ μέλλοντι καὶ νέῳ αἰῶνι.

«Ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ.» Ἐν γὰρ τῇ βασιλείᾳ αὐτοῦ βληθήσονται εἰς τὸ πῦρ τὸ αἰώνιον.

["Εθνη καλεῖ τοὺς ἀδίκους ὡς μὴ κατὰ νόμον ζῶντας, ἀλλὰ καὶ ἐθνικὴν καὶ βαρβαρικὴν ὠμότητα. Τούτων αἰτεῖ ἐκκοπήν, «Ἀπολεῖσθε», λέγων, καὶ πανωλεθρίαν αὐτοῖς ἀπειλῶν· ὥστε καὶ τούτους ἀναπνεῦσαι, κἀκείνους σωφρονισθῆναι.]

«Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας, Κύριε.» Αὕτη γὰρ ἦν αὐτῶν ἡ ἐπιθυμία, καὶ οὗτος ὁ πόθος τὸ τῶν μελλόντων ἀξιωθῆναι ἀγαθῶν. «Τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου.» Εἰς τοῦτο γὰρ ἑτοιμαζόμενοι, πάντα ὑπομένειν τῇ καρδίᾳ εὐτρεπίζονται.

[Ἑτοιμασία καρδίας ἡ οἷον ὑπόσχεσις τῶν τῆς ψυχῆς κινημάτων πρὸς συνακολούθησιν τοῦ Θεοῦ.]

«Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι.» Ὅτε, φησί, τὴν ἐκδίκησιν τῶν πτωχῶν ποιήσει, τότε οὐκ ἔτι προσθήσει τοῦ μεγαλαυχεῖν ἄνθρωπος.

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαυίδ.

Ι'.

Ὑπόθεσις.

Καὶ τοῦτον μετὰ τὸ περιγενέσθαι τῶν ἐχθρῶν ᾄδει τὸν ψαλμόν. Ἔστι δὲ φρονήματος ἁγιοπρεποῦς παραστατικόν (α).

«Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου;» Πῶς μοι ἐρεῖτε, φησί, φεύγειν ἐπὶ τὰ ὄρη δίκην στρουθίου, καίτοι πεποιθότι

---

1. Ψαλμ. 88, 21. 2. Πρβλ. Λουκ. 15, 9.

ἐπὶ Θεῷ; «Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον.» Μετοίκει, μετέρχου, φεῦγε ἐπὶ τὰ ὄρη, τουτέστι τὰς ἀρετάς.

«Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν.» Τούτοις τοῖς λόγοις εἰς φυγὴν ἠρέθιζον φάσκοντες, εἰ μὴ φεύγῃ κατατοξεύειν αὐτὸν τοὺς ἁμαρτωλούς. Δηλοῖ οὖν τοὺς πονηροὺς λογισμοὺς βέλη εἶναι τοῦ πονηροῦ. «Τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ», ἀντὶ λεληθότως. Τοιαῦτα γὰρ τῶν νοητῶν ἐχθρῶν τὰ τοξεύματα.

«Ὅτι ἃ σὺ κατηρτίσω αὐτοὶ καθεῖλον.» Κατήνεγκε, φησίν, ὁ ἐχθρὸς τὸν ἄνθρωπον εἰς φθοράν, καίτοι ἐπὶ ἀφθαρσίᾳ κατηρτισμένον. «Ὁ δὲ δίκαιος τί ἐποίησεν;» Εἰ καὶ οἱ ἐχθροί, φησί, τὰ τοιαῦτα ἔδρασαν, ἀλλ' ὁ Κύριος ὁ ναὸν ἔχων τὸν οὐρανόν, ἐξέτασιν τῶν δικαίων καὶ τῶν ἀσεβῶν ποιούμενος, τοῖς μὲν ἀπονέμει τὰ ἀγαθά, τοὺς δὲ ταῖς αἰωνίαις παραπέμπει κολάσεσι. «Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ.»

[«Ὅτι ἃ σὺ κατηρτίσω αὐτοὶ καθεῖλον.» Ἀντὶ τοῦ, τὰ σὰ ἔργα καταλύειν σπεύδουσι δι' ἐμοῦ· ὃν γὰρ ἔχρισας βασιλέα σπουδάζουσιν ἀκυρῶσαι κατὰ τῆς σῆς ὁπλιζόμενοι ψήφου. Καὶ ταῦτα δρῶσι τὰς κατὰ φύσιν ὀρθὰς ἐννοίας καθελόντες ἐξ ἑαυτῶν, ἃς δῆθεν κατηρτίσατο.]

«Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν.» Τὸ ἀλάθητον σημαίνει τοῦ Θεοῦ· ὀφθαλμοὺς δὲ τὴν εὐεργετικὴν ἐπισκοπήν. «Τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.» Βλέφαρα δὲ τὴν κριτικὴν αὐτοῦ πρόνοιαν καὶ τῶν πραγμάτων ἐξεταστικήν.

Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης, ΨΑΛΜΟΣ τῷ Δαυΐδ.
ΙΑ'.
Ὑπόθεσις.

Εἴρηται περὶ τῆς ὀγδόης ἐν τῷ ἕκτῳ ψαλμῷ. Εὔχεται δὲ ῥυσθῆναι τῆς γενεᾶς τῆς πονηρᾶς. Αὐτὴ δὲ ἂν εἴη γενεὰ ἡ ἐπὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· περὶ ἧς αὐτὸς ἔλεγεν· «Ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην.[1]»

«Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὀλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.» Τὰς κατὰ τοῦ Σωτῆρος ἡμῶν συνάγων ἐπιβουλάς. Ἀφέντες γὰρ τὴν ἀλήθειαν οἱ Ἰουδαῖοι ψεῦδος κατὰ τοῦ Χριστοῦ ἐπετέλεσαν.

«Χείλη δόλια ἐν καρδίᾳ.» Ὅτι διδάσκαλον αὐτὸν ἀποκαλοῦντες καὶ ἀγαθόν, ἕτερα ἐβουλεύοντο περὶ αὐτοῦ.

«Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλορρήμονα.» Πῶς γὰρ οὐ μεγαλορρήμων ἡ γλῶσσα ἐκείνη ἡ τολμήσασα τῷ Σωτῆρι λέγειν· «Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; [2]»

---

1. Ματθ. 12, 41. 2. Μάρκ. 12, 28.

«Τοὺς εἰπόντας· Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν· τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι. Τίς ἡμῶν Κύριός ἐστιν;» Ὡς τοῦτο διανοουμένων, τὸ ἐξουσίαν ἔχειν πᾶν ὅ,τι ἂν βούλοιντο εἰπεῖν κατὰ τοῦ Σωτῆρος· Τοῦτο δέ· «Τίς ἡμῶν Κύριός ἐστι;» ὅμοιον τῷ «Τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν.[1]»

«Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν.» Πτωχοὺς δὲ καὶ πένητας τοὺς κατὰ πνεῦμα λέγει· ὧν καὶ τοῦ στεναγμοῦ ἀκούσας, Ἀναστήσομαι, φησί. «Θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ.» Τουτέστι, Φανερὸν πᾶσι καταστήσω τὸ σωτήριον, ὃ καὶ ἐξάκουστον παρεσκευάσω γενέσθαι. Ἐκηρύχθη γὰρ εἰς πᾶσαν τὴν γῆν.

«Τὰ λόγια Κυρίου, λόγια ἁγνά, ἀργύριον πεπυρωμένον.» Ἀληθεῖς, φησίν, οἱ λόγοι οἱ περὶ τοῦ σωτηρίου ἐπηγγελμένοι, ὥσπερ καὶ τὸ ἀργύριον τὸ πολλάκις χωνευθέν. Τὸ δέ, «ἑπταπλασίως», ἀντὶ τοῦ πολυπλασίως τέθεικε· τοῦτο γὰρ σύνηθες τῇ θείᾳ Γραφῇ.

«Σύ, Κύριε, φυλάξεις ἡμᾶς.» Διὰ τοῦτο, φησί, φυλάξεις ἡμᾶς, ἐπειδὴ κυκλοῦντες ἡμᾶς οἱ ἀσεβεῖς ἐπιβουλεύοντες τῇ ἡμῶν σωτηρίᾳ. Οὗτοι δ' ἂν εἶεν αἱ ἀντικείμεναι καὶ πονηραὶ δυνάμεις.

«Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.» Ὕψος μὲν τὴν δύναμιν λέγει· πολυωρίαν δὲ τὴν πολυχρονιότητα. Ἵνα ᾖ τὸ λεγόμενον τοιοῦτον· Διὰ τῆς σῆς ἰσχύος πολυχρονιότητα καὶ αἰώνιον ζωὴν ἡμῖν δέδωκας. Μετὰ γὰρ τὴν σωτήριον ἀνάστασιν εἰς ἀπεράντους αἰῶνας τὰ τῆς ζωῆς ἡμῖν ἐκτείνεται. Ἢ ὕψος λέγει, ὅτι ὁμοίους σου ἐποίησας, ὡς ἀνθρώπῳ δυνατόν· ἢ ὅτι πολλῆς φροντίδος ἠξίωσας.

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαυίδ.
ΙΒ'.
Ὑπόθεσις.

Τοῦτον τὸν ψαλμὸν ᾄδει εἰς μετάνοιαν τοῦ ἁμαρτήματος γεγονώς, ἅμα δὲ καὶ τὸ σωτήριον ἡμῖν εὐαγγελιζόμενος. Δι' οὗ ἐλάβομεν ὑπογραμμόν, πῶς δεῖ ἡμᾶς ἐν ἁμαρτίαις γενομένους προσιέναι Θεῷ.

«Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;» Ὡς μακρᾶς οὔσης τῆς γινομένης αὐτῷ διὰ τὴν ἁμαρτίαν ἐν τῇ μετανοίᾳ πρὸς Θεὸν προσόδου. «Ἕως πότε ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;» Τούτου τὸ πρόσωπον οἱ ἄγγελοι βλέπουσι διαπαντός.

«Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου;» Ἀνιῶμαι γάρ, φησί, βουλευόμενος κατὰ ψυχὴν μήπως ἄρα ἐν τῇ ἁμαρτίᾳ ἀποθανοῦμαι, καὶ τοῦτό ἐστιν ὃ μάλιστα ὀδύνας μου τῇ ψυχῇ παρασκευάζει. «Ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός.» Μεριμνᾶν ἐν τῇ καρδίᾳ καθ' ἡμέραν.

«Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ;» Εἰ γὰρ θεοσεβούντων ἡμῶν ταπεινοῦται ὁ ἐχθρὸς ἡμῶν διάβολος, δῆλον ὅτι

1. Ἰω. 9, 29.

ἁμαρτανόντων ὑψοῦται. Ὕψος γὰρ τῷ Σατανᾷ ἡ τῶν ἀνθρώπων ταπείνωσις· ἐπειδή, καθάπερ ὁ Θεὸς ἐν τῇ σωτηρίᾳ ὑψοῦσθαι τῇ ἡμετέρᾳ, οὕτως ὁ διάβολος ἐν τῇ ἀπωλείᾳ ἐπαίρεσθαι λέγεται.

«Φώτισον τοὺς ὀφθαλμούς μου.» Ὀφθαλοὺς τοὺς τῆς διανοίας δηλοῖ. Φωτίσατε γὰρ ἑαυτοὺς φῶς γνώσεως.

«Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα.» Θαρρῶ, φησίν, ἁμαρτίας ἄφεσιν δέξασθαι τῷ ἐλέει προσανέχων τῷ σῷ, δι' οὗ καὶ τὸ σωτήριον δέδωκας πᾶσιν ἀνθρώποις· ὅπερ σωτήριον ἀγαλλιᾶσθαι παρασκευάσει μου τὴν καρδίαν, τὴν πάλαι ὀδυνωμένην διὰ τὴν ἁμαρτίαν.

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαβίδ.

ΙΓ'.

Ὑπόθεσις.

Διαρρήδην ἐν τῷ παρόντι ψαλμῷ σαφηνίζει τῶν ἀνθρώπων τὴν εἰς τὸ παντελὲς τῶν ἐπιτηδευμάτων ἀσέβειαν καὶ παρανομίαν, ἵνα τὸ ἀναγκαῖον τῆς ἐπιφανείας κηρύξῃ Χριστοῦ.

«Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός.» Ἐπειδή, μὴ λογισάμενοι, φησίν, εἶναι Θεὸν ἐφορῶντα τὰ ἀνθρώπινα καὶ κρίνοντα κρίσει δικαίᾳ, πᾶσαν ἀθεμιτουργίαν εἰργάσαντο· τούτου δὴ χάριν ὁ Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψε. Τοῦτο γὰρ σαφῶς τὴν εἰς ἀνθρώπους τοῦ Κυρίου πρόοδονκ ατασημαίνει. «Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.» Ἐλθών, φησίν, ὁ Κύριος οὐδ' ἕνα εὗρε χρηστότητος ἐργάτην, ἀλλὰ γὰρ ὑπεύθυνον πάσῃ πράξει ἀτόπῳ. «Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν.» Ἑαυτῶν γὰρ τῷ φάρυγγι οἱ δαίμονες ὥσπερ βρῶσιν εἶχον τὸν ἄνθρωπον, μὴ εἶναι νοοῦντες, ὅτι ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ πλάσματος αὐτοῦ οὐ δύναται.

«Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν;» Καθ' ὑποστιγμὴν ἀναγνωστέον, καὶ ἔξωθεν τὸν Κύριον τὸν προληπτέον· ἵνα ᾖ οὕτως τὸ σημαινόμενον· Καὶ πάντες ἐξέκλιναν, καὶ τοῦτο ἐποίησαν. Οὐ μέλλουσι γινώσκειν τὸν Κύριον. «Κύριον οὐ προσεκαλέσαντο οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου.» Κατήσθιον γὰρ τὸν λαὸν αὐτοῦ ἀναπείθοντες προσκυνεῖν τὴν κτίσιν παρὰ τὸν κτίσαντα. Καὶ οὗτοι, φησίν, ἑτέροις κακῶν εἰσηγηταὶ γενόμενοι, τὸν Κύριον οὐκ ἐπικαλέσονται. Οὕτω γὰρ ἀναγνωστέον μέλλοντα ἀντὶ τοῦ παρεληλυθότος.

«Ἐκεῖ δὲ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος.» Ὁ Μωσέως νόμος, φησί, κόλασιν ἐποίει· ὁ δὲ τοῦ Χριστοῦ φόβος ἁγνός ἐστιν· ὡς υἱοὺς γὰρ φοβεῖσθαι Πατέρα παρεσκεύαζε. Κατὰ τὸν καιρὸν ἐκεῖνον, φησί, καθ' ὃν δηλονότι ἡ ἐπιφάνεια, φόβον φοβηθήσονται οὗ οὐκ ἔστι φόβος. Οὐκ ἐκ νομικῆς ἀπειλῆς δηλονότι, ἀλλ' ἡ πρέπουσα μᾶλλον ἐλευθέροις εὐλάβεια.

«Ὅτι Κύριος ἐν γενεᾷ δικαίων.» Τῶν δικαιουμένων διὰ τῆς ἐπιφανείας αὐτοῦ. «Βουλὴ πτωχοῦ καταισχύνεται.» Ταῦτα ὡς πρὸς τοὺς

ἀπομείναντας τῇ ἀπιστίᾳ καὶ διώξαντας τοὺς πιστεύοντας εἰς Χριστόν. «Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ 'Ισραήλ;» Τοῦτο δὲ διπλῆν ἔχει τὴν προφητείαν· οὐ γὰρ μόνον τηνικάδε γενομένην τοῖς πολιορκηθεῖσι προσαγορεύει σωτηρίαν, ἀλλὰ καὶ τὴν πολλοῖς ὕστερον χρόνοις τοῦ Σωτῆρος ἡμῶν γενομένην ἐκεῖθεν σωτήριον ἐπιφάνειαν. «'Αγαλλιάσεται 'Ιακώβ.» Τοὺς ἁγίους πατριάρχας καὶ προφήτας φησί, τοὺς χαρᾷ χαίροντας ἐπὶ τῷ τὰς προλεχθείσας αὐτῶν ἐπαγγελίας ἀποπληρῶσαι τὸν Χριστόν. Αὗται δὲ ἦσαν αἱ τὴν τῶν ἐθνῶν ἁπάντων σωτηρίαν κατασημαίνουσαι.

Εἰς τὸ τέλος ΨΑΛΜΟΣ τῷ Δαυίδ.
ΙΔ'.
Ὑπόθεσις.

Τοῦτον ᾄδει τὸν ψαλμόν, διδάσκων τί ἂν ἄνθρωπον παρασκευάσῃ τῆς μακαρίας ἐκείνης τυχεῖν λήξεως· διὸ ἀρχόμενός φησιν· «Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου;» Παροικία ἐστὶ διαγωγὴ πρόσκαιρος, οὐχ ἱδρυμένην ζωήν, ἀλλὰ παροδικὴν ἐπ' ἐλπίδι τῆς ἐπὶ τὰ κρείττονα μεταστάσεως ὑποφαίνουσα. Ἁγίου γὰρ ἀνδρὸς παροδεύειν τὸν βίον τοῦτον, ἐπάγεσθαι δὲ πρὸς ἑτέραν ζωήν. Διὸ καὶ ὁ Δαυὶδ περὶ αὐτοῦ φησι.· «Πάροικος ἐγώ εἰμι παρὰ σοὶ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.[1]» Τίς, φησίν, ἄξιος ἔσται ἐν ἐκείναις ταῖς οὐρανίαις γενέσθαι σκηναῖς; «Ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;» ἐπειδὴ ἂν γάρ τις ἀξιωθῇ τῆς μακαρίας ἐκείνης σκηνῆς, εἰς ἀπεράντους αἰῶνας ἕξει τὴν μακαριότητα.

«Πορευόμενος ἄμωμος», καὶ τὰ ἑξῆς. Διδάσκει δι' ὧν τευξόμεθα τοῦ μακαρίου ἐκείνου πέρατος· καὶ πρῶτον μὲν εἰ τὴν ἄμωμον ὁδεύσωμεν ὁδόν, ἥτις ἐστὶν ὁ Χριστός· ἔπειτα, εἰ ἐργασώμεθα δικαιοσύνην· τρίτον, εἰ ἀληθείας οἶκον τὴν καρδίαν ποιήσωμεν· τέταρτον, εἰ δολίαν γλῶσσαν μὴ κτησώμεθα· πέμπτον τὸ μὴ κακὸν τῷ πλησίον ἐργάζεσθαι· ἕκτον, τὸ μὴ ὀνειδίσαι τὸν πλησίον ὑπερηφανευόμενον· ἕβδομον, μὴ πρόσωπον θαυμάζειν· ὄγδοον, τὸ μὴ παραβαίνειν ὅρκου πίστιν· ἔνατον, τὸ μὴ ἐκτοκίζειν· δέκατον, ὃ καὶ τέλος ἐστὶ παντὸς ἀγαθοῦ, ἀδωροδόκητον εἶναι. Τούτων ὁ ἐκμαθὼν τὴν κατόρθωσιν ἀσάλευτον ἕξει τῶν ἀγαθῶν τὴν δόσιν.

Στηλογραφία τῷ Δαυίδ.
ΙΕ'.
Ὑπόθεσις.

Ἡ ἐν χερσὶ προφητεία περιέχει τὴν τῶν ἐθνῶν κλῆσιν, καὶ τὰ ἐπὶ ταῖς ἀπειθείαις τοῦ 'Ισραὴλ ἐγκλήματα, καὶ μὴν καὶ αὐτὸ τὸ τῆς

1. Ψαλμ. 38, 13.

ἀναστάσεως τοῦ πάντων ἡμῶν Σωτῆρος Ἰησοῦ Χριστοῦ μυστήριον· ὅθεν οἶμαι καὶ στηλογραφίαν ὠνομάσθαι τὴν ᾠδήν, ἀναθέντος αὐτὴν τοῦ προφήτου Δαυὶδ ὥσπερ ἐν στήλῃ τοῖς μετ' αὐτόν. Ἄδονται δὲ οἱ ἐν αὐτῷ λόγοι ὡς ἐκ προσώπου τοῦ Χριστοῦ. Οὕτως γὰρ ἡμᾶς ὁ Πέτρος ἐδίδαξε φρονεῖν.[1]

«Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα.» Τὸ κοινὸν ὥσπερ πρόσωπον τῆς ἀνθρωπότητος ἀναλαβὼν τοὺς πρὸς Θεὸν καὶ Πατέρα ποιεῖται λόγους· οὐχ ὑπέρ γε μᾶλλον ἑαυτοῦ, δι' ἡμᾶς δὲ καὶ ὑπὲρ ἡμῶν ὡς εἷς ἐξ ἡμῶν διὰ τὴν οἰκονομίαν. Κύριον οὖν ὀνομάζει τὸν Πατέρα διὰ τὸ ἐν τῇ τοῦ δούλου γενέσθαι μορφῇ. Φυλαχθῆναι δὲ αὐτὸν αἰτεῖ διὰ τὴν Ἐκκλησίαν, ἥ ἐστιν ἡ σάρξ αὐτοῦ. Ἡ σὰρξ γὰρ αὐτοῦ ἡ Ἐκκλησία· φυλαχθῆναι δὲ αὐτὴν αἰτεῖ. Εἰκότως οὖν καὶ εἰς τὸ αὐτοῦ πρόσωπον ἀναφέροιτ' ἂν ἡ φυλακή.

«Εἶπα τῷ Κυρίῳ, Θεός μου εἶ σύ.» Πάλιν καὶ τοῦτο προτρέπων τῇ τοῦ δούλου μορφῇ· δηλοῖ δὲ ἅμα καὶ τὴν ἐν πίστει δι' ὁμολογίας δικαιοσύνην. «Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.» Ἀγαθάς φησιν ἐν τούτοις τὰς κατὰ νόμον προσφερομένας θυσίας· τὸ γὰρ τῆς πίστεως ῥῆμα ἐκεῖνο ἀναιρεῖ· «Μὴ φάγομαι» γάρ, φησίν, «κρέα ταύρων, καὶ αἷμα τράγων πίομαι;[2]»

«Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.» Ἁγίους εἶναί φησι τοὺς ἡγιασμένους ἐν Πνεύματι· Χριστοῦ δὲ γῆν τὴν Ἐκκλησίαν· τὸ δὲ «ἐθαυμάστωσεν» ἀντὶ τοῦ, ἐδίδαξεν, τὸ δέ, «αὐτοῦ», τοῦ Πατρός· ἵν' ᾖ τὸ ὅλον οὕτως· Τοῖς ἡγιασμένοις ἐν πίστει γνωστὸν ἐποίησε τὸ θέλημα τοῦ Πατρός· διὸ καὶ καλεῖται τῆς μεγάλης βουλῆς ἄγγελος.[3]

[«Τοῖς ἀγαθοῖς ἐν τῇ γῇ ἐθαυμάστωσεν ὁ Θεός.» Τοῖς ἡγιασμένοις ἐν πίστει γνωστὸν ἐποίησε τὸ θέλημα τοῦ Πατρός, «ἐν αὐτοῖς», τοῖς ἐν τῇ γῇ τοῦ Θεοῦ, ἤτοι τῇ Ἐκκλησίᾳ· ἢ τινων τῶν ἐν τῇ ἁγίᾳ γῇ, ἢ ὅτι, ἐν οὐρανῷ οἱ ἅγιοι τὸ πολίτευμα ἔχοντες[4], ἐν τῇ γῇ αὐτοῦ διατρίβουσι, κἂν ἐν ταύτῃ ὦσιν ἔτι τῇ γῇ. «Θελήματα» δὲ τοῦ Θεοῦ αἱ κατ' εἶδος ἀρεταί, ἃς θαυμαστοῖ ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, πλέον τι τούτων ἐχόντων τῶν ἄλλων ἀνθρώπων ἐν τῷ κατ' ἀρετὴν ἐνεργεῖν. Οὐ γὰρ ἡ αὐτὴ ἀνδρεία ἀποστόλων καὶ μαρτύρων τῇ τῶν ἄλλως ἀνδριζομένων, οὐδὲ ἡ σωφροσύνη Ἰωσὴφ κατὰ τὰς ἑτέρων. Οὕτως δέ τις θαυμαστωθεὶς αἰσθάνεται τῆς ἰδίας ἀσθενείας, ὡς πολὺ τῆς θείας ἰσχύος καὶ τοῦ μεγέθους ἀπολιπόμενος. Ὅταν γὰρ πληθυνθῶσιν αἱ ἀσθένειαι τῶν δικαίων, ταχύνουσι πρὸς τὸν Θεὸν μετανοοῦντες.]

«Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν·» ὅτε εἰδωλολάτρουν. «Μετὰ ταῦτα ἐτάχυναν.» Κἂν ἠσθένουν, φησί, τὸ πρότερον ἐν ἁμαρ-

---

1. Πρβλ. Πράξ. 2, 25. 2. Ψαλμ. 49, 13. 3. Ἡσ. 9, 6. 4. Πρβλ. Φιλιπ. 3, 20.

τίαις ὄντες, ἀλλ' οὖν ἀκούσαντες τοῦ κηρύγματος, ὠκέως ὑπήκουσαν. Τοῦτο γάρ ἐστι τό· «Ἐτάχυναν μετὰ ταῦτα», δηλονότι εἰς τὸ ὑπακοῦσαι τῷ κηρύγματι. «Οὐ μὴ συνάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων.» Συνάγων, φησί, συναγωγὰς ἐκ τῶν ἐθνῶν, οὐ δι' αἱμάτων αὐτὰς συνάξω, τουτέστιν οὐ παρεσκευάσω διὰ τῆς νομικῆς μοι προσέρχεσθαι λατρείας, δι' αἰνέσεως δὲ μᾶλλον καὶ τῆς ἀναιμάκτου θυσίας. «Οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.» Οὐκέτι κληθήσονται, φησίν, εἰδωλολάτραι καὶ ἄθεοι, ἀλλὰ κλητοὶ καὶ ἐκλεκτοί. Πάλαι μέν, φησίν, ἐπαξίας τῶν πράξεων ἐπήγοντο προσηγορίας, εἰδωλολάτραι, πολύθεοι ὀνομαζόμενοι· νῦν δὲ οὐκέτι μνησθήσομαι τῶν ὀνομάτων ἐκείνων, εὐσεβεῖς αὐτοὺς καὶ ἁγίους κλητοὺς καὶ ἐκλεκτοὺς ὀνομάζων.

[«Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν.» Ὅτε εἰδωλολάτρουν. Εἰ καὶ πληθύνονται, οὐ παραμένουσι· μέχρι γὰρ αἰσθήσεως καὶ μόνον εἶχον παραμενούσας, διὰ τὸ ἰσχύειν τῷ ἐνδυναμοῦντι Χριστῷ. Ἢ τοὺς ἀποστόλους ἔοικε λέγειν, καὶ τοὺς δι' ἐκείνων πεπιστευκότας, ἐν οἷς καὶ διαφανῆ γέγονε τὰ θεῖα θαυμάσια, ὡς πάντα τετηρηκόσι τὰ θεῖα προστάγματα. Ἐπληθύνθησαν δὲ αὐτῶν αἱ ἀσθένειαι, ἢ ὡς ἑτέρως, «τὰ διαπονήματα», πολλῶν ἐπαναστάντων δήμων, δημηγόρων, στρατηγῶν, βασιλέων, ὧν πάντων περιγενόμενοι, τὸν δρόμον ἐτέλεσαν· ἢ τὸ βραχὺ καὶ πρόσκαιρον τῶν θλίψεων, τὸν ἄπειρον αἰῶνα δείκνυσιν. «Οὐ μὴ συναγωγάς.» Ἐτάχυνον εἰς τὸ ὑπακοῦσαι τῷ κηρύγματι· καθαροὺς εἶναι δεῖ ἀπὸ φόνων καὶ αἱμάτων τοὺς μέλλοντας συνάγεσθαι ὑπὸ Χριστοῦ. Συνάγων, φησί, συναγωγὰς ἐκ τῶν ἐθνῶν, οὐ δι' αἱμάτων αὐτὰς συνάξω, οὐδὲ παρασκευάσω διὰ τῆς νομικῆς μοι προσέρχεσθαι λατρείας, αἰνέσεως δὲ μᾶλλον καὶ τῆς ἀναιμάκτου θυσίας.]

«Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου.» κ.τ.λ. Ὡσεὶ σαφέστερον ἔλεγεν· Ὁ Πατήρ μου εἰς κλῆρόν μοι καὶ μερίδα τὰ ἔθνη δεδώρηται, ᾧ καὶ γέγονα ὑπήκοος μέχρι θανάτου. Τὸ γὰρ ποτήριον τὸν θάνατον σημαίνει, κατὰ τὸ εἰρημένον· «Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο.[1]»

[«Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου.» Κληρονομίαν καλεῖ τὴν τῶν ἐθνῶν βασιλείαν. Καὶ τῆς ἐμῆς Ἐκκλησίας, ἥτις ἐστὶν ἡ κληρονομία μου, μερίς ἐστιν, ὁ Κύριος ὁ Πατήρ, ὁ αὐτὸς δὲ καὶ τοῦ ποτηρίου μου μερίς ἐστι, τουτέστι τοῦ θανάτου. Καὶ ἡ Ἐκκλησία ἐκληρονόμησε τὸν Πατέρα, κατορθώσασα τὰς ἐντολὰς αὐτοῦ· καὶ αὐτὸς ὁ θάνατος ὁ ἐμὸς ἐκληρονόμησε τὸν Πατέρα κατὰ τὸν λέγοντα· «Κληρονόμε Θεοῦ, συγκληρονόμε Χριστοῦ.[2]»]

«Σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις μου· καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστι. » Τοὺς δεσμοὺς τῆς ἀγάπης φησίν,

1. Ματθ. 26, 39. 2. Ῥωμ. 8, 17.

οὓς ἔσχεν πρὸς τὴν Ἐκκλησίαν, ἥτις καὶ κρατίστη ἐστί, τουτέστι ἀρέσκουσα αὐτῷ.

«Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με.» Τούτου ἡ ἑρμηνεία κεῖται ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων. «Ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.» Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ νεφροὺς ὀνομάζειν τοὺς κεκρυμμένους καὶ ἐν βάθει λογισμούς· νύκτα δὲ τὸ ἀφανές.

«Προερώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μού ἐστί, ἵνα μὴ σαλευθῶ.» Καθὸ μὲν νοεῖται Θεός, αὐτός ἐστιν ὁ πάντα στηρίζων καὶ ἀνέχων· καθὸ δὲ γέγονεν ἄνθρωπος, πρέποι ἂν αὐτὸν καὶ τὸ λέγειν ἐκ δεξιῶν ἐσχηκέναι τὸν Κύριον, ἵνα μὴ σαλευθῇ. Συμπλάττεται γὰρ πανταχοῦ τοῖς τῆς ἀνθρωπότητος μέτροις, καὶ τὸ τῇ κενώσει πρέπον οὐκ αἰσχύνεται διὰ τὴν οἰκονομίαν. Ὅρα γοῦν ὅπως γέγονεν ἡ φύσις ἡμῶν εὐδόκιμος ἐν Χριστῷ. Καὶ προσηνέχθημεν εἰς πρόσωπον τοῦ Πατρὸς οἱ ἐκβεβλημένοι διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ ἐσχήκαμεν αὐτὸν ἐπαμύνοντα καὶ στηρίζοντα.

[«Ἐκ δεξιῶν μού ἐστι.» Προφανῆ ἔλεγχον ἔχει τῆς Ἰουδαίων ἐμβροντησίας. Καὶ Πέτρος γὰρ ὁ κορυφαῖος ἐν ταῖς Πράξεσιν εἰς Χριστὸν ταῦτα προσήρμοσεν. Καθὸ μὲν γὰρ Θεός, αὐτός ἐστιν ὁ πάντα στηρίζων καὶ ἀνέχων· καθὸ δὲ ἄνθρωπος, πρέποι ἂν αὐτῷ καὶ τὸ ἐκ δεξιῶν ἔχειν τὸν Κύριον, ἵνα μὴ σαλευθῇ.

«Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου.» Αὐτὸς ὢν ζωὴ καὶ ζωοποιός, ἐζωοποιῆσθαι λέγεται παρὰ τοῦ Πατρὸς διὰ τὴν οἰκονομίαν. «Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς», ὁ τῆς ἀνθρωπότητος ἔχων πρόσωπον, ὡς καθ' ἡμᾶς γεγονώς, τοὺς ἡμῖν μᾶλλον καὶ οὐχ ἑαυτῷ πρέποντας, καθὸ νοεῖται Θεός, ἀναπέμπει λόγους.]

«Τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος.» Τοῦτο σημαίνει, ἐν τέρψεσι καὶ εὐφροσύναις ἔσονται οἱ ἅγιοι μετὰ τὸ ἀναβιῶναι κατὰ τὸν τῆς ἀναστάσεως καιρόν. Ταύτην δὲ τὴν τέρψιν καὶ τὴν εὐφροσύνην, ἥτις ἐστὶν ἡ ἀφθαρσία, λήψεσθαι λέγουσι παρὰ Χριστοῦ, ὅς ἐστιν ἐν ἡμῖν καὶ δεξιὰ τοῦ Πατρός. Καὶ ὡς ἀληθὴς ὁ λόγος, δῆλον ἐκ τοῦ φήσαντος λογίου· «Ὃς μετασχηματίσει τὸ σχῆμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ.[1]»

Προσευχὴ τῷ Δαυίδ.

ΙϚ'.

Ὑπόθεσις.

Ἄδεται ὁ ψαλμὸς ἐκ προσώπου τοῦ κατὰ Θεὸν τελείου.

«Εἰσάκουσον, Κύριε, δικαιοσύνην μου.» Πολλῆς πεποιθήσεως ὁ λόγος μεστός· τὸ γὰρ τῆς δικαιοσύνης ἐνταῦθα οὐχ ὡς καυχώμενος, οὐδ' ὡς δίκαιον ἑαυτὸν ἀποφαίνων· ἀλλ' ἀντὶ τοῦ, Δικαίως αἰτοῦντος

1. Φιλιπ. 3, 21.

τὴν παρὰ σοῦ βοήθειαν, καὶ ἀξιοῦντος ἀπαλλαγῆναι ὧν ἀδίκως ὑπομένει, μάτην ὑπὸ τοῦ Σαοὺλ διωκόμενος, καὶ ἐξάκουσον καὶ παράσχου τὴν αἴτησιν.

«Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις.» Προσευχῆς γὰρ οὐ διὰ χειλέων δολίων, διὰ δὲ γλώττης κεκαθαρμένης, καὶ τὰ θεῖα λόγια μελετᾶν εἰθισμένης ἐνωτίζεται ὁ Θεός.

«Ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι.» Σαφῶς εὔχεται τὸν Μονογενῆ κριτὴν ἑαυτῷ καταστῆναι. «Οἱ ὀφθαλμοί σου ἰδέτωσαν εὐθύτητας.» Τὸ δίκαιον κρῖμα ἐξαιτεῖ τοῦ Υἱοῦ, ὃ ἔκρινεν ἡμῖν.

«Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός, ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.» Ἀδικίαν εἴωθεν ἡ θεία Γραφὴ καλεῖν τὴν κατὰ τοῦ Θεοῦ βλασφημίαν· «Ἀδικίαν γάρ», φησίν, «εἰς τὸ ὕψος ἐλάλησαν.[1]»

«Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. Διδάσκει, ὡς καὶ τοῦτο παραφυλάττεσθαι πρὸς τὸ μηδὲν θνητὸν μηδὲ ἀνθρώπινον φθέγγεσθαι. «Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.» Διὰ τὰ σὰ προστάγματα, φησί, τὴν στενὴν καὶ τεθλιμμένην εἰσήλασα πύλην.

«Κατάρτισαι τὰ διαβήματά μου ἐν τοῖς τρίβοις σου.» Διδάσκει ὁ λόγος μὴ πεποιθέναι ἐφ' ἑαυτοῖς, ἐπὶ δὲ τῷ Θεῷ ἐπιστηρίζεσθαι.

[Τρίβοι δὲ Κυρίου τῶν ἐντολῶν αἱ τηρήσεις.]

«Ἐγὼ ἐκέκραξα, ὅτι εἰσήκουσάς μου, ὁ Θεός.» Τὸ «εἰσήκουσας», ἀντὶ τοῦ, εἰσακούσῃ. Οὐ μάτην τοῖσδε τοῖς λόγοις ἐχρησάμην, ἀλλὰ πεῖραν τῆς σῆς ἔχων φιλανθρωπίας· ἤκουσας γάρ μου παρακαλοῦντος πολλάκις. «Κλῖνον τὸ οὖς σου ἐμοί.» Ὅλος ὁ Θεὸς οὖς ἐστιν, ὡς τὰ πάντα ἀκούων.

[«Ἐγὼ ἐκέκραξα», καὶ τὰ ἑξῆς. Οὐ μάτην κράζω, ἀλλ' ἐπεὶ πολλάκις ἤκουσας, αἰτῶ καὶ νῦν ἀκουσθῆναι. Κραυγὴ δέ ἐστι πρὸς Θεὸν καὶ ἡ ἐπιτεταμένη νόησις.]

[«Τὸ στέαρ αὐτῶν συνέκλειον.» Στέαρ τὴν σφοδροτάτην εὐημερίαν τῶν ἐχθρῶν σημαίνει.]

«Τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.» Εἷς σκοπός, φησί, γέγονεν αὐτοῖς, οἱονεὶ κατενέγκαι εἰς γῆν, καὶ τὰ σαρκὸς πεῖσαι φρονεῖν.

«Ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῶν χειρῶν σου.» Ἑκάστη τῶν δικαίων ψυχὴ καὶ μάλιστα τῶν ἑλκόντων τοὺς ἁμαρτωλοὺς ἐξ ἀσεβείας εἰς θεοσέβειαν, οἱονεί πως ῥομφαία ἐστὶν ἠκονημένη κατὰ τῶν πνευμάτων τῆς πονηρίας. Ταύτην οὖν τὴν ῥομφαίαν, ὦ Δέσποτα, φησίν, ἣν αὐτὸς κατὰ τῶν σῶν ἐχθρῶν ἠκόνησας, ῥῦσαι ἀπὸ τῶν ἐχθρῶν τῆς σῆς χειρός. Τίνες δ' ἂν εἶεν οἱ τῆς χειρὸς τοῦ Θεοῦ ἐχθροὶ ἢ οἱ ἀνθιστάμενοι τῇ εἰς τὸν Μονογενῆ αὐτοῦ πίστει, ὅστις ἐστὶ καὶ χεὶρ αὐτοῦ;

---

2. Ψαλμ. 72, 8.

«Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτούς.» Χωρισθῆναι τοὺς ἀσεβεῖς τῶν ὀλίγων εὔχεται, οἱονεί πως διαμερισθῆναι. Τίνες δὲ οἱ ὀλίγοι ἢ περὶ ὧν λέλεκται· «Πολλοὶ μὲν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.[1]»

«Καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν.» Πάντων, φησί, τῶν τιμίων ἀπέλαυσαν· διὸ καὶ ἀπελάκτισαν οὕτως, ὡς καὶ παρανομεῖν. «Τῶν δὲ κεκρυμμένων σου» ἀντὶ τοῦ, ὧν ἐν ἀποκρύφῳ τιμωριῶν ἔχεις τὴν γνῶσιν, ἐγὼ ἀγνοῶ, τούτων ἔμπλησον τὰς γαστέρας αὐτῶν, περιφραστικῶς ἀντί, αὐτούς. «Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.» Πάσης, φησί, παρανομίας ἐπλήσθησαν, καὶ εἰς παῖδας δὲ ταύτην παρέπεμψαν.

[Καὶ ταύτην κατέλειψαν τοῖς νηπίοις τῶν υἱῶν αὐτῶν, ἤγουν μέχρι ἐκγόνων.]

«Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου.» Οὐχ ὁμοιωθήσομαι ἐκείνοις, οὐδὲ τῶν αὐτῶν, φησί, χορτασθήσομαι· ἀλλὰ τῆς σῆς δόξης ἐμπλησθήσομαι διὰ δικαίων ἔργων.

Εἰς τὸ τέλος τῷ παιδὶ Κυρίου τῷ Δαυίδ, ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ ᾗ ἐρρύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ, καὶ εἶπεν.

ΨΑΛΜΟΣ ΙΖ'.

Ὑπόθεσις.

Περιέχει ὁ ψαλμὸς ἐπανάστασιν ἐχθρῶν καὶ ἐπίκλησιν εἰς συμμαχίαν Θεοῦ, καὶ κάθοδον τοῦ Μονογενοῦς καὶ ἀνάληψιν, καὶ μετὰ τὴν ἀνάληψιν τὰ κατὰ τῶν δαιμόνων πραχθέντα, καὶ τοῦ Ἰσραὴλ ἐκβολήν, καὶ τῶν ἐθνῶν κλῆσιν. Τὸ δέ, «ἐκ χειρὸς τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαούλ», ἀναφέροιτ' ἂν εἰς τοὺς νοητοὺς ἐχθροὺς καὶ τὸν τούτων ἄρχοντα.

«Ἀγαπήσω σε, Κύριε, ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου.» Τῶν εὐεργεσιῶν αἰσθόμενος τοῦ Θεοῦ, ὅπερ ἐστὶ μέγιστον δῶρον, ἀντιτίθησιν αὐτῷ, τὴν ἀγάπην φημί· ἣν καὶ πρώτην ὁ Σωτὴρ ἐν ἐντολαῖς ἔταξεν.

«Αἰνῶν ἐπεκαλεσάμην τὸν Κύριον καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.» Ἐνταῦθα διδασκόμεθα χάριν μὲν ὁμολογεῖν ὑπὲρ τῶν ὑπηργμένων ἀγαθῶν· αἰτεῖν δὲ πάλιν τὰ ἐνδέοντα. Εἶτα διηγεῖται τὰς παντοδαπὰς τῶν πολεμίων ἐπαναστάσεις.

«Περιέσχον με ὠδῖνες θανάτου.» Οὐδενός, φησίν, ἐνταῦθα πολέμου θνητοῦ μέμνηται, ἀλλὰ δυνάμεων ἀφανῶν, ἔνδον τὴν ψυχὴν αὐτοῦ κυκλουσῶν. «Καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με· προέφθασάν με παγίδες θανάτου.» Χείμαρροι ἀνομίας εἰσὶν οἱ παράνομοι λογισμοί· οὗτοι δὲ αὐτοὶ καὶ ὠδῖ-

---

1. Ματθ. 22, 14.

νες καλοῦνται χρονίζοντες ἐν ἡμῖν, καὶ πάλιν παγίδες, θανατοῦντες ἡμᾶς διὰ τῆς κατ' ἐνέργειαν ἁμαρτίας.

«Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.» Τὰ παραχθέντα τότε ἐπὶ τῇ καθόδῳ τοῦ Κυρίου εἰσηγεῖται· πάντες γὰρ οἱ τὴν γῆν οἰκοῦντες ἐκινήθησαν· πᾶσά τε χώρα ἐπληροῦτο τῆς περὶ αὐτοῦ φήμης. «Καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν.» Ὄρη δυνάμεις εἰσὶ πονηροὶ αἱ ἐπαιρόμεναι κατὰ τῆς δόξης τοῦ Θεοῦ. Θεμέλια δὲ αὐτῶν τοὺς ἐν βάθει λογισμούς φησιν. «Καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός.» Διότι ἐν μακρῷ αἰῶνι τοὺς ἐπὶ τῆς γῆς ἠπάτησαν διὰ τῆς πολυθέου δεισιδαιμονίας.

«Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ.» Ὀργισθείς, φησί, κατέσβεσεν αὐτῶν τὸ πῦρ δι' οὗ πάλαι τοὺς ἀνθρώπους κατέφλεγον. Καὶ τούτου σύμβολον τὸν καπνὸν τίθησι. «Καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται.» Ταῦτα γὰρ ὁ τοῦ Θεοῦ Υἱὸς ἐνεργεῖ ἀφανῶς κατὰ τῶν ἀντικειμένων δυνάμεων τὸ πῦρ αὐτῶν σβεννὺς ἑτέρῳ πυρὶ κρείττονι καὶ δυνατωτέρῳ. [Ὁρῶντες γὰρ οἱ δαίμονες τὸν Κύριον, ἐν τῇ παρουσίᾳ αὐτοῦ ἐκαίοντο ἀπὸ προσώπου αὐτοῦ.] «Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.» Οἱ κατὰ μετουσίαν τοῦ θείου πυρὸς φωτισθέντες.

«Καὶ ἔκλινεν οὐρανούς, καὶ κατέβη.» Λευκότατα προφητεύει τὴν κατάβασιν τοῦ Κυρίου. Εἴη δ' ἂν σημαντικὸν τοῦ· «Ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου.[1] Καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.» Τὸ κρύφιον τῆς ἐν τῇ οἰκονομίᾳ πορείας δηλοῖ καὶ τὸ ἀόρατον τοῦ Θεοῦ· ἵνα μὴ δι' ὧν εἶπεν εἰς σωματικὰς ἑλκυσθῶμεν ἐννοίας.

«Ἐπέβη ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.» Τὴν ἀνάληψιν αὐτοῦ διὰ τούτων δηλοῖ· χερουβὶμ καὶ πτέρυγας ἀνέμων τὴν νεφέλην φησὶ [ἥτις αὐτὸν ὑπέλαβεν· ἢ τὸ τῆς ἐπιφανείας ὀξύ, τὸ τῆς παρουσίας καὶ βοηθείας τάχος] περὶ ἧς ἐν ταῖς Πράξεσι γέγραπται· «Καὶ ταῦτα εἰπὼν βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.[2]»

«Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ.» Τὴν ἀφανῆ καὶ λανθάνουσαν τοῦ Σωτῆρος σὺν ἀνθρώποις διατριβήν. «Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ.» Σκηνὴν αὐτοῦ τὴν ἁγίαν Ἐκκλησίαν σημαίνει, ἐν ᾗ κατασκηνῶσαι ἐπήγγελται. «Κύκλῳ» δὲ «αὐτοῦ», φησί, κατὰ τὸ εἰρημένον· «Ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.[3] Σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.» Τοῦτό φησι διὰ τὸ ἀμαυρῶς τοὺς περὶ αὐτοῦ λόγους ἐν τοῖς προφήταις κεῖσθαι, οἵτινες καὶ νεφέλαι προσηγορεύθησαν.

«Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον.» Τὸ φῶς, φησί, τῆς ἐπιφανείας αὐτοῦ φανερὰς τὰς προφητείας ἐποίησεν. [Ἐπειδὴ δὲ καὶ ἀπειλαὶ τοῖς προφητικοῖς ἔγκεινται λόγοις, καὶ ταύτας διὰ τῆς χαλάζης καὶ ἀνθράκων ᾐνίξατο. Ἢ οὕτως, ἀπὸ τῆς

1. Φιλιπ. 2, 8. 2. Πράξ. 1, 9. 3. Ματθ. 18, 20.

τοῦ κηρύγματος ἐκλάμψεως ἔμπροσθεν αὐτοῦ διελθόντες οἱ ἀπόστολοι νεφελῶν δίκην τὸν κόσμον κατήρδευσαν. Αἱ δὲ χάλαζαι κολάσεων εἴδη τοὺς ἀπιστοῦντας ἀμυνόμεναι.] «Χάλαζα καὶ ἄνθρακες πυρός.» Διὰ τούτων σημαίνει τὰ μετὰ τὴν ἀνάληψιν αὐτοῦ συμβεβηκότα τοῖς ἐχθροῖς, τοῖς νοητοῖς φημι. Ὥσπερ δὲ τὸν Ἰσραὴλ ἐξ Αἰγυπτίων ἐλευθερῶν χάλαζαν καὶ πῦρ ἔβρεξεν, οὕτω καὶ πάντα τὰ ἔθνη τῆς τῶν δαιμόνων δουλείας ἐλευθερῶν χάλαζαν ἔβρεξε καὶ ἄνθρακας πυρός. Ταῦτα δὲ εἶεν ἂν τιμωρητικαὶ δυνάμεις, δι' ὧν τὰς νοητὰς αἰγυπτίας καθεῖλεν.

«Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων.» Μετὰ τὴν καθαίρεσιν τῶν ἐχθρῶν ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων· δηλαδὴ ὁ σωτήριος τοῦ Εὐαγγελίου λόγος, ὅστις καὶ θεμέλιος τῆς οἰκουμένης γέγονεν· ἐπ' αὐτὸν γὰρ ἐπῳκοδομήθημεν. Ἢ καὶ οὕτως· πηγὰς νοήσεις τοὺς ἁγίους προφήτας, ἅτε δὴ τὸν σωτήριον ἀναβλύζοντα λόγον. Οὕτω γὰρ γέγραπται περὶ αὐτῶν· «Καὶ ἀντλήσετε ὕδωρ μετ' εὐφροσύνης ἐκ πηγῶν τοῦ σωτηρίου.[1]» Θεμέλια δὲ τῆς οἰκουμένης τὴν Μωϋσέως τοῦ πανσόφου Γραφήν. Κρηπῖδα γὰρ πίστεως καὶ θεογνωσίαν ἐν αὐτῇ καὶ πρώτῃ τεθειμένην εὑρήκαμεν τὸ Χριστοῦ μυστήριον ἐν τύποις ὠδίνουσαν ἅμα τοῖς προφήταις. «Ὤφθησαν» τοίνυν ἀντὶ τοῦ, ἐφανερώθησαν. Ἤγουν πηγὰς νοήσεις καὶ θεμέλια τῆς ὑπ' οὐρανόν, τοὺς ἁγίους ἀποστόλους· ἀναπηγάζουσι γὰρ καὶ αὐτοὶ τὸν σωτήριον λόγον καὶ κρηπῖδα τῇ ὑπ' οὐρανὸν κατεβάλοντο τὴν πίστιν. Πηγὰς δὲ ὑδάτων καὶ θεμέλια τῆς οἰκουμένης νοήσεις πάλιν τὸ σωτήριον βάπτισμα.

«Ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε.» Προσυπακουστέον τό, ἀνηρέθησαν οἱ προλεχθέντες ἐχθροί. «Ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.» Οὐ παραυτὰ Θεὸς κολάζει τοὺς ἁμαρτάνοντας· ἢ γὰρ ἂν ἄρδην ἀπώλοντο· προαναφωνεῖ δὲ τῆς ὀργῆς τὰς κολάσεις· «Παιδεύσω γὰρ αὐτοῖς ἐν τῇ ὀργῇ τῆς θλίψεως αὐτῶν.[2]» Καὶ τοῦτο ἐστι τὸ ἐμπνέειν αὐτὸν πνεῦμα τῆς ὀργῆς αὐτοῦ.

«Προσελάβετό με ἐξ ὑδάτων πολλῶν. » Ὕδατα τοὺς πειρασμούς φησι.

[«Ἐξ ὑδάτων πολλῶν.» Ὕδατα τοὺς πειρασμούς φησι. Λέγει ὁ Δαυίδ· «Ἔλαβέ με», ἤτοι τὴν ἀνθρωπείαν φύσιν· ἐβαπτίσθησαν γὰρ ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς ὡσεὶ ψυχαὶ τρισχίλιαι ὑπὸ τῶν ἀποστόλων.]

«Ῥύσεταί με ἐκ τῶν ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούντων με.» Εἰς τὰ πεπραγμένα αὐτῷ ἐπὶ τῇ ἁμαρτίᾳ καὶ τῇ μετανοίᾳ μετέβη. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Ἤδη μέν, τῆς ἐξομολογήσεώς μου ἐπακούσας ὁ Κύριος, γέγονέ μοι ἀντιστήριγμα, μέλλοντός μου περιτρέπεσθαι καὶ μέγα πτῶμα ὑπομένειν, εἰ μετὰ τὴν ἁμαρτίαν εἰς

1. Ἡσ. 12, 3. 2. Ὠσ. 7, 12.

παντελῆ ἐξέπιπτον ἀποστασίαν. Πλὴν ἀλλὰ καὶ παντελῶς ῥύσεταί με διδοὺς ἄφεσιν τῆς ἁμαρτίας κατὰ τὸν προφητευόμενον καιρὸν τῆς αὐτοῦ παρουσίας, καὶ τοῦτο ποιήσει εὐεργετῶν με ὁ Κύριος, «Ὅτι ἠθέλησέ με.» Εἰ μὴ γὰρ ἠθέλησέ με, οὐκ ἂν τὸν προφήτην αὐτοῦ πρὸς μὲ ἀπέστειλε.

«Καὶ ἀνταποδώσει μοι Κύριος.» Πέπεισμαι, φησίν, ὅτι κατὰ τὸν καιρὸν τῆς δικαιοκρισίας αὐτοῦ, οὐ μνημονεύσας μου τὰς ἁμαρτίας, κατὰ τὴν δικαιοσύνην μου ἀνταποδώσει. Τὰς γὰρ ἄλλας μου πράξεις τὰς ἐν δικαιοσύνῃ ὥσπερ ζυγῷ ἀντιπαραβάλλων καὶ ἀντιστήσας τῷ ἁμαρτήματί μου, κατὰ πολὺ πλεοναζούσας εὑρήσει τοῦ γενομένου μοι ἁμαρτήματος. Διδάσκει δὲ ὁ λόγος τὸ δύνασθαι τὸν κατά τινα ἀσθένειαν ὠλισθηκότα ἀναλαμβάνειν ἑαυτὸν διὰ δευτέρων κατορθωμάτων.

[Δικαιοσύνην τὴν καθόλου ἀρετὴν λέγει· τὴν πρακτικὴν καθαρότητα χειρῶν τὰς πρακτικὰς ἐνεργείας ἀμολύντους γενομένας τὸ ἀπὸ βελτίστης ἕξεως ἀποτελεῖσθαι.]

[«Ὅτι πάντα τὰ κρίματα», καὶ τὰ ἑξῆς. Ὠλισθηκότας ἀναλαμβάνειν δεῖ ἑαυτοὺς διὰ δευτέρων κατορθωμάτων. Εἰ καὶ ἀνεξερεύνητα δὲ καὶ τὰ κρίματα καὶ ἀβύσσῳ ἐοικότα διὰ τὸ ἀκατάληπτον, ἀλλ' οὖν πάντα ἐνώπιόν ἐστι τοῦ θεοφιλοῦς.]

«Μετὰ ὁσίου ὅσιος ἔσῃ.» Εἰκότως κατηξίωσάς με τῆς σῆς εὐεργεσίας· ἐπειδήπερ, δίκαιος ὤν, οἶδας μετὰ ὁσίου ὁσιοῦσθαι. Εἰ γὰρ ἤμην ἐναπομείνας τῇ ἁμαρτίᾳ καὶ παντελῆ διατροφὴν ὑπομείνας, οἶδα, ὅτι καὶ σὺ αὐτὸς ὁ μέγας κριτὴς τῇ ἐμῇ ἁμαρτίᾳ κατάλληλον ἐπήγαγες τὸ σαυτοῦ κρῖμα. Ἐπειδὴ δὲ ἐφύλαξα τὰς ὁδούς σου, τούτου χάριν ὁ μετὰ ὁσίου ὁσιούμενος καὶ μετὰ ἀθώου ἀθωούμενος, οὐ κατὰ τὴν ἐν καιρῷ τινι γεγενημένην μοι διαστροφὴν ἡρμόσω, κατὰ δὲ τὴν μετὰ ταῦτα ζωήν, καὶ τὸν ἐν δικαιοσύνῃ μου βίον τὴν ἀμοιβήν μοι παρέξεις ἐν τῷ σῷ δικαστηρίῳ.

«Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις.» Ἐπὶ τὸν χορὸν ἀναπέμπει τῶν ἀποστόλων. «Καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.» Τοῦτο εἰς τοὺς Φαρισαίους καὶ γραμματεῖς τείνει.

«Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε.» Τὸν νοῦν φησιν. «Ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου.» Τὴν ἄγνοιαν, φησί, τὴν ἐν ἐμοὶ διασκεδάσεις.

«Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.» Ὅτι περιέλαβόν με οἱ ἐχθροί μου, φησίν, εἰς τὸ ἀποκλεῖσαι.

[Πειρατήριον δὲ καὶ λέγει τὰς ἡδονάς, καὶ τεῖχος τὸν διάβολον.]

«Ὁ Θεός μου ἄμωμος ἡ ὁδὸς αὐτοῦ.» Ἐνταῦθα, φησί, τὴν ἀγνωμοσύνην καὶ τὴν κακίαν καὶ τὴν ἀπειθῆ γνώμην καὶ τὴν σκληρότητα τῶν ἀγνωμόνων καὶ ἀχαρίστων καὶ σκληροκαρδίων Ἰουδαίων καταμέμφεται. Ἐπειδὴ ἐπελαμβάνοντο τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ,

ὡς παρὰ τὸν θεῖον πράττοντος νόμον. Καὶ μὴν καὶ τῶν λόγων αὐτοῦ ἐλοιδόρουν καὶ διέβαλλον ὡς βλασφήμων, λέγοντες πρὸς ἀλλήλους, ὅτι «Βλασφημεῖ. Τίς γὰρ δύναται ἀφιέναι ἁμαρτίας;[1]» Ἐκ πονηρᾶς συνειδήσεως καὶ κακοῦ λογισμοῦ ταῦτα πρὸς τὸν τῶν ὅλων Κύριον καὶ Θεὸν διανοούμενοι, καὶ λογιζόμενοι ἃ διελογίζοντο.

[«Τὰ λόγια αὐτοῦ πεπυρωμένα.» Καὶ τὰ περὶ τούτου λόγια αὐτοῦ ὡς τὸ πεπυρωμένον ἀργύριον, καθαρὰ πάσης μέμψεως, βεβασανισμένα, δεδοκιμασμένα.]

«Ὅτι τίς Θεὸς πλὴν τοῦ Κυρίου; ἢ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;» Ὁ γὰρ τοῦ Θεοῦ Λόγος μόνος Θεὸς ἀληθής, διὸ καὶ Μονογενής, διὰ τὸ μόνος εἶναι Θεὸς ὡς ὁ Πατήρ. Εἰπὼν δὲ περὶ Χριστοῦ, ὡς φύσει Θεός, νῦν λέγει, «Ἢ τίς Θεός;» μόνον εἶναι λέγων, κατ' αὐτόν, τὸν Πατέρα. Ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατήρ· οὐ γάρ ἐστι Θεὸς ἕτερος, ἵνα ὁ μὲν τούτῳ, ὁ δὲ ἐκείνῳ παράσχῃ τὴν αἴτησιν. Ἴσως δὲ καὶ ἐκ παραλλήλου τοὺς δύο προηνέγκατο στίχους· οὕτω, φησίν, ὁ ἀληθὴς Θεός, ὡς ἐπεποίθειν, ἐν μὲν τῷ νικᾶν δύναμιν περιεζώννυε, καὶ ἀβλαβῆ μοι τὴν περὶ τὰ πρακτέα ἐτίθει ὁδόν.]

«Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν.» Ὅμοιον τὸ εἰρημένον· «Ἕως οὗ ἐνδύσησθε ἐξ ὕψους δύναμιν.[2] Καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.» Τουτέστι διὰ τῶν εὐαγγελικῶν θεσπισμάτων ἄμωμόν με παρεσκεύασε τρέχειν ὁδόν.

«Καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.» Τουτέστι τὰ ἄνω διδάσκει φρονεῖν.

[«Καταρτιζόμενος τοὺς πόδας μου.» Ἀναλωτικοὶ γὰρ οἱ ἅγιοι τῶν ἰοβόλων παθῶν· ἔλαβον γὰρ δύναμιν κατὰ τῶν νοητῶν ὄφεων, καὶ διὰ τοῦτο ἐλάφοις παρεικάζονται· καὶ αὗται γὰρ ἀναλωτικαὶ τῶν αἰσθητῶν ὑπάρχουσιν ὄφεων· «Ὡσεὶ ἐλάφου·» ἔλαβον γὰρ ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.[3]]

«Διδάσκων χεῖράς μου εἰς πόλεμον.» Εἰς εὐχὴν γὰρ αὐτὰς ἐκτείνων περιγίνομαι τῶν δυσμενῶν. «Καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου.» Τὰς δυνάμεις τῆς ψυχῆς ἀνδρικὰς δίκην τόξου χαλκοῦ κατασκευάσας. Διὰ μὲν τοῦ χαλκοῦ τὸ εὔτονον δείκνυσιν καὶ τὸ ἄτρωτον, διὰ δὲ τοῦ τόξου τὸ ὑπὸ τῶν ἡμετέρων συμβολικῶς βραχιόνων ἀφίεσθαι βέλη.

[«Διδάσκων χεῖράς μου εἰς πόλεμον.» Ἐπιτευκτικὸν εἶναι κατὰ τὴν μάχην διδάσκων, καὶ τιθεὶς τοὺς βραχίονας ὡς τόξον, ὡσανεὶ χαλκοῦς ποιῶν κατὰ τὴν ἰσχὺν τούτους. Ἢ λέγει τὰς δυνάμεις τῆς ψυχῆς ἀνδρικὰς δίκην τόξου χαλκοῦ κατεσκεύασεν. Ὁ χαλκὸς σύμβολόν ἐστι πρακτικῆς· «Διέφθειρε» γάρ, φησί, «τὸν χαλκόν σου», φησὶν ὁ Ἰεζεκιὴλ πρὸς τὴν Ἱερουσαλήμ.[4]]

---

1. Μάρκ. 2, 7. 2. Λουκ. 24, 49. 3. Πρβλ. Λουκ. 10, 19. 4. Πρβλ. Ἰεζ. 16, 36.

«Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας.» Ὑπερήσπισάς μου, φησί, διὰ τοῦ σωτηρίου σου. Τοῦτο δέ ἐστιν ἡ τῆς οἰκονομίας ἐπιδημία.

[«Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με.» Παιδείαν τὴν εὐαγγελικὴν λέγει· ἢ παιδείαν τὴν ἐκ νόμου φησὶ παίδευσιν· οἷον διὰ πάντων μέν, φησίν, εὐεργετῶν δέδωκας καὶ νόμους, δι' ὧν ἐπαιδευόμην τὸ δέον. Μανθάνων γὰρ ἐκεῖθεν ὡς οὐ δεῖ ἀδικεῖν, ἀπειχόμην τούτου. Ἀλλ' ἵνα μὴ βλάπτωμαι πάλιν ἐκ τῆς τοιαύτης ἐπιεικείας, ἱκανὴν περιέχης βοήθειαν, πλατυσμὸν παρεχόμενος, ἢ παιδείαν τὴν παιδευτικὴν λέγει διδασκαλίαν, κατὰ τό· «Ἐπιλαβοῦ παιδείας·[1]» ἢ τὴν ἐπίπονον ἀγωγήν, κατὰ τό· «Μὴ ὀλιγώρει παιδείας Κυρίου.[2]»]

«Καὶ δεξιά σου ἀντελάβετό μου.» Δεξιὰ τοῦ Πατρὸς ὁ Υἱός. «Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος.» Ἡ εὐαγγελικὴ δηλονότι διδασκαλία. «Καὶ ἡ παιδεία σου αὐτή με διδάξει.» Τό, «Καὶ ἡ παιδεία σου αὐτή με διδάξει», Θεοδοτίωνός ἐστιν, ἀντὶ τοῦ, «Ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος», εἰρημένου τοῖς Ἑβδομήκοντα.

«Ἐπλάτυνας τὰ διαβήματά μου.» Ἔστησας γὰρ ἐπὶ πέτραν τοὺς πόδας μου, ἥτις ἐστὶν ἡ πίστις ἡμῶν. «Καὶ οὐκ ἠσθένησαν τὰ ἴχνη μου.» Περιελὼν γὰρ τὰ σκάνδαλα καὶ τὰς παγίδας, ἃς κατεσκεύαζον οἱ ἐχθροί, κατήρτισεν ἡμῖν τὴν πορείαν

[«Ἐπλάτυνας τὰ διαβήματά μου.» Περιελών φησι τὰ σκάνδαλα καὶ τὰς παγίδας ἃς κατεσκεύαζον οἱ ἐχθροί, ἐλευθέραν μοι τὴν πορείαν ἐποίησας. Διαβήματα λέγει καθὸ ἐκ κακίας πρὸς ἀρετὴν διαβαίνει τις, ἃ κατ' ἀρχὰς μὲν ἐπίπονά ἐστι τῷ τὴν τεθλιμμένην ὁδεύοντι· τῇ δὲ προκοπῇ πλατύνεται. Τῷ γὰρ μετὰ τοὺς τῆς ἀρετῆς πόνους ἀνάπαυλαν δέχεσθαι ἰσχυροποιεῖται τὰ ἴχνη· ἔστησε γὰρ ἐπὶ πέτραν τοὺς πόδας ἡμῶν.]

«Καταδιώξω τοὺς ἐχθρούς μου.» Ὡς κατεσκευασμένος διὰ τῆς θείας χάριτος εἰς δρόμον, περὶ τῆς νίκης θαρρεῖ.

«Ἐκθλίψω αὐτούς, καὶ μὴ δύνωνται στῆναι.» Ἔκθλιψιν τῶν ἐχθρῶν ἡ ἀπάθεια κατεργάζεται.

«Καὶ περιέζωσάς με δύναμιν.» Πάλιν τὸ πᾶν τῆς νίκης τῷ δεδωκότι τὴν ἰσχὺν ἀνατίθησι.

«Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον.» Ἀντὶ τοῦ, εἰς φυγὴν ἔτρεψας. Ἴδιον γὰρ τῶν φευγόντων νῶτα διδόναι. Νῶτα δὲ διδόασιν οἱ ἐχθροὶ ἡμῶν δαίμονες μηκέτι λογισμοὺς ἐμπαθεῖς ἐμβαλεῖν δυνάμενοι τῇ ψυχῇ. «Καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας.» Τὸν Σαούλ, τὸν Ἀχιτόφελ, τὸν Ἀβεσσαλώμ, καὶ μυρίους ἑτέρους.

«Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σῴζων.» Ταῦτα περὶ τῶν αἰσθητῶν ἐχθρῶν φησιν ὡς ἐκ προσώπου τοῦ Κυρίου. Οὔτε γὰρ ἀλλόφυλοι τοὺς οἰκείους καλοῦντες εἰς ἐπικουρίαν θεοὺς τῆς παρ' αὐτῶν προνοίας

---

1. Πρβλ. Παρμ. 19, 20. 2. Παρμ. 3, 11.

ἀπέλαυσαν, οὔτε ὁ Σαοὺλ καὶ Ἀβεσσαλὼμ καὶ ὁ Σεμεεὶ καὶ οἱ λοιποὶ τῶν Ἰσραηλιτῶν πολέμιοι τὸν Θεὸν ἐσχήκασι σύμμαχον.

«Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χοῦν.» Φροῦδοι, φησί, γενήσονται παντελῶς τῆς σῆς μοι χάριτος συνεργούσης.

«Ῥῦσαι με ἐξ ἀντιλογιῶν λαοῦ.» Ἔτι τοῦ Κυρίου τὸ πρόσωπον ἀποστρεφομένου μὲν δι' ἀπείθειαν τῶν Ἰουδαίων, αἰτοῦντος δὲ τὰ ἔθνη εἰς κληρονομίαν αὐτοῦ. «Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν.» Ἀλλ' οὐκ ἴσμεν τὸν Δαυὶδ τῶν ἐθνῶν βασιλεύσαντα· οὐκοῦν διὰ τοῦ ἐξ αὐτοῦ κατὰ σάρκα τεχθέντος ἡ προφητεία πληροῦται. Ὁ γὰρ ἐκ Δαυὶδ κατὰ σάρκα τεχθείς, Δαυὶδ καὶ αὐτὸς ὀνομαζόμενος κατὰ τὸν θεῖον Ἰεζεκιήλ, ὁ Δεσπότης, λέγω, Χριστός, πάντων ἐβασίλευσε τῶν ἐθνῶν· ἀεὶ μὲν ὡς Θεὸς τῶν ἁπάντων δεσπόζων, μετὰ δὲ τὴν ἐνανθρώπησιν καὶ τὴν ἐθελούσιον τῶν εἰς αὐτὸν πεπιστευκότων δουλείαν δεξάμενος.

«Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι.» [Τοῦ αὐτοῦ τοῦ Χριστοῦ· ἀποστρεφόμενος γὰρ τοὺς ἀπειθεῖς Ἰουδαίους, αἰτεῖ τὰ ἔθνη εἰς κληρονομίαν.] Οὐκ ἀγνοίας ἐστὶ σημαντικόν, πάντα γὰρ οἶδεν ὡς Θεός· ἀλλ' ὅτι οἱ κατὰ καιροὺς τὴν οἰκειότητα τὴν πρὸς ἐμὲ μὴ λαχόντες ἀλλότριοι ἂν εἶεν καὶ ξένοι καὶ πόρρω τῆς ἐμῆς ἀπέχοντες οἰκειότητος.

«Υἱοὶ ἀλλότριοι ἐψεύσαντό με.» Ὁ κληθεὶς υἱὸς πρωτότοκος Ἰσραὴλ ἀλλότριος ἐκλήθη διὰ τὴν ἀπιστίαν υἱός. «Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν.» Πᾶν τὸ παλαιούμενον ἐγγὺς ἀφανισμοῦ.

«Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός μου.» Εὐκαίρως τό, «Ζῇ Κύριος» ἐπεφώνησεν. Ἐπειδὴ ἐμνημόνευσεν τῆς ἀντιλογίας τοῦ λαοῦ, ἐν ᾗ ἐβόων λέγοντες «Αἶρε, αἶρε· σταύρωσον αὐτόν.[1] Καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου.» Εἰ καὶ «ἐταπείνωσεν ἑαυτόν[2]», φησί, «λαβὼν τὴν τοῦ δούλου μορφήν[3]», ἀλλ' ὑψηλός ἐστιν. Ὅμοιον δὲ τῷ εἰρημένῳ τό, «Ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα.[4]»

«Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί.» Ἐκ τοῦ ἀπίστου λαοῦ τῶν Ἰουδαίων δηλονότι. «Καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ.» Τὰ ἔθνη, φησίν, ὑπετάγησαν τῷ Χριστῷ. «Ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου.» Τῶν ἀρχόντων τοῦ ἐξ Ἰσραὴλ λαοῦ φησιν.

«Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμέ.» Τοῦ Ἰούδα λέγει.

[«Ὁ ῥύστης μου ἐκ τῶν ἐχθρῶν μου ὀργίλων.» Ἐκ τοῦ λαοῦ ἀπίστου. Ὀργίλοι ἐχθροὶ ὁ Ἰουδαϊκὸς λαὸς Σαμαρείτην αὐτὸν κερτομοῦντες. Ἀνὴρ δὲ ἄδικος ὁ Ἰούδας, ἢ Πιλᾶτος, ἀναιτίως κολάσας. Διὰ τοῦτο ἢ διὰ τὰς εἰς ἐμὲ εὐεργεσίας εὐχαριστήσω σοι ἐπὶ πάντων εἴτε Ἰουδαίων εἴτε ἐθνῶν, καὶ ἐν ὕμνοις ἔξω τὸ ὄνομά σου.]

«Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε.» Ἐπειδὴ τὰ

---

1. Ἰω. 19,15. 2. Φιλιπ. 2, 8. 3. Φιλιπ. 2, 7. 4. Φιλιπ. 2, 9.

καὶ τὰ εἰργάσω, ἐγώ, φησίν, ὁ προφήτης, ἐπειδὰν σὺ αὐτὸς ὁ Κύριος τὰ ἔθνη καλέσῃς, δι' αὐτῶν σοι ἐξομολογήσομαι, ᾀδόντων αὐτῶν οὓς πεποίηκα ὕμνους. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ μεγαλυνῶ, φησί, τὰς σωτηρίας τοῦ βασιλέως αὐτῶν τῶν ἐθνῶν· ἣν ἐποίησε σωτηρίαν ἐν μέσῳ τῆς γῆς. «Μεγαλυνῶ», τουτέστι τοῖς πᾶσι διαβοήσω λαμπρῶς. Ἐπειδὴ καὶ ταύτην εἰργάσατο, φησί, ποιῶν ἔλεον ἐπὶ τὸν χρισθέντα αὐτοῦ λαόν· εἰς βασίλειον γὰρ ἱεράτευμα ἐχρίσθημεν. Ποιῶν δὲ τῷ λαῷ τὸ ἔλεος καί μοι τῷ Δαυίδ, παρασκευάσεις γενέσθαι αὐτῷ καὶ τῷ σπέρματί μου. Σπέρμα γὰρ τοῦ Δαυὶδ καὶ ὁ ἐξ ἐθνῶν σάρκα λαός· ἅτε δὴ γεγονὼς τέκνον τοῦ ἐκ σπέρματος κατὰ σάρκα γεννηθέντος Δαυίδ.

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ΙΗ'.

Ὑπόθεσις.

Εἰσαγωγικὴν διδασκαλίαν περιέχει ὁ παρὼν ψαλμὸς ἐκ προσώπου τῶν ἀποστόλων πρὸς τὰ ἔθνη. Διὸ καὶ οὐρανόν, καὶ ἥλιον, καὶ τὰ ἕτερα στοιχεῖα, οὓς καὶ μεγάλους ἐνόμιζε θεοὺς ταῦτα ἀνυμνεῖν τὸν ποιητὴν αὐτῶν λέγουσιν.

«Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.» Ὅμοιον τὸ εἰρημένον· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.[1]»

«Ἡμέρα τῇ ἡμέρᾳ, ἐρεύγεται ῥῆμα καὶ νὺξ...» Ἡ ἡμέρα, φησί, καὶ ἡ νὺξ εὐτάκτως καὶ εὐαρμόστως ἀντιπαραχωροῦσαι τοὺς δρόμους ἀλλήλαις, δι' αὐτῶν τῶν πραγμάτων τὸν δημιουργὸν αὐτῶν ἀνακηρύττουσιν.

«Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι.» Καθ' ὑποστιγμὴν ἡ ἀνάγνωσις. Ἀντιπίπτων δέ, ὑποτέμνεται· τὸ δὲ ἀντιτιπῖπτον ἐστί. Καὶ μὴν οὐ φθέγγονται; Διὸ λέγει· Ἆρα οὐκ εἰσὶ τινὰ πράγματα ἅ, καὶ μὴ ἀφιέντα φωνήν, τὸν τεχνίτην ἀνακηρύττουσι; Ναὶ μὴν καὶ γὰρ ἐκ τῆς καλῶς ἡρμοσμένης νηὸς ἡ τέχνη τοῦ ναυπηγοῦ φαίνεται· καὶ ἐπὶ τῶν ἄλλων δὲ ὡσαύτως. Οὐκοῦν καὶ τὰ ποιήματα τὰ προειρημένα οὕτω κηρύττει ἀπὸ μεγέθους καὶ καλλονῆς καὶ εὐαρμοστίας τὸν δημιουργόν· ὡς εἰς πᾶσαν αὐτῶν τὴν οἰκουμένην διαδραμεῖν τὸ κήρυγμα.

«Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ.» Τῷ ἡλίῳ, φησίν, ἔθετο τὸ σκήνωμα, ἤτοι οἶκον. Ποῦ δὲ ἔθετο ἢ ἐν τῷ προειρημένῳ οὐρανῷ καὶ στερεώματι; Τοῦτον δὲ τὸν οἶκον καὶ παστὸν ὠνόμασεν. Ὥσπερ δὲ ἡμέρα καὶ νὺξ τῇ εὐτάκτῳ συμφωνίᾳ κηρύττουσι τὸν δημιουργόν, οὕτω καὶ ὁ ἥλιος, τὸ τὸν δρόμον μετά τινος εὐαρμοστίας ποιεῖσθαι, δηλοῖ τοῦ προστάττοντος τὴν δύναμιν.

1. Ῥωμ. 1, 20.

«Ὁ νόμος Κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς.» Ὁ εὐαγγελικὸς δηλονότι. Ὡς ἤδη δὲ ἀπὸ τῶν προειρημένων στοιχείων παιδαγωγηθέντες οἱ ἐξ ἐθνῶν, ἕνα εἶναι τὸ δημιουργόν, διδάσκονται λοιπὸν καὶ τὸν εὐαγγελικὸν νόμον, ὡς καὶ ἐπιστρέψαι τῶν ἐθνῶν ἁπάντων τὰς ψυχὰς εἰς ἀλήθειαν. «Ἡ μαρτυρία Κυρίου πιστὴ σοφίζουσα νήπια.» Ἣν ἐμαρτύρησεν περὶ ἑαυτοῦ ὁ Μονογενὴς τό· «Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα·[1]» καί, «Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον[2], καὶ ἥκω·» καί, «Ἐγώ εἰμι ἡ ζωή.[3]»

[Σοφίζουσα νήπια, βεβαιοῦσα τοὺς ἀποστόλους, ἢ νήπια τοὺς ἐν Χριστῷ γενομένους νηπίους φησὶ καὶ ἄφρονας, καὶ τοὺς ἀνθρώπους σοφίας ἀπείρους.]

«Τὰ δικαιώματα Κυρίου εὐθέα εὐφραίνοντα καρδίαν.» Ἀντὶ τοῦ, ἡ δικαίωσις ἡ γενομένη ἐν τῇ ἡμετέρᾳ κρίσει. Κρίνας γὰρ ἡμῶν τὴν κρίσιν, ἐξέβαλε τὸν ἄρχοντα τοῦ αἰῶνος, διδοὺς ἡμῖν εὐφροσύνην ἐν καρδίᾳ. «Ἡ ἐντολὴ Κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς.» Τοὺς τῆς διανοίας φησὶν ὀφθαλμοὺς πόρρωθεν τὴν αὐγὴν ἀναπέμπουσα.

«Ὁ φόβος Κυρίου ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος.» Ὡς πρὸς ἀντιδιαστολὴν τοῦ νομικοῦ φόβου τὸ τοιοῦτον· ἐκεῖνος γὰρ κολαστής. Ἡμῶν ἁγνεία ἐστὶν ἁμαρτημάτων ἀποχή. Διὸ καὶ ἁγνὸς εἴρηται ὁ φόβος, ὡς ἁγνοὺς ποιῶν· τῷ γὰρ φόβῳ Κυρίου, φησίν, ἐκκλίνει τις ἀπὸ κακοῦ. Αἰώνιος δὲ ὢν ὁ φόβος, ἐν οἷς ἂν γένηται καὶ αὐτοὺς αἰωνίους ποιεῖ.

«Ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.» Μισθὸς γὰρ φυλακῆς γίνεται «ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη.[4]»

[«Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά.» Ὁ μυσταγωγηθεὶς τῷ εὐαγγελικῷ νόμῳ νέος λαός, καὶ τὰ κρίματα ἀληθινὰ φυλάττειν εἰπών, εὐχὴν ἀναπέμπει, καὶ τὸν κατὰ διάνοιαν λογισμὸν εὑρεθῆναι ὡσαύτως καὶ τῶν ἐκτὸς ῥυσθῆναι δαιμόνων.]

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαυίδ.
ΙΘ'.
Ὑπόθεσις.

Λέγεται μὲν ὁ ψαλμὸς ὡς ἐκ προσώπου τῶν περὶ τὸν Δαυὶδ ἑταίρων, αὐτῷ τῷ Δαυὶδ ἐπευχομένων ποιοῦντι θυσίαν. Ἀναφέρεται δὲ καὶ εἰς πρόσωπον τῶν ἀποστόλων, ὡς ἐν ἡμέρᾳ τοῦ σταυροῦ ῥηθέντος.

«Ἐπακούσαι σου ὁ Κύριος ἐν ἡμέρᾳ θλίψεως.» Προστεθείη σοι· «Σκεπάσαι σε», φυλάξαι σε. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.» Λέγοι δ' ἂν ταῦτα πρὸς τὴν τοῦ ἀθυμοῦντος παραμυθίαν ἢ ὁ ἐνυπάρχων τῇ ψυχῇ Λόγος, ἢ τὸ ἅγιον

1. Ἰω. 12, 46. 2. Ἰω. 16, 28. 3. Ἰω. 14, 6. 4. Α' Κορ. 2, 9.

Πνεῦμα. Εὐχῆς δὲ δεῖ τῷ θλιβομένῳ, καὶ τοῦ μὴ καταβαλεῖν τὰς ἐλπίδας· οὕτω γὰρ Θεὸς ἐπήκοος γίνεται.

«Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου.» Σωτήριος τοῦ Πατρὸς ἐν κόσμῳ ὁ Υἱός· σωτήριον τοῦ Υἱοῦ ἐν κόσμῳ ὁ σταυρός.

[«Ἀγαλλιασόμεθα ἐν τῷ σωτηρίῳ σου.» Τὸ σωτήριον φησίν, ὃ δέδωκας τῷ ἀνθρωπίνῳ γένει, διὰ τῆς σῆς ἀναστάσεως πᾶσι φανερὸν κατέστησας.]

«Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου.» Τίνα ἦν τὰ αἰτήματα, ἢ τό, «Πάτερ ἅγιε, τήρησον αὐτούς[1] ἐκ τοῦ κόσμου;» Δῆλον δέ, ὅτι τοὺς πιστεύοντας εἰς αὐτόν. [Ἢ τὸν Δαυὶδ ἢ τὸν Ἐζεκίαν· ἐφ᾽ ἱερέων γὰρ καὶ βασιλέων, ἢ διὰ τὴν κατὰ σάρκα τοῦ Κυρίου οἰκονομίαν καὶ ἀνάστασιν· ἢ καὶ ὅτι σῳζομένων ἡμῶν, αὐτὸς λέγει σῴζεσθαι, οὗ καὶ μελήσει μὲν σώματος ὄντες ἑνός. Διὸ καὶ νῦν εἶπεν· Ἐν γὰρ τῷ παρόντι γινώσκομεν σῳζόμενον τὸν Χριστόν, τῷ ἀπεντεῦθεν ἀρραβῶνα ἡμᾶς δέχεσθαι σωτηρίας. Ἔσωσας δὲ διὰ τῆς δυναστείας τῆς δεξιᾶς σου. Δεξιὰν τὰς πράξεις, τὰς μεγάλας δυνάμεις, τὴν βοήθειαν εἰπών· ἢ τὰς θεοσημείας προαναφωνεῖ τοῦ Χριστοῦ.] «Νῦν ἔγνων, ὅτι ἔσωσε Κύριος τὸν Χριστὸν αὐτοῦ», ὡς ἤδη φωταγωγηθεὶς διὰ τοῦ Πνεύματος τὰ περὶ τῆς ἀναστάσεως.

«Ἐν δυναστείαις τῆς σωτηρίας τῆς δεξιᾶς αὐτοῦ.» Ἔσωσεν ἡμᾶς, φησί, δυνάμεις μεγάλας ἐργασάμενος. Τὰς πράξεις γὰρ ἐνταῦθα σημαίνει διὰ τὰς δεξιὰς δυνάμεις τοῖς προσιοῦσιν ὀρέγειν. [Ἐκεῖνοι μέν, φησί, πεποιθότες ἐπὶ τούτοις, ἔπεσον· ἡμεῖς δέ, ἐν ὀνόματι Κυρίου καθωπλισμένοι, ἐσώθημεν.] Δεξιὰν δὲ πάλιν ἐνταῦθα ἀνθρωπίνως εἶπε, τὴν θείαν οὕτως ὀνομάζων ἐνέργειαν.

«Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις.» Ὥσπερ τῶν αἰσθητῶν Αἰγυπτίων σῴζων τὸν Ἰσραήλ, ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν, οὕτω καὶ πάντων ἀνθρώπων σῴζων τὸ γένος τῶν νοητῶν Αἰγυπτίων, συνέτριψε τὰ ἅρματα.

«Κύριε, σῶσον τὸν βασιλέα.» Τοιγαροῦν τοσαύτης ἀπολαύσαντες ἀντιλήψεως ἱκετεύομεν, Δέσποτα, καὶ ἡμᾶς αὐτοὺς καὶ τὸν ἡμέτερον βασιλέα ταύτης μεταλαγχάνειν διηνεκῶς.

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαυίδ.

Κʹ.

Ὑπόθεσις.

Καὶ τοῦτον τὸν ψαλμὸν οἱ προδηλωθέντες ἑταῖροι τοῦ βασιλέως ἀναπέμπουσιν, ὡς ἤδη αὐτοῦ εὐφραινομένου διὰ τὸ ἐκ σπέρματος αὐτοῦ γεγεννημένον τῷ κόσμῳ σωτήριον. Τοῦτο γὰρ ἦν ὃ ἐπεθύμει κατὰ ψυχήν, καὶ ἐδέετο λαβεῖν. Ὅπερ καὶ δοθὲν γέγονεν αὐτῷ οἷά

1. Ἰω. 17, 11.

τις στέφανος ἐκ λίθου τιμίου τὴν κεφαλὴν δοξάζων· δοξάζεται γὰρ ἐν πᾶσι τοῖς ἔθνεσιν ὁ Δαυὶδ μετὰ τοῦ Κυρίου ἑαυτοῦ καὶ υἱοῦ τὸ κατὰ σάρκα. Οὐ μόνον δὲ στέφανος αὐτῷ γέγονε τὸ σωτήριον, ἀλλὰ καὶ ζωή, καὶ μακροημέρευσις, καὶ δόξα, καὶ μεγαλοπρέπεια, καὶ εὐφροσύνη, καὶ χαρά, καὶ ἐλπίς, καὶ ἔλεος οὐ σαλευόμενον.

«Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς.»

«Ὅτι δώῃς αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος.» Ἐν ἁπάσαις, φησί, ταῖς γενεαῖς ἀοίδιμος ἔσται καὶ πολυθρύλλητος, τοσαύτην ἐσχηκὼς παρὰ σοῦ παρρησίαν. Τὸ γὰρ «μετὰ τοῦ προσώπου σου, παρὰ τῷ προσώπῳ σου», τέθεικεν ὁ Σύμμαχος. Εὐφροσύνην τοίνυν ἕξει, φησί, καὶ διηνεκῆ θυμηδίαν τοῦ προσώπου, τουτέστι τῆς σῆς εὐμενείας τυγχάνων. Αἴτιον δὲ τούτων αὐτῷ γέγονε τὸ ἐπὶ σοὶ πεποιθέναι. «Εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.» Πρόσωπον τοῦ Πατρὸς ὁ Υἱός. «Ὁ ἑωρακώς», φησίν, «ἐμέ, ἑώρακε τὸν Πατέρα.[1]» Μετὰ τούτου εὐφραίνεσθαι κατ' οὐρανὸν ὡς νυμφαγωγοὶ μετὰ τοῦ νυμφίου μέλλομεν.

«Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει.» Κρείττων ἐστὶ τῶν πολεμούντων τῆς σῆς χάριτος ἀπολαύων. Ἀπολαύει δὲ ταύτης ἀνθρώπων μὲν οὐδενὶ θαρρῶν, τῇ δὲ σῇ ἐλπίδι χρώμενος μόνῃ.

«Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου.» Ὡς πρὸς αὐτὸν τὸν Κύριον ὁ λόγος διὰ τὰ γεγονότα κατ' αὐτοῦ παρὰ τοῦ Ἰουδαίων λαοῦ.

[Λέγει δέ, ὅτι θηρεύσει τοὺς ἁμαρτήσαντας. Εἰ γὰρ ἐν τῷ τηροῦντι τὰς ἐντολὰς ἡ ἀγάπη τοῦ Θεοῦ τελειοῦται, δῆλον, ὡς ὁ μὴ τηρῶν μισεῖ· ὃς καὶ ἀπολωλεκέναι λέγεται.]

«Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου.» Ἀντὶ τοῦ, Πυρὸς ἀποδείξεις μετόχους. Τοῦτο γὰρ ἑαυτοῖς ἐθησαύρισαν ἐν τῇ δευτέρᾳ σου ἐπιφανείᾳ, ὅταν καὶ ἀποδιδῷς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. «Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ.» Ὀργὴν φησιν τὴν τιμωρίαν τὴν γενησομένην αὐτοῖς διὰ τὴν εἰς αὐτὸν ὕβριν.

«Τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς.» Τοὺς λόγους τοὺς πονηροὺς καὶ τὰ ἐνθυμήματα. Ταῦτα δέ εἰσιν ἐπιβουλαὶ αἱ παρ' αὐτῶν, αἳ καὶ ἀνῄρηνται διὰ τῆς ἀναστάσεως. [Τὰς διδασκαλίας καὶ τὰ ἄθεα δόγματα, ἃ μετὰ τὴν τελευτὴν αὐτῶν, ὡς ἀγαθὸς ὁ Θεὸς ἀπωλείᾳ παραδίδωσι.] «Καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.» Εὐεργεσία ἐστὶν ἁμαρτιῶν ἐκπεσεῖν καὶ ἐννοιῶν πονηρῶν. Σπέρμα γὰρ ἁμαρτίας λογισμὸς πονηρός.

«Ὅτι θήσεις αὐτοὺς νῶτον.» Ὁ δὲ Σύμμαχος οὕτως ἡρμήνευσεν· «Ὅτι θήσεις αὐτοὺς ἀποστρόφους», τουτέστιν ὀπίσω καὶ παρακολούθημα τῶν ἐθνῶν. «Ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.» Καταλέλοιπας αὐτοῖς, φησίν, ἐπιστροφῆς καιρὸν πρὸς τὸ

1. Ἰω. 14, 9.

μετανοῆσαι. Αὕτη δέ ἐστι μετὰ τὸ πλήρωμα τῶν ἐθνῶν κλῆσις κα ἐπιστροφή.

[Ποιήσεις τοὺς ἀπιστήσαντας Ἰουδαίους. Οὓς δὲ ὁ Θεὸς ἀποστρέφεται, «τίθησι νῶτον» μὴ δυναμένους εἶναι πρόσωπον, πρὸς τὸ τὰ ὀπίσθια κατανοοῦντας διὰ τῶν ποιημάτων πάλιν πρὸς αὐτὸν ἀναφέρεσθαι. Τοὺς γὰρ μὴ οἵους τε ὁρᾶν τὸ πρόσωπον, τῷ μὴ ἔχειν καρδίαν καθαράν, τίθεται κατανοεῖν τὰ ὀπίσθια αὐτοῦ, τὰ μετ' αὐτὸν ὄντα δημιουργήματα· ἵνα τὴν κτίσιν θεωροῦντες ἔννοιαν αὐτοῦ λάβωσι, καὶ προσβαλόντες τῷ Θεῷ αὐτῶν, τὸ τοῦ Θεοῦ πρόσωπον ἴδωσι. Περίλοιπα δὲ τοῦ Θεοῦ τὰ ἀνωτέρω τῶν κτισμάτων τῶν αἰσθητῶν.

«Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου.» Ὅμοιον τῷ· «Ἐλθέτω ἡ βασιλεία σου.[1]» Τὴν δευτέραν δὲ σαφῶς παρουσίαν εὔχεται διὰ τοῦτο γενέσθαι· «Ἄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.» Τότε γὰρ πᾶσα δικαίων ψυχή, ἐν ταῖς ἄνω γενομένη μοναῖς, τὰς πνευματικὰς ἀναπέμπει λατρείας.

Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ΚΑ'.

Ὑπόθεσις.

Ἄδεται ὁ προκείμενος ψαλμὸς ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς. Τουτέστιν ὅτι νυκτὸς καὶ ἀχλύος διαβολικῆς ἠλευθέρωσεν ἡμᾶς, ἐπιλάμψας ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ἀνατολὴ ἐξ ὕψους κατὰ τὸ γεγραμμένον.[2] Ἢ καὶ ἀντίληψιν ἑωθινὴν τὸν τῆς ἀναστάσεως τοῦ Σωτῆρος ὀνομάζει καιρόν. Ἐγήγερται γὰρ ὄρθρου βαθέος, ὁδοποιήσας τῇ ἀνθρώπων φύσει τὴν εἰς ἀφθαρσίαν ὁδόν. Ἄδει δὲ τὸν ψαλμὸν ὁ Χριστὸς ἐκ προσώπου τῆς ἀνθρωπότητος. Σαφῶς δὲ καὶ τὰ συμβαίνοντα αὐτῷ παρὰ τῶν Ἰουδαίων ἐν τῷ καιρῷ τοῦ σταυροῦ ἐξηγεῖται ἡμῖν.

«Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με;» Αἰτεῖ τὴν ἐποπτείαν τὴν παρὰ τοῦ Πατρός, τὰ ἡμῶν εἰς ἑαυτὸν μετατιθεὶς ἵνα παύσῃ τὴν ἀράν, καὶ ἐφ' ἡμᾶς μεταγάγῃ τὸ πρόσωπον τοῦ Πατρός. Ἡμεῖς γάρ ἐσμεν οἱ γεγονότες ἀποστροφὴ καὶ ἐγκατάλειψις διὰ τὴν ἐν Ἀδὰμ παράβασιν. «Μακρὰν ἀπὸ τῆς σωτηρίας οἱ λόγοι τῶν παραπτωμάτων μου.» Σκόπει μοι πάλιν τὸ τῆς ἀνθρωπότητος πρόσωπον ἐν Χριστῷ παρακαλοῦν ἀπαλλάττεσθαι τῶν πταισμάτων ἤτοι τῶν παραπτωμάτων καὶ τῶν ἐπ' αὐτοῖς λόγων. Δῆλον δέ, ὅτι τῆς ἑκάστῳ πρεπούσης δικαιοσύνης.

[«Ὁ Θεός, ὁ Θεός μου.» Ταῦτα λέγει ὁ Σωτὴρ ἐκ προσώπου τῆς ἀνθρωπότητος ἀντὶ τοῦ· Θεέ μου, Θεέ μου.]

«Ὁ Θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτός,

---

1. Ματθ. 6, 10. 2. Πρβλ. Λουκ. 1, 78.

καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.» Καθ' ὑποστιγμὴν ἀναγνωστέον. Σημαίνει δὲ ἡμῖν, ὅτι οὐκ ἀνόνητος τῆς προσευχῆς ὁ καρπός. Φησὶ γάρ· «Οὐκ εἰς ἄνοιαν ἐμοί.» Τουτέστιν, οἶδα σαφῶς, ὡς κεκράξομαι μὲν ἐγώ, εἰσακούσει δὲ αὐτός. Ὅτι γε καί, κατοικῶν ἐν ἁγίοις τοῖς εἰς σὲ τὸν νοῦν ἔχουσιν, ἔπαινος καὶ δόξα αὐτῶν γίγνῃ.

«Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.» Ὁ ἐπαινούμενος ὑπὸ τοῦ Ἰσραήλ· ἢ ὁ αὐτὸς ἔπαινος ὤν.

«Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν καὶ ἐρρύσω αὐτούς.» Πατέρας ἑαυτοῦ κατὰ σάρκα τοὺς πατριάρχας καὶ τοὺς προφήτας φησί. Δείκνυσι δὲ καὶ τῆς ἐλπίδος τὸ κέρδος.

[«Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν.» Ἀλλὰ καὶ οἱ κατὰ σάρκα πρὸ ἐμοῦ, τουτέστιν οἱ προφῆται, ἐπὶ σοὶ προσεδόκων, τὴν ἐμὴν ἐπίλαμψιν ἀναμένοντες, καὶ τῆς ἐλπίδος οὐ διεψεύσθησαν· ὡσαύτως καὶ οἱ πατριάρχαι.]

Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος.» Ταπεινόφρονας εἶναι διδάσκει, καὶ μάλιστα προσιόντας Θεῷ. «Ὄνειδος ἀνθρώπων καὶ ἐξουδένωμα λαοῦ.» Ταῦτα σαφῶς ὁ εὐαγγελιστὴς πεπρᾶχθαι εἰς αὐτὸν κατὰ τὸν καιρὸν τοῦ σταυροῦ φησιν· καθ' ὃν ἐπέσειον αὐτῷ οἱ παραπορευόμενοι τὰς κεφαλάς, καὶ ἐβλασφήμουν εἰς αὐτὸν λέγοντες· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτόν.[1]»

«Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός.» Τοῦτό φησιν, ἐπειδὴ κατ' εὐδοκίαν τοῦ Πατρὸς ἐνηνθρώπησεν. «Ὅτε» γάρ, φησίν, «ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γεννώμενον ἐκ γυναικός.[2]» Ἐπιγράφεται γὰρ καὶ ἐλπίδα τὸν ἑαυτοῦ Πατέρα, καὶ τοῦτο λέγων ὡς ἄνθρωπος· ἐπειδὴ γὰρ τὸν Χριστὸν μόνοε ἐκ τῆς Μαρίας ἐξέσπασεν ὁ Θεός, τῶν ἄλλων ἀνθρώπων οὐκ ἐκσπωμένων, ἀλλ' ἐξερχομένων. «Ἐξῆλθε γάρ», φησίν, «Ἠσαῦ, ᾧ ἡ δορὰ δασύς.[3]»

«Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας ἀπὸ γαστρὸς κ.λ.π.» Εὔχεται πάλιν ὡς ἐκ προσώπου τῆς ἀνθρωπότητος. Καὶ γὰρ ὁ τῶν μαθητῶν αὐτὸν καταλέλοιπε χορός. Εἶτα προλέγει τὰ τῆς θλίψεως εἴδη.

«Περιεκύκλωσάν με μόσχοι πολλοί.» Τῶν Ἰουδαίων τοὺς ἄρχοντάς φησιν.

«Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου.» Ὀστᾶ αὐτοῦ φησι τοὺς ἁγίους μυσταγωγούς· εἰ γὰρ σῶμα αὐτοῦ ἡ Ἐκκλησία, εἰκότως καὶ οἱ συνέχοντες αὐτὴν νοηθεῖεν ἂν ὀστᾶ. Ἠκούσαμεν δὲ τοῦ εὐαγγελιστοῦ, ὡς, συλληφθέντος αὐτοῦ παρὰ τῆς σπείρας τῶν στρατιωτῶν, διεσκορπίσθησαν οἱ μαθηταί. Καὶ ἄλλως· Τὰ ὀστᾶ τῆς σοφίας, τὰ ἅγια δόγματα τῆς Ἐκκλησίας ἐστίν, ἅπερ ἐν τῷ Πάσχᾳ μὴ συντρίβειν τοῖς Ἰουδαίοις νενομοθέτηται· «Ὀστοῦν» γὰρ «αὐτοῦ», φησίν, «οὐ συντριβήσετε.[4]» «Ἐγενήθη ἡ καρδία μου

1. Μάρκ. 15, 30. 2. Γαλ. 4, 4. 3. Γεν. 25, 25. 4. Ἔξ. 12, 46.

ὡσεὶ κηρὸς τηκόμενος.» Ἴδιον λύπης τὸ εἰρημένον· γέγραπται γάρ· «Ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν.[1]» Ἐλυπεῖτο δὲ ὑπέρ τε τοῦ Ἰουδαίων ἔθνους καὶ τοῦ προδότου, ὅτι δὴ ἀπωλείᾳ παρελαμβάνοντο διὰ τὴν εἰς αὐτὸν ἀσέβειαν.

[«Καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου.» Ἐσκέδασται, φησί, καὶ διεσκορπίσθη τὰ τέως ἐν ὀστῶν τάξει τὴν περὶ τὸν διδάσκαλον συμπληροῦντα σύνταξιν· ἀφέντες γὰρ αὐτὸν οἱ μαθηταὶ ἔφυγον[2], τὸ κατὰ πεδίον ἀφιέμενον ὕδωρ μιμησάμενοι.

«Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσα κεκόλληται τῷ λάρυγγί μου.» Σημαίνει διὰ τούτων τὴν ἐπὶ τῷ τιμίῳ σταυρῷ συμβᾶσαν αὐτῷ δίψαν, ὅτε καὶ αἰτήσαντι πιεῖν, ὄξος προσήνεγκαν αὐτῷ μετὰ χολῆς. [Διὸ λέγει· «Καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου.»] «Καὶ εἰς χοῦν θανάτου κατήγαγές με.» Χάριτι γὰρ Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου. Οὐ γὰρ εἰς θάνατον, ἀλλ' εἰς χοῦν θανάτου κατήχθη ὁ Χριστός· οὐκ ἐγκατελείφθη γὰρ ἡ ψυχὴ αὐτοῦ εἰς τὸν ᾅδην, οὐδὲ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.[3]

«Ὅτι ἐκύκλωσάν με κύνες πολλοί.» Πάλιν τοὺς ἄρχοντας σημαίνει. «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου.» Διὰ τοὺς ἐν σταυρῷ ἥλους φησίν.

«Ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.» Ψηλαφῶντες κατὰ τὸ εἰκὸς ἅπαν αὐτοῦ τὸ σῶμα, καὶ ἀναμετροῦντες ἕκαστον τῶν ὀστέων, ἵνα ἴδοιεν οὗ τοὺς ἥλους πῆξαι χρή. «Αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.» Ἀντὶ τοῦ, ἐπεγέλασαν. Ταῦτα δέ φησι διὰ τὴν κοκκίνην χλαμύδα καὶ τὸν ἐξ ἀκανθῶν στέφανον, καὶ τὸν ἀντὶ σκήπτρου κάλαμον.

«Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς» Σαφῶς ταῦτα ἐν τοῖς Εὐαγγελίοις ἐγράφη.

«Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ.» Μεθίστησι τοὺς λόγους εἰς προσευχήν. [Σοῦ, φησί, βοηθοῦντος καὶ ἀντιλαμβανομένου, τριταῖος ἀναστάς, ματαίαν αὐτῶν τὴν ἐπιβουλὴν ἀποδείξω.] Ὑποτύπωσις ἡμῖν γενόμενος, ὡς δεῖ ἐν τοῖς πειρασμοῖς ἐπικαλεῖσθαι Θεόν, καὶ μὴ καταπίπτειν εἰς ἀκηδίαν, μηδὲ ἐκλύεσθαι ὑπὸ τῶν θλίψεων.

«Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου.» Τὴν κακίαν τῶν Ἰουδαίων καὶ τὴν ἄνοιαν διὰ τούτων σημαίνει διὰ ῥομφαίας καὶ χειρὸς κυνὸς καὶ λέοντος καὶ κεράτων μονοκερώτων. «Καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.» Τὰ ἐκ τούτου τοῦ κυνὸς γενόμενα χεῖρα, καὶ αὐτὸν κύνα ὀνομάζει· «Οὐ καλὸν» γάρ, φησίν, «ἐστὶ λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις.[4]»

[Ῥομφαία δὲ εἴη ἂν καὶ ὁ διάβολος, ἀεὶ τιτρώσκειν ἐπιχειρῶν.

---

1. Μάρκ. 14, 34. 2. Ματθ. 26, 56. 3. Πρβλ. Ψαλμ. 15, 10. 4. Ματθ. 15, 26.

«Μονογενῆ» δὲ λέγει αὐτοῦ τὴν ψυχήν, διὰ τὸ μεμονῶσθαι καὶ κεχωρίσθαι τῶν ἄλλων ψυχῶν· πᾶσαι μὲν γὰρ ἐκεῖναι ἔγνωσαν ἁμαρτίαν, ἐκείνη δὲ οὔ· καὶ διὰ τὸ μόνην ἀεὶ τοῦ Θεοῦ Λόγου ἕνωσιν ἔχειν καθ' ὑπόστασιν μετὰ τῆς σαρκός. Εἷς γάρ ἐστιν ὁ Χριστὸς ἐκ δύο τῶν ἐναντίων, τέλειος Θεὸς καὶ τέλειος ἄνθρωπος. Ἐκείναις δὲ ἐκ διαλειμμάτων ἐπιφοιτᾷ. Τάχα δὲ καὶ τὴν παραστᾶσαν Ἐκκλησίαν αὐτῷ λέγει μονογενῆ, διὰ τὸ μὴ ἔχειν σπῖλον ἢ ῥυτίδα ἐκ τῶν ἀμώμων συμπληρουμένην κατὰ προκοπὴν ἐκ τῶν ἑξήκοντα βασιλίδων καὶ ὀγδοήκοντα παλλακῶν.]

«Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· ἐν μέσῳ Ἐκκλησίαις ὑμνήσω σε.» Ἐδίδασκε γὰρ ἡμᾶς τὸν φύσει καὶ ἀληθείᾳ Θεὸν καὶ ὁμοούσιον αὐτοῦ Πατέρα. Πάλιν ὡς ἄνθρωπος ἥνωται διὰ τῆς Ἐκκλησίας.

«Οἱ φοβούμενοι τὸν Κύριον, αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακώβ, δοξάσατε αὐτόν.» Ἐπειδὴ γὰρ ἡ Ἐκκλησία καὶ ἐξ ἐθνῶν καὶ ἐξ Ἰουδαίων συνέστηκε, καὶ τούτους καὶ ἐκείνους εἰς τὸν ὕμνον ἐγείρει· τοὺς μὲν ἀπὸ τοῦ προπάτορος ὀνομάζων Ἰακώβ τε καὶ Ἰσραήλ, τοὺς δὲ ἀπὸ τῆς ἀρετῆς, ὡς ἀρκούσης ἀντὶ γένους κοσμῆσαι. Οὕτω καὶ Ἰουδαίους τοὺς ἐξ ἐθνῶν τῷ νόμῳ προσιόντας ἔθος ἦν ὀνομάζειν. Καὶ τοῦτο ἡμᾶς ἡ τῶν Πράξεων ἱστορία διδάσκει· δημηγορῶν γὰρ ὁ θεῖος Ἀπόστολος οὕτως ἔφη· «Ἄνδρες Ἰσραηλῖται, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Κύριον.[1]»

«Ὅτι οὐκ ἐξουδένωσεν.» Ἃ κατώρθωσεν ἡμῖν δι' ἑαυτοῦ ὁ Μονογενὴς ἐκδιδάσκει σαφῶς.

«Παρὰ σοῦ ὁ ἔπαινός μου.» Ἔπαινον τὴν δοξολογίαν φησίν· ἔστι δὲ ταύτην παρὰ τοῦ Πατρὸς γενομένην ἰδεῖν, ὅτε ἦλθε φωνὴ ἄνωθεν λέγουσα· «Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.[2]» [Ἢ ὅτι ὥσπερ ἐγώ σε δῆλον τοῖς ἀνθρώποις ἐποίησα, οὕτω καὶ σὺ πάντως τὴν αὐτήν μοι προσάγεις τιμήν, νῦν μὲν λέγων· «Οὗτός ἐστιν ὁ Υἱός μου·[3]» νῦν δὲ ἀποκαλύπτων Πέτρῳ καὶ τοῖς λοιποῖς.] «Τὰς εὐχάς μου ἀποδώσω.» Εὐχὴ ἐπαγγελία παρὰ τῇ θείᾳ ὀνομάζεται Γραφῇ. Οὐκοῦν τῆς ὑπακοῆς ἐκπλήρωσις ἡ γενομένη παρὰ τοῦ Υἱοῦ τῷ Πατρὶ μέχρι θανάτου ὡσαύτως ἂν νοηθείη, ἀποδοθείσης τῆς εὐχῆς παρ' αὐτοῦ τῷ Πατρί. [Εὐχὴ μὲν ἡ ἐπαγγελία παρὰ τῇ θείᾳ ὀνομάζεται Γραφῇ· Οὐκοῦν ἡ τῆς ὑπακοῆς ἐκπλήρωσις ἡ γενομένη παρὰ τοῦ Υἱοῦ Πατρί, καὶ τοῦτο μέχρι τοῦ θανάτου σαρκός. Ὡσαύτως ἂν νοηθείη ἀποδοθείσης τῆς εὐχῆς παρ' αὐτοῦ τῷ Πατρί.]

«Φάγονται πένητες, καὶ ἐμπλησθήσονται.» Προσαγόρευσις τῆς τῶν ἐθνῶν κλήσεως διὰ τούτων σημαίνεται.

«Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.»

1. Πράξ. 13, 16. 2. Ἰω. 12, 28. 3. Ματθ. 3, 17. 17, 5.

Βασιλεῦσαι λέγεται τῶν ἐπὶ γῆς, καίτοι βασιλεὺς πάντων ὢν καθὸ Θεός, διὰ τὸ ἐπιστρέψαι αὐτοὺς ἐκ τῶν δαιμόνων πλάνης εἰς τὴν αὐτοῦ πίστιν, καὶ εὐγνωμοσύνην καὶ δικαιοσύνην.

«Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.» Οὐ γὰρ μόνον Ἰουδαίων Θεὸς ὁ Θεός, ὡς ἐκεῖνοι νομίζουσιν, ἀλλὰ πάσης τῆς ἀνθρωπίνης φύσεως ποιητής. Τοῦτο καὶ ὁ Ἀπόστολός φησιν· «Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον; Οὐχὶ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν. Ἐπείπερ εἷς ὁ Θεός, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως.[1]»

«Ἔφαγον, καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς.» Τὴν πνευματικὴν δηλονότι τροφήν. Πίονας δὲ αὐτοὺς καλεῖ διὰ τὸ εὔτραφὲς τῶν θείων λογίων. «Ἐνώπιον αὐτοῦ πεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν.» Τοῦτό φησι, διὰ τὸ κλίνειν αὐτῷ γόνυ τοὺς πιστεύοντας. Οὗτοι δὲ οἱ πιστεύσαντες πάλαι ἦσαν. «Οἱ καταβαίνοντες εἰς τὴν γῆν·» τουτέστιν οἱ πεσόντες εἰς ὄλεθρον καὶ φθοράν, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον.

«Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ.» Ἁγία γὰρ καὶ ἄμωμος ἡ Χριστοῦ γέγονε ζωή, ἣν πεποίηται μετὰ σαρκὸς ἐπὶ γῆς. Μόνος γὰρ αὐτὸς οὐκ ἐποίησεν ἁμαρτίαν, καίτοι καθ' ἡμᾶς γεγονώς, καὶ σάρκα λαβὼν τὴν φιλαμαρτήμονα. Σπέρμα δὲ Θεοῦ νοηθεῖεν ἂν οἱ δι' αὐτοῦ κεκλημένοι διὰ τῆς πίστεως. «Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη.» Καὶ ταῦτα περὶ τῶν ἐθνῶν σημαίνει.

«Λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.» Ὅμοιον τό, «Οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, ἀλλὰ ἐκ θεοῦ ἐγεννήθησαν.[2]»

ΨΑΛΜΟΣ τῷ Δαυΐδ.
ΚΒ'.
Ὑπόθεσις.

Ἄδεται ὁ προκείμενος ψαλμὸς ἐκ προσώπου τῶν ἐθνῶν ἀγαλλομένων ἐπὶ τὸ ποιμᾶναι αὐτοὺς τὸν Κύριον. Καὶ μὴν καὶ μυστικὴν ἐξηγοῦνται εὐωχίαν, ἣν παρέθηκεν αὐτοῖς αὐτὸς ὁ ποιμαίνων αὐτούς.

«Κύριος ποιμαίνει με. Μέγα ἐπὶ τῷ Κυρίῳ φρονοῦσιν οἱ παρ' αὐτοῦ ποιμαινόμενοι.

«Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.» Ἐν ὡραιότητι πόας κατεσκήνωσέ με, τὴν νοητὴν πόαν φησίν. «Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.» Ὕδωρ ἀναπαύσεως νοηθείη ἂν τὸ τοῦ ἁγίου βαπτίσματος, ἅτε δὴ τὸ φορτίον ἐξαλεῖφον τῶν ἁμαρτιῶν.

[Ταῦτα παρέσχε μοι, φησί, πρότερον τῆς ψυχῆς ἐπιμεληθείς, καὶ ἐκ τῆς ἀνοδίας ἐπιστρέψας πρὸς τὸ τὴν εὐθεῖαν ὁδὸν ὁδεύειν.]

---

1. Ῥωμ. 3, 29-30. 2. Ἰω. 1, 13.

«Τὴν ψυχήν μου ἐπέστρεψεν.» Ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου ἐπιστρέψας πρὸς ἑαυτὸν τὴν ψυχήν μου, ὡδήγησεν ἐπὶ τὰς ἐντολὰς αὐτοῦ ἐκ θανάτου εἰς ζωήν. [Ὡς παρεκλείπων πάλαι τὴν ἰδίαν ψυχήν, διὰ τῆς εἰρημένης τροφῆς ἀναλαβὼν ἑαυτόν, καὶ ἐπιστρέφων ἐκ θανάτου, φησί· «Τὴν ψυχήν μου ἐπέστρεψε ἐπὶ τρίβους δικαιοσύνης·» τὰ εὐαγγελικά φησι δόγματα. «Ἐὰν παρευθῶ ἐν μέσῳ σκιᾶς θανάτου», ὡς πρὸς τὸν Πατέρα. Αὐτὸν δὲ τὸν Χριστόν φησι ῥάβδον δυνάμεως, καὶ ῥάβδον εὐκλεῆ, καὶ ῥάβδον μεγαλότητος. Ὥσπερ ῥάβδος παιδεύει, οὕτω καὶ πρακτικὴ μετριοπαθεῖν ἐκδικάσκει.] Τὰ εὐαγγελικά φησι δόγματα.

«Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐτά με παρεκάλεσαν.» Αὐτὸν τὸν Χριστόν φησιν. Καὶ τὸ «Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.[1]» Καὶ «ῥάβδος εὐκλεής, καὶ ῥάβδος μεγαλώτατος.[2]» Ῥάβδος ἡ παιδευτικὴ δύναμις· βακτηρία δὲ ἡ διὰ τῆς παρακλήσεως ἀντίληψις.

«Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου.» Καὶ τοῦτο τὸ χρίσμα τὸ μυστικόν. «Καὶ τὸ ποτήριόν σου μεθύσκον με.» Πάλιν τὴν μυστικὴν εὐφροσύνην φησίν. «Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας.» Οἱ γὰρ τῶν προλεχθέντων ἁπάντων μεταλαβόντες ἔσονται διαπαντὸς ἐν τῷ ἐλέει τοῦ Θεοῦ· καὶ μὴν καὶ κατοικήσουσιν ἐν τῷ οἴκῳ αὐτοῦ.

[«Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν.» Τράπεζαν τὴν μυστικὴν λέγει, καὶ τὸ ἔλαιον τὸ χρίσμα μυστικόν, καὶ τὸ ποτήριον λέγει.]

Εἰς τὸ τέλος ΨΑΛΜΟΣ τῷ Δαυὶδ τῇ μιᾷ τῶν Σαββάτων.
ΚΓ΄.
Ὑπόθεσις.

Τὴν ἀνάληψιν τοῦ Κυρίου ὁ παρὼν ἡμῖν κηρύττει ψαλμὸς καὶ τῶν ἐθνῶν διδασκαλίαν· πῶς ἂν καὶ αὐτοὶ ἄξιοι γένωνται τῶν ἐπουρανίων σκηνῶν.

«Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.» Τὴν βασιλείαν ἣν ἐβασίλευσε τῶν ἐθνῶν ἐπιδημήσας ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, διὰ τῶν παρόντων κηρύττει.

«Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν.» Ἵνα μή τις τῶν ἐχθρῶν δόξῃ εἶναι μὲν τὴν γῆν τοῦ Σατανᾶ, νυνὶ δὲ αὐτῆς βασιλεῦσαι τὸν Χριστόν, τούτου χάριν τὸν Χριστὸν αὐτῆς ποιητὴν ἀποδείκνυσιν, ἅμα δὲ καὶ τὴν δύναμιν αὐτοῦ δηλοῖ, ὥστε τοσοῦτον μέγεθος τῆς γῆς ἐπὶ ὑδάτων στηριχθῆναι. «Καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.» Ἀντὶ τοῦ, διεκόσμησεν.

[Τότε γὰρ ἕδραν ἡ Ἐκκλησία λαμβάνει, ὅταν τρικυμιῶν προσβαλουσῶν, ἄσειστος διαμείνῃ κατὰ τὴν πίστιν, «Καὶ ἐπὶ ποταμῶν·»

---

1. Ψαλμ. 109, 2. 2. Ἰερ. 31, 17.

ὥστε καὶ ποταμοὺς τὰς διεξόδους ἀκωλύτως ποιεῖσθαι, ὄρη τε καὶ ἄλση ζωῆς ἀπονέμεσθαι, χώρας καὶ πεδιάδας εἰς οἰκίας καὶ γεωργίας ἀνθρώποις ἀφωρίσθαι.]

«Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου;» Μετὰ τὸ ἐκθέσθαι τὴν πίστιν, καὶ ἔργων διδασκαλίας ἐξηγεῖται, ἵνα δι' ἀμφοτέρων τῆς ὄντως κληρονομίας ἐπιτύχωμεν οἱ ἀκούοντες.

«Ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ.» Περὶ τούτου εἴρηται ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ψαλμῷ. «Ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ.» Mαταίωσιν τὴν ὑψηλοφροσύνην φησί. «Καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

«Οὗτος λήψεται εὐλογίαν.» Τὸν τοιοῦτον γενόμενον ἀθῷον χερσὶ καὶ καθαρὸν τῇ καρδίᾳ, καὶ ἐπὶ δόλῳ μὴ ὀμωμοκότα, ὑπισχνεῖται τὰς παρὰ Θεοῦ ληψόμενον δωρεάς, ἤτοι εὐλογίαν καὶ ἔλεος.

«Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον.» Ἡ τὰ προειρημένα φυλάξασα γενεά φησιν.

«Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν.» Οἱ διακονοῦντες τῷ Σωτῆρι ἐπὶ γῆς ἄγγελοι, ἀναλαμβανομένου αὐτοῦ, ταῖς οὐρανίαις δυνάμεσι δηλοῦσιν ἀνοίγειν τὰς πύλας.

[«Κύριος κραταιὸς καὶ δυνατός.» Ξενίζονται δὲ αἱ δυνάμεις, ὁρῶσαι μετὰ σαρκὸς αὐτὸν ἐμψυχωμένης ψυχῆς νοερᾶς· διὸ καὶ πυνθάνονται.]

«Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;» Ἐρωτῶσιν αἱ ἄνω δυνάμεις, τὸ παράδοξον τῆς οἰκονομίας ἐκπληττόμεναι. «Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.» Μυσταγωγοῦσι τοὺς ἄνω οἱ σὺν αὐτῷ ἀνελθόντες ἄγγελοι τὸ μυστήριον, ὅτι ὁ καταπατήσας τοὺς ἐχθροὺς τοὺς νοητοὺς δηλονότι, αὐτός ἐστιν ὁ τῶν δυνάμεων Κύριος.

ΨΑΛΜΟΣ τῷ Δαυίδ.
ΚΔ'.
Ὑπόθεσις.

Ἐν τῷ προκειμένῳ ψαλμῷ τὸ ἑκάστου τῶν κεκλημένων εἰσφέρεται πρόσωπον· ἤγουν αὐτῶν τῶν συνειλεγμένων εἰς τὴν πνευματικὴν ἀπευθύνεσθαι ζωήν. Ἐν καιρῷ δὲ μαρτυρίου λεκτέον τούτους τοὺς λόγους.

«Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου.» Ὡς ἀποστραφέντες ἤδη τῆς εἰδωλολατρείας φασίν.

«Μηδὲ καταγελασάτωσάν μου οἱ ἐχθροί.» Οἱ νοητοὶ δηλονότι.

Ἐχθρὸς δὲ ὁ διάβολος μετὰ δαιμονίων καὶ τῶν ἀσεβούντων ἀνθρώπων. Ἴσως δὲ καὶ προορᾷ τοῦ Σωτῆρος τὴν ἐνανθρώπησιν, μεθ' ἣν καὶ τῶν ἐχθρῶν πέπαυται λόγος [γέλως].

[Ἐγενήθην τοῖς ἀνόμοις ὡς ἄνομος. Αὕτη γὰρ ἡ ἀνομία οὐ διακενῆς ἐγένετο.]

«Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν.» Ἀπὸ τῶν ἤδη πεποιθότων ἐπὶ Θεῷ καὶ γενομένων λαμπρῶν, διὰ τὸ τὴν πεποίθησιν ἔχειν τῆς εὐχῆς ἐπιτεύξασθαι, διισχυρίζεται. «Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.» Ταῦτα περὶ τῶν ἤδη κατεχομένων ἐν εἰδωλολατρείᾳ φασίν.

[«Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες», ἀπὸ τῶν ἤδη πεποιθότων ἐπὶ Θεῷ καὶ γενομένων λαμπρῶν, διὰ τὸ τὴν πεποίθησιν ἔχειν τῆς εὐχῆς ἐπιτεύξασθαι. Ἰσχυρίζονται οἱ ἀνομοῦντες «διακενῆς.» Ταῦτα περὶ τῶν ἔτι κατεχομένων ἐν εἰδωλολατρείᾳ.]

«Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι.» Τὰ εὐαγγελικὰ δόγματά φασιν.

«Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειαν.» Ὡς μηδὲ φθάσας ἐπὶ τὴν ἀλήθειαν ταῦτά φησιν. «Καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ μου.» Τοῦ προφήτου, μηδέπω ἐγνωκότος τὰς ὁδοὺς Κυρίου, μηδὲ διδαχθέντος πορεύεσθαι τρίβους αὐτοῦ, καὶ ὡς μηδέπω ὁδηγηθέντος ἐπὶ τὴν ἀλήθειαν τοῦ Θεοῦ, μηδὲ διδαχθέντος περὶ Θεοῦ ὡς Σωτῆρος, οὕτως εὐχομένου, τίς οὐκ εὐλαβηθήσεται τό, «Οὐαὶ οἱ σοφοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες; [1]»

«Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς.» Νεότητα τὴν ἀφροσύνην φησίν. Ἀφροσύνη δὲ σαφὴς ὁ τῆς εἰδωλολατρείας αὐτῶν καιρός. Καὶ ἄλλως ἁμαρτίας τοῦ λαοῦ τὰς ἐν Αἰγύπτῳ· καὶ γὰρ εἰδωλολάτρευσαν ἐκεῖ. Μὴ οὖν ἐκείνων τῶν ἁμαρτημάτων νῦν μνησθῇς, ἀλλὰ τῆς φιλανθρωπίας, δι' ἧς καὶ τότε ἀγνοοῦντας ἐφιλανθρωπεύσω καὶ ἠλέησας. «Ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.» Οὐ γὰρ διὰ τὴν ἐμὴν ἀξίαν, ἀλλὰ διὰ τὴν σὴν φιλανθρωπίαν τούτου τυχεῖν ἱκετεύω.

«Διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.» Φωτίσει ἁμαρτωλούς· ὑποδείξει ἁμαρτάνουσιν ὁδόν.

«Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθειαι.» Οἱ γὰρ διηνεκῶς τοῖς θείοις ἐντρεφόμενοι λόγοις μανθάνουσιν ἀκριβῶς δι' ἐκείνων, ὡς πᾶσαι τοῦ Σωτῆρος Χριστοῦ Θεοῦ ἡμῶν οἰκονομίαι ἐλέῳ καὶ ἀληθείᾳ συγκέκρανται· τοῖς γὰρ μεταμελομένοις ἐφ' οἷς ἐπλημμέλησαν τὸν ἔλεον καὶ τὴν συγγνώμην ὀρέγει· τοὺς δὲ ἀηττήτους τῆς ἀρετῆς ἀθλητὰς ἀνακηρύττει καὶ στεφανοῖ σὺν ἀληθείᾳ τὴν ψῆφον ἐκφέρων· καὶ μέντοι καὶ τοῖς παρανομίᾳ συνεζηκόσι, καὶ μεταμελείᾳ μὴ χρησαμένοις κατὰ τοὺς τῆς ἀληθείας ὅρους ἐπιφέρει τὰς τιμωρίας.

[«Καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.» Αἱ πράξεις, φησίν, αἱ γενόμεναι πρόξενοι αὐτῷ τοῦ κληρονομῆσαι τὴν νοητὴν γῆν· γενήσονταί γε σπέρμα τῶν ἀγαθῶν ἀνδρῶν, δι' ὧν τοὺς κατὰ Θεὸν γεννωμένους φησίν.

«Ἐπίβλεψον ἐπ' ἐμέ.» Δεῖ γὰρ μὴ ὑπτίους εἶναι καὶ ἀναπεπτω-

1. Ἡσ. 5, 21.

κότας, θαρροῦντας τῷ ἐλέει τοῦ Θεοῦ, ἀλλὰ καὶ ἡμᾶς εἰσφέρειν τὸν διὰ τῶν ἔργων πόνον.]

«Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν· καὶ διαθήκη αὐτοῦ δηλώσει αὐτούς.» Ἡ εὐαγγελική. Τί δὲ δηλώσει; ἢ τὴν σωτηρίας ὁδόν. Πᾶσα γάρ, φησί, νομοθεσία τοῦ Θεοῦ πρὸς τοῦτο βλέπει, πρὸς τὸ ἐν ἀπολαύσει τοὺς ἀγαθοὺς ποιεῖν ὧν προείλοντο. Τοῦτο γὰρ λέγει· «Δηλώσει αὐτοῖς», ἀντὶ τοῦ, ἐν ἀπολαύσει αὐτοὺς καταστήσει ὧν προείλαντο.

«Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν.» Πολλοῖς, φησίν, ἀλγεινοῖς πανταχόθεν περιστοιχίζομαι. Ταύτην μου τοίνυν τὴν ταπείνωσιν καὶ τὴν ταλαιπωρίαν ταῖς ἐμαῖς ἀντιταλαντεύσας παρανομίαις, δὸς τὴν ἄφεσιν, καὶ τὴν συγγνώμην πάρασχε. «Ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με·» ἐκ τῶν συνεχῶν μου.

«Ἴδε τὴνταπείνωσίν μου καὶ τὸν κόπον μου.» Δεῖ γὰρ μὴ ὑπτίους εἶναι καὶ ἀναπεπτωκότας, θαρροῦντας τῷ ἐλέει τοῦ Θεοῦ· ἀλλὰ γὰρ εἰσφέρειν τὸν διὰ τῶν ἔργων πόνον.

«Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν.» Καὶ ἀπὸ τῆς ἀδικίας τῶν ἐχθρῶν εἰς ἔλεον ἐκκαλεῖται τὸν Θεόν.

«Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι.» Καὶ τοῦτο ἴδιον ἀρετῆς, τὸ μισεῖν μὲν τῶν φαύλων τὰς συνουσίας, τοὺς δὲ τὴν ἰσότητα τιμῶντας καὶ εὐθύτητι χρωμένους συνήθεις ἔχειν καὶ φίλους· τοῦτο γὰρ καὶ ὁ προφήτης ἔφη πεποιηκέναι, ἅτε δὴ θεραπεύειν τοῦτο τὸν Δεσπότην ἡγούμενος.

Εἰς τὸ τέλος ΨΑΛΜΟΣ τῷ Δαυίδ.
ΚΕ΄.
Ὑπόθεσις.

Τῶν πεπιστευκότων εἰς Χριστὸν εἰσφέρεται τὸ πρόσωπον ἀρνουμένων καὶ διισχυριζομένων ἐπὶ τῇ καταστάσει τῆς κοινωνίας τῶν Ἰουδαίων τῶν συνεληλυθότων κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

«Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην.» Ἀκακίαν καλεῖ τὸ μὴ μετασχεῖν τῆς φαυλότητος καὶ τῆς ἀπονοίας τῶν Ἰουδαίων. «Καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω.» Βεβαίαν, φησίν, ἕξω τὴν στάσιν εἰς σὲ τὰς ἐλπίδας τῆς σωτηρίας ἀπογραψάμενος.

«Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με.» Εἰ ἐξετάσῃς τῆς ψυχῆς μου τὰ βάθη, φησίν, ἐπὶ τῷ σῷ μόνῳ εὑρήσεις ἐλέει πάντα μου τῆς διανοίας τὸν πόνον ἐπανέχοντα. Τοῦτο δὲ ποιῶν εὐάρεστος ἔσομαι παρὰ σοὶ τὴν σὴν ἀγαπήσας ἀλήθειαν.

«Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος.» Σαφῶς ἐπὶ τοῦ εἰδότος τὰς καρδίας ἐτάζειν τὸ τῶν παρανομωτάτων ἀρχόντων τοῦ Ἰουδαίων ἔθνους ἀρνεῖται συνέδριον.

«Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου.» Καθαρὸς ἔσομαι, φησί,

τῶν μιαιφόνων αὐτῶν πράξεων. «Καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε.» Σαφῶς ἐν τούτοις τὴν λογικὴν ἀνακηρύττει λατρείαν.

«Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου. [Ποθῶ, φησί, τὸν θεῖον οἶκον ἰδεῖν, τὸν τὴν σὴν ἀποστίλβοντα χάριν.] Εὐπρέπεια τοῦ οἴκου οἱ διαπρέποντες ἐν τῇ Ἐκκλησίᾳ διὰ θεοσεβείας.

«Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου.» Ἔξω τῆς κολάσεως γενέσθαι εὔχεται τῆς ἀποκειμένης τοῖς Ἰουδαίοις.

«Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.» Ἢ ὡς καὶ αὐτῶν δώροις παρακρινόντων τὸ δίκαιον, ἢ διὰ τὸ δώροις τὸν προδότην ἐξωνήσασθαι· ἢ ἐπειδὴ ἡρπάζοντο ἀνομίαν· διὰ τοῦτο τὴν δεξιὰν αὐτῶν ἐπλήρουν δώρων.

ΨΑΛΜΟΣ τοῦ Δαυὶδ πρὸ τοῦ χρισθῆναι.

ΚϚ΄.

Ὑπόθεσις.

Περιέχει ὁ ψαλμὸς κατήχησιν κατ᾽ ἐχθρῶν, ἀφ᾽ ὧν ἤδη ἐδέξατο παρὰ Θεοῦ γινωσκομένην, καὶ αἴτησιν δευτέρων ἀγαθῶν μετ᾽ ἐξομολογήσεως. Τὸ δέ, «πρὸ τοῦ χρισθῆναι», ἐκεῖνο σημαίνει, ὅτι, τῷ Πνεύματι τῷ θείῳ προεωρακώς, ὡς χρισθήσεται μὲν εἰς βασιλέα, περιπέσει δὲ τοῖς πειρασμοῖς, ἀνδρείᾳ περιζωσάμενος τὴν ὀσφὺν εὖ μάλα περὶ τοὺς κινδύνους ἀντισοῦσθαι διαβεβαιοῦται.

«Κύριος φωτισμός μου καὶ Σωτήρ μου, τίνα φοβηθήσομαι;» Κατευμεγεθεῖ τῶν ἀντικειμένων δυνάμεων τῷ φωτὶ τοῦ Κυρίου θαρρήσας. Ὑπὸ σοῦ, φησί, φωτιζόμενος πάντων ὁμοῦ τῶν πολεμούντων καταφρονῶ.

«Ἐν τῷ ἐγγίζειν ἐπ᾽ ἐμὲ κακοῦντας.» Προσῆλθον μέν, φησί, διαφθεῖραι θέλοντες, πεπόνθασι δὲ ὃ δρᾶσαι ἤλπισαν.

«Τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου.» Καὶ γὰρ ἁγιοπρεπὴς ἡ αἴτησις γέγονε, καὶ Θεῷ δοῦναι ἀξία. «Τῷ θεωρεῖν με τὴν τερπνότητα Κυρίου.» Ἐν ταύτῃ, φησίν, εὔχομαι διαπαντὸς οἰκεῖν, ἐν ᾗ καὶ τῆς σωτηρίας ἐπέτυχον.

«Ἐν πέτρᾳ ὕψωσέν με.» Σαφῶς ὁ Παῦλος τὴν πέτραν εἶναι τὸν Χριστὸν διισχυρίζεται.[1] «Ἄσω καὶ ψαλῶ τῷ Κυρίῳ.» Σαφῶς τὴν τοῦ, Ἅγιος, ἅγιος ἅγιος[2], ἀνακηρύττει λατρείαν.

«Εσάκουσον, Κύριε, τῆς φωνῆς μου.» Ἀντὶ τοῦ, Εὐχαριστῶ σοι ὑπὲρ τῶν παρεληλυθότων, δεηθήσομαι δὲ ὑπὲρ τῶν ἑξῆς.

«Νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου.» Τὸν εὐαγγελικὸν νόμον εὔχεται γυμνωθῆναι αὐτῷ· αὐτὸς δὲ γὰρ ἦν καὶ ἡ εὐθεῖα ὁδός.

«Καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.» Τουτέστιν ἠσθένησεν ἡ καθ᾽ ἡμῶν ἀδικία.

---

1. Πρβλ. Α΄ Κορ. 10, 4. 2. Πρβλ. Ἡσ. 6, 3.

«Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.» Τὴν ἄνω Ἱερουσαλὴμ φησιν.

ΨΑΛΜΟΣ τῷ Δαυίδ.
ΚΖ'.
Ὑπόθεσις.

Ἄδει τὸν παρόντα ψαλμὸν ἐκ προσώπου τῶν πιστευσάντων εἰς Χριστόν, διὰ δεήσεως εἰς ἐπικουρίαν καλῶν τὸν Θεόν· ἅμα δὲ καὶ τῆς Ἰουδαίων ἀπονοίας κατάρασιν ἔχει καὶ εὐχὴν τοῦ χωρισθῆναι τῆς χείρονος ἐκείνων μερίδος.

«Πρὸς σέ, Κύριε, κεκράξομαι... καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.» Ἔθος τῇ θείᾳ Γραφῇ λάκκον ὀνομάζειν τὸν ᾅδην.

«Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν.» Ἁμαρτωλοὺς τὸ τῶν Ἰουδαίων ἔθνος φησί, κατὰ τὸ εἰρημένον αὐτοῖς ὑπὸ τοῦ Σωτῆρος· «Ἐὰν μὴ πιστεύσητε, ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε.[1]» Αὐτοὶ δὲ καὶ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι τὸν ἀθῷον καὶ δίκαιον ἀπέκτειναν, ὃν οὐκ ἀποκτεῖναι ὁ νόμος ἐκέλευσεν. «Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν.» Τοῦτό φησιν, ὅτι, διδάσκαλον καὶ ἀγαθὸν ἀποκαλοῦντες τὸν Σωτῆρα, κακὰ διελογίζοντο κατ' αὐτοῦ.

«Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου.» Ἀντὶ τοῦ, Οὐκ ἠθέλησαν, φησί, τὴν οἰκείαν παραδέξασθαι σωτηρίαν.

«Καὶ ἀνέθαλεν ἡ σάρξ μου.» Σαφῶς τὴν ἀνάστασιν ἐν τούτοις κηρύττει.

«Καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ.» Χριστὸν ἐνταῦθα τὸν χρισθέντα λαὸν εἰς βασίλειον ἱεράτευμά φησιν. Αὐτὸς οὖν, φησίν, ὁ Κύριος ὑπερασπίζει εἰς τὸ σῶσαι τὸν χρισθέντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν λαόν.

«Καὶ ποίμανον αὐτούς, καὶ ἔπαρον ἕως τοῦ αἰῶνος.» Αὐτὸς γὰρ ἡμᾶς ποιμανεῖ, πέμψας ἡμῖν ἀντ' αὐτοῦ καὶ ὡς ἑαυτὸν τὸν Παράκλητον. Καὶ μὴν καὶ ἐπαίρει, τουτέστιν ὑψηλοὺς ἀποφαίνει εἰς τοὺς μέλλοντας καὶ ἀτελευτήτους αἰῶνας.

ΨΑΛΜΟΣ τῷ Δαυὶδ ἐξόδου Σκηνῆς.
ΚΗ'.
Ὑπόθεσις.

Ὁ παρὼν ᾄδεται ψαλμός, ἐκβαλλομένων μὲν τῶν ἐξ Ἰσραήλ, ἀντεισαγομένων δὲ τῶν ἐθνῶν. Τοῦτο δὲ δηλοῖ καὶ ἡ ἐπιγραφὴ ἡ λέγουσα, ***Ἐξόδου Σκηνῆς,*** σαφῶς τὴν ἔξοδον αὐτῶν ἡμῖν κατασημαίνουσα.

«Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ.» Υἱοὺς Θεοῦ τοὺς ἁγίους

1. Ἰω. 8, 24.

ἀποστόλους καλεῖ, ἐδίδαξε γὰρ αὐτοὺς λέγειν· «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.[1] Ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν.» Υἱοὺς κριῶν τοὺς κληθέντας δι' αὐτῶν ἐκ τοῦ Ἰουδαίων ἔθνους εἰς τὴν πίστιν τὴν ἐν Κυρίῳ σημαίνει· ἢ καὶ τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, ἅτε δὴ φύντας ἐξ ἀλόγων πατέρων. «Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.» Δόξαν μὲν φέρει τις τῷ Κυρίῳ ἀγαθοεργῶν, κατὰ τὸ εἰρημένον· «Ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν.[2]» Τιμὴν δὲ πάλιν, ἀγαθὰς ἐπιτηδεύων πράξεις, κατὰ τὸ εἰρημένον· «Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων.[3]»

«Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.» Σαφῶς διὰ τούτων ἡμῖν παρακελεύεται, ὡς ἔξω τῆς ἐκλησίας οὐ δεῖ προσκυνεῖν. Τοῦτο δέ φησι διὰ τὰς τῶν ἑτεροδόξων συναγωγάς. [Προσκύνησις δὲ οὐ χρὴ ἔξω τῆς ἐκκλησίας, ἀλλ' ἐν αὐτῇ τῇ αὐλῇ τοῦ Θεοῦ τελουμένη. Μή μοι, φησίν, ἰδίας αὐλὰς καὶ συναγωγὰς ἐπινοεῖτε· μία ἐστὶν αὐλὴ ἡ ἁγία Θεοῦ.] Δυνατὸν δὲ αὐλὴν ἐπαναβεβηκότας νοῆσαι τὴν ἐπουράνιον διαγωγήν.

«Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.» Ὕδατά φησι τῶν διὰ τούτων σῳζομένων τὰ πλήθη. Ὕδατα οἱ ἅγιοι, διόπερ ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτῶν·[4] τουτέστι πνευματικὴ διδασκαλία, δι' ἧς ἄρδουσι τοὺς ἀκούοντας. Ἐπὶ τῶν τοιούτων οὖν ὑδάτων ὁ Κύριος. Ἀλλὰ καθ' ἱστορίαν Ἠλίας μετὰ τὴν ἀβροχίαν ἤκουε φωνὴν ὑδάτων πολλῶν. Τὴν γενομένην φησὶν ἐν τῷ Ἰορδάνῃ τοῦ Θεοῦ καὶ Πατρός, καὶ λέγουσαν· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός[5]», ἣν καὶ βροντῇ παρεικάζει.

«Φωνὴ Κυρίου συντρίβοντος κέδρους.» Κέδρους ἐν τούτοις τὰς ἀντικειμένας δυνάμεις φησίν. «Καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου.» Κέδρους Λιβάνου τοὺς ὑψηλοὺς τοῦ Ἰουδαίων λαοῦ φησιν, διὰ τὸ ὠνομάσθαι πολλάκις ἐν τῇ θείᾳ Γραφῇ Λίβανον τὴν Ἱερουσαλήμ.

«Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον.» Ὁ μόσχος τὸ θυσιαστήριον δηλοῖ. «Καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.» Ὁ ἠγαπημένος, φησί, τῶν ἀποστόλων χορὸς υἱὸς γέγονε μονοκερώτων. Μονοκέρωτες δὲ οἱ ἅγιοι προφῆται καὶ πατριάρχαι, ὧν υἱοὶ οἱ ἅγιοι ἀπόστολοι· διὰ τὸ ἐπὶ μόνῳ Θεῷ τὸ κέρας καὶ τὴν ἰσχὺν ἔχειν.

«Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός.» Αὐτὴν τὴν ἐπαγγελίαν σημαίνει, ἣν τοῖς ἁγίοις ἐπηγγείλατο λέγων· «Καὶ ἐὰν ἐν μέσῳ πυρὸς διέλθῃς, πῦρ οὐ κατακαύσει σε.[6]»

«Φωνὴ Κυρίου συσσείοντος ἔρημον.» Τό, «συσσείων» ἐνταῦθα εἴρηται ἐπὶ τοῦ ἐξακούστου πάλιν, ὡς τό, «Εἰσελθόντος τοῦ Ἰησοῦ, ἐσείσθη πᾶσα ἡ πόλις.[7]» Ἔρημον δὲ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν λέγει,

1. Ματθ. 6, 9. 2. Ματθ. 5, 16. 3. Παρμ. 3, 9. 4. Πρβλ. Ἰω. 7, 38. 5. Ματθ. 3, 17. 6. Ἡσ. 43, 2. 7. Ματθ. 21, 10.

τὴν πάλαι ἔρημον οὖσαν τῆς τοῦ Θεοῦ γνώσεως. «Καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης.» Κάδης «ἁγία» ἑρμηνεύεται. Ἁγία δὲ ἡ Χριστοῦ Ἐκκλησία νοεῖται.

«Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς.» Ἔλαφοι μὲν οἱ ἅγιοι· «καταρτιζομένη» δὲ ἀντὶ τοῦ, εὐτρεπίζοντος. Αὐτὸς γὰρ τοὺς ἁγίους ἀποστόλους εὐτρεπίσας ἐξέπεμψε, κατὰ τό, «Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη.[1]» «Δρυμοὺς» τὴν Ἐκκλησίαν ἀποκαλεῖ, διὰ τὸ πάλαι ξύλων ἀκάρπων εἶναι μητέρα.

[«Καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.» Ὁ Κύριος, τοὺς ἁγίους ἀποστόλους εὐτρεπίσας ἐξέπεμψεν, ὥστε τοὺς δαίμονας ἀποσοβῆσαι, καὶ τὰ ἔθνη εἰς ἐπίγνωσιν Θεοῦ ἀγαγεῖν.]

«Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ.» Κατακλυσμὸν τὸ πλῆθος τῶν πιστευσάντων λέγει κατὰ τὸ εἰρημένον, ὅτι «Ἡ σύμπασα γῆ ἐνεπλήσθη τοῦ γνῶναι τὸν Κύριον[2]», ὡς ὕδωρ πολὺ κατακαλύψαι θάλασσαν. «Καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα·» ὅμοιον τῷ, «Ὅτι αὐτῷ κάμψει πᾶν γόνυ.[3]»

«Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.» Ὅμοιον τῷ· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.[4] Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.» Ὅμοιον τῷ, «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.[5]»

ΨΑΛΜΟΣ ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου εἰς τὸ τέλος τῷ Δαυίδ. ΚΘ'.

Ἐγκαινισμὸς τοῦ οἴκου ἐστίν, ἤτοι τῆς Ἐκκλησίας, ἢ ὅτε τοῦ ἔξω ἀνθρώπου ἡμῶν φθειρομένου ὁ ἔσω ἀνακαινοῦται.

Ὑπόθεσις.

Τοῦτον ᾄδει τὸν ψαλμὸν μετὰ τὸ ῥυσθῆναι τῆς ἁμαρτίας, ὥσπερ ἀνακαινισθείσης αὐτοῦ τῆς ψυχῆς διὰ τῆς μετανοίας, ἢ καὶ οἶκος πάλαι ἦν τοῦ ἁγίου Πνεύματος. Ψάλλει δὲ καὶ ὑπὲρ τῆς ἀφέσεως, εὐχαριστίας ἀνατιθείς, καὶ περὶ τῶν μελλόντων ἀσφαλῆ μένειν ἑαυτὸν εὐχόμενος, καὶ τοῖς ἄλλοις παρέχων διδασκαλίαν, εἴ ποτε ἄρα τι τοιοῦτον συμβῇ, εὐχὰς ἐπὶ τὸν Θεὸν ἀνατείνειν.

«Ὑψώσω σε, Κύριε, ὅτι ἐπέλαβές με...»

«Ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.» Λάκκον τὸν ᾅδην φησίν.

«Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.» Προσήκει, φησίν, ἐπιτείνειν τοὺς ὕμνους, μεμνημένους τῆς τοῦ Θεοῦ φιλανθρωπίας.

«Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ.» Οὐκ αὐτοῦ τοῦτο βουλομένου

1. Ματθ. 28, 19. 2. Πρβλ. Ψαλμ. 103, 24. 3. Ἡσ. 45, 23. 4. Φιλιπ. 4, 13. 5. Ἰω. 14, 27.

ποιεῖν· ἀλλ' ἑκάστῳ διὰ τῆς ἁμαρτίας ἑαυτῷ ταύτην ἐπεισάγοντος. Τὸ γὰρ αὐτοῦ θέλημα ζωή ἐστιν. «Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός.» Τὸ εὐκατόρθωτον τῆς μετανοίας διὰ τούτων σημαίνεται. Οὐδὲν γὰρ τοσοῦτον πλῆθος ἁμαρτιῶν, ὃ μὴ ταχέως ἡ μετάνοια εἰς ἀγαλλίασιν ἐκφέρει.

«Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.» Τὸ αἴτιον λέγει τῆς πτώσεως. Ἐπειδὴ μέγα, φησίν, ἐν τῇ εὐημερίᾳ πεφρόνηκα, τούτου χάριν τετάραγμαι. Γέγονε δέ μοι τοῦτο, οὐ σοῦ με προσωθήσαντος, ἀλλὰ ἀποστρέψαντος μόνον τὸ πρόσωπον. Ἐπειδὴ τοίνυν ἄνευ τῆς ἰσχύος τῆς σῆς οὐδὲ στῆναι δυνάμεθα, τὸ σὸν πάλιν ἐπιτελῶν θέλημα, τὸ κάλλος μου τῆς ψυχῆς διαλάμπειν παρασκεύασον. Τοῦτο καὶ ὁ Ἀδὰμ ἤλπισεν ἐπὶ τοῦ παραδείσου πρὸ τῆς ἀπάτης πολιτευόμενος, καὶ ὁ Ἐζεκίας νενικηκὼς τὸν Ἀσσύριον, καὶ διδάσκει τοῦτο σαφῶς τῶν Παραλειπομένων ἡ βίβλος, ὑψωθῆναι λέγουσα τὴν καρδίαν Ἐζεκίου τοῦ βασιλέως.[1]

«Πρός σέ, Κύριε, κεκράξομαι... Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;» Δέομαι, φησίν, ἀναχθῆναι ἐκ τοῦ λάκκου, ἐπειδὴ οὐκ «ἐξομολογεῖταί σοι χοῦς.» Ἐν δὲ τῷ καταβῆναί με εἰς διαφθορὰν οὔτε μία τις ὠφέλεια οὔτε ἐμοί, οὔτε ἑτέροις. Ἐγώ τε γὰρ ἀπεστερούμην τῆς παρὰ σοῦ ζωῆς· ἄλλοι δὲ οὐδαμῶς ἐτύγχανον τῆς παρ' ἐμοῦ σωτηρίας. Ἐν δὲ τῷ εἰσακοῦσαί σε τῆς φωνῆς, καὶ μεταβαλεῖν τὸν κοπετὸν εἰς χαράν, καὶ περιζῶσαί με εὐφροσύνην, οὐχ ἡ τυχοῦσά μοι γενήσεται ὠφέλεια. Ἀπολαβὼν γὰρ τὴν προτέραν ἐμαυτοῦ δόξαν, δι' αὐτῆς σοι λαλῶ, οὐ μετά τινος φαύλης συνειδήσεως· τοῦτο γὰρ δηλοῖ τό· «Οὐ μὴ κατανυγῶ.»

«Διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.» Σάκκον εἶπε τὸ πένθος, ἐπειδὴ ἔθος τοῖς ἐν πένθει καὶ σάκκῳ κεχρῆσθαι. Ὁ γὰρ σάκκος κακίαν καὶ ἀγνωσίαν σημαίνει· ἐπειδὴ καὶ τρίχες τῶν ἐρίφων εἰσὶ τῶν ἱσταμένων ἐξ εὐωνύμων, καὶ τοῦ ἀποπομπαίου χιμάρου.

Εἰς τὸ τέλος ΨΑΛΜΟΣ τῷ Δαυὶδ ἐκστάσεως.

Λ'.

Ὑπόθεσις.

Ἄδει τὸν προκείμενον ψαλμὸν ὡς ἔτι ἐν τῇ μετανοίᾳ τῇ διὰ τὴν ἁμαρτίαν ὤν, καὶ ἀξιῶν αὐτῆς ἐλευθερωθῆναι. Οὐ μὴν ἀλλὰ καὶ ὡς ἤδη εἰσηκουσμένος εὐχαριστίαν ἀναφέρει· καὶ μὴν καὶ τὰ συμβάντα αὐτῷ ἐν τῷ τῆς μετανοίας καιρῷ διηγεῖται. Τὸ δέ, «ἐκστάσεως», οὐδὲν ἕτερον ἢ αὐτὴν τὴν ἁμαρτίαν ἡμῖν κατασημαίνει, δι' ἣν ὥσπερ ἀγαθῶν φρενῶν ἐξίστατο ἡ ψυχή· καὶ ὡς μὴ ἐλπίζειν ἔτι τὴν ἀνάληψιν, φάσκειν τε σαφῶς· «Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέρριμμαι ἄρα ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.»

1. Πρβλ. Β' Παρ. 32, 25.

«Ἐπὶ σοί, Κύριε, ἤλπισα...... Κλῖνον πρός με τὸ οὖς σου.» Ἐπεὶ μὴ φθάνει ἡ ἡμετέρα κραυγὴ εἰς τὸ ὕψος, κλῖνον τὸ οὖς σου πρὸς ἐμέ, διὰ τοῦ συγκαταβαίνειν μοι.

«Ἐξάξεις με ἐκ παγίδος ταύτης ἧς ἔκρυψάν μοι.» Ἐφεδρεύσαντες γὰρ αὐτοῦ τὴν ψυχήν, συνελάβοντο αὐτόν. Ἐν τίνι; ἐν τῇ ἁμαρτίᾳ.

«Ἐλυτρώσω με, Κύριε, ὁ Θεὸς τῆς ἀληθείας.» Ὡς ἤδη εἰσακουσθεὶς τοιαῦτά φησιν.

«Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς.» Ματαιότητάς φησι τοῦ παρόντος βίου τοὺς περισπασμούς· οὓς καὶ ἐργαζόμενοι ματαιότητα πονοῦμεν. Παρέπεται τό, «διακενῆς», τῷ φυλάσσοντι ματαιότητας.

«Ἀγαλλιάσομαι, καὶ εὐφρανθήσομαι.» Λύπην καὶ τὰ λοιπὰ πάθη καταπατήσας.

«Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν.» Ἀντὶ τοῦ, οὐ παραδέδωκας. «Ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.» Ἀπαλλάξας με θλίψεως, κατέστησας ἐν ἀνέσει καὶ εὐρυχωρίᾳ.

«Ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.» Ὥσπερ ὀφθαλμὸν τὸν νοῦν τῆς ψυχῆς φησιν, οὕτω καὶ γαστέρα φησὶ τῆς ψυχῆς τὴν μνήμην· ἐν ᾗ ὥσπερ ἐν γαστρὶ τὰς λογικὰς ἀποτιθέμεθα τροφάς. «Ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.» Ἀπέστησα τὸν ὀφθαλμόν μου ἀπὸ τοῦ λαοῦ τῶν Ἰουδαίων ἐν θυμῷ καὶ ὀργῇ μεγάλῃ.

«Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου.» Τὸ ἐπιτεταμένον τῆς διανοίας δηλοῖ. «Καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς.» Διετέλεσα, φησί, στενάζων ἀπὸ τῶν κακῶν. «Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου.» Πτωχεύσας, φησί, τῆς παρὰ σοῦ βοηθείας διὰ τὴν ἁμαρτίαν, ἠσθένησα. «Καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.» Ὀστᾶ τὰς τῆς ψυχῆς δυνάμεις φησιν.

[«Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου.» Ἡ ἔνδεια, φησί, τῶν ἀναγκαίων κατέτηξέ μου τὸ σῶμα, ὅτι ὁ Σιφεὶ καὶ ὁ Βερσελεὶ ἤνεγκαν τῷ Δαυὶδ πυροὺς καὶ κριθάς, καὶ ἄλευρα, καὶ κύαμον καὶ φάκον, καὶ μέλι, καὶ ἕτερά τινα·[1] καὶ τάπητας, καὶ στρώματα· καὶ προσήνεγκαν τῷ λαῷ ταῦτα, καὶ τὰς τροφάς· ὅτι ἔλεγον τὸν λαὸν πεινᾶν, καὶ ἐκλελύσθαι διψήσαντα ἐν τῇ ἐρήμῳ.]

«Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος.» [Νεκρὸς μὲν ἀπὸ καρδίας ἐστὶν ὁ ἐστερημένος ἀρετῶν.] Καὶ οἱ ἐχθροί μου, φησίν, ὠνείδιζόν με, καὶ οἱ γνωστοί μου ἐφοβοῦντο με, καὶ οἱ θεωροῦντες ἀπέφευγον διὰ τὴν ὑπερβολὴν ἧς ὑπερεδεικνύμην μετανοίας· σάκκῳ δὲ καὶ σποδῷ κατατρυχόμενος, καὶ ἡμέρας καὶ νυκτὸς κλαίων. Διὸ καὶ φευγόντων αὐτῶν, ἐν λήθῃ γεγένημαι, ὥσπερ ἀμέλει καὶ νεκρὸς ἐδόκουν σκεύει ἐοικέναι ἀπολωλότι. Τὸ δέ, «παρὰ πάντας», οὐχ ὑπὲρ πάντας εἰπεῖν βούλεται, ἀλλ' ἀντὶ τοῦ, παρὰ πάντας· του-

1. Πρβλ. Β' Βασ. 16, 1-4.

τέστιν παρὰ τῶν ἐχθρῶν ὠνειδίσθην. Οὕτω γὰρ λέγει καὶ Ἀκύλας· «Παρὰ πάντων τῶν ἐχθρῶν μου ἐγενήθην ὄνειδος.»

«Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν.» Ψόγον τὴν ἐπιβουλήν φησιν. Λέγει δέ, ὡς οἱ ἐχθροὶ ἐκύκλουν ἐπιβουλεύοντες. «Τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο. Ἐγὼ δὲ ἐπὶ σοί, Κύριε, ἤλπισα.» Διὰ τῆς ψυχῆς τὴν καρδίαν λαμβάνουσιν· διὰ γὰρ θυμοῦ καὶ ἐπιθυμίας τὸν νοῦν θανατοῦσιν.

«Ἐν ταῖς χερσίν σου οἱ κλῆροί μου.» Εἰ καὶ ἐπιβουλεύουσιν οἱ ἐχθροί, ἐπιβολεύοντες τὴν ψυχήν μου λαβεῖν, ἀλλὰ οἱ κλῆροί μου πεφυλαγμένοι εἰσὶν ἐν ταῖς χερσί σου, οὓς ἀποδώσεις μοι κατὰ καιρόν, διὰ τὸ ἐπὶ σοί με ἐλπίζειν. Διὸ καὶ δέομαι ἐπὶ τοῦ παρόντος ῥυσθῆναι ἐκ τῶν ἐχθρῶν μου. Ἐκεῖνοι μὲν οὖν ἀθροισθέντες τὸν ἐμὸν καττύουσι θάνατον· ἐγὼ δὲ σὲ Θεὸν οἶδα καὶ πρύτανιν. «Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων με.» Φεῦγε τὴν πονηρίαν, φησίν, ὁ Ἀπόστολος·[1] εἰ καὶ διώκει ἡ πονηρία, διώκει δηλονότι καὶ ἡ μοιχεία καὶ ἡ πλεονεξία, καὶ ὁ θυμὸς καὶ ἡ ὀργή· τὰ δὲ λοιπὰ ἀπολέλειπτο.

«Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου· σῶσόν με ἐν τῷ ἐλέει σου.» Τῆς γὰρ σῆς μοι γενομένης ἐπιφανείας, τὰ σκυθρωπὰ παραυτίκα λυθήσεται. Οὗτός μοι, φησί, μόνος τρόπος τῆς σωτηρίας, εἰ τὸ σὸν ἐπιφάνῃς πρόσωπον.

«Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε.» Ἐντεῦθεν μανθάνομεν ὡς πολλὴν διαφορὰν ἁμαρτία πρὸς ἀσέβειαν ἔχει. Διὸ καὶ ὁ μέγας παρακαλεῖ Δαυὶδ αὐτὸν μὲν τῆς διὰ τὴν ἁμαρτίαν γεγενημένης αἰσχύνης ἀπαλλαγῆναι, τοὺς δὲ δυσσεβείᾳ συζῶντας μετ' αἰσχύνης τῷ θανάτῳ παραπεμφθῆναι.

«Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια.» Εὔχομαι, φησίν, ἀποκωφωθῆναι τοὺς ἐχθρούς· τοῦτο δὲ ἔσται, εἰ ἐπιφάνῃς τὸ πρόσωπόν σου.

«Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε!» Ὡς ἤδη διὰ τοῦ Πνεύματος φωταγωγηθείς, περὶ τῶν ἐσομένων εὐχαριστίαν ἀναφέρει. Ἔθος δὲ τῷ Δαυὶδ ἐπὶ ἐκπλήξεως πολλάκις λαμβάνειν τήν, «ὡς», φωνήν, ἀντί τοῦ, «σφόδρα.» Πολλή σου ἐστὶν ἡ χρηστότης, ἣν ταμιεύεις καὶ φυλάττεις ἡμῖν· τὸ γάρ, «ἔκρυψας», ἀντὶ τοῦ, «ἐφύλαξας», ὡς καὶ τό· «Ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ.» Κέχρηται δὲ τῷ, «ἔκρυψας», ἀντὶ τοῦ, «ἐφύλαξας», ἐπειδὴ τὸ κεκρυμμένον φυλάττεται. «Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σέ.» Ἀντὶ τοῦ, ἐξειργάσω ἐν καιρῷ τῷ προσήκοντι.

«Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου.» Τὸ πρόσωπόν σου, φησί, σκέπη τοῖς ἐλπίζουσιν ἐπὶ σὲ γένηται. «Ἀπὸ ταραχῆς ἀνθρώπων σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.» Καθάπερ, φησίν, σκέπη σκεπάσεις αὐτούς, ὥστε μήτε

1. Πρβλ. Κολ. 3, 8.

ὑπὸ τῶν λόγοις αὐτοῖς ἐπιχειρούντων καταβλάπτειν, μήτε ὑπὸ τῶν ἔργοις πολεμούντων ἁλίσκωνται.

«Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.» Δι' ἐμοῦ, φησίν, ὁ Θεὸς ἐδοξάσθη· ὅτι, μυρίων πολεμίων περὶ ἐμὲ συστάντων, καὶ δίκην μεγάλης πόλεως τὴν ἐμὴν ψυχὴν πολιορκεῖν πειρωμένων, ὁ ἐμὸς φύλαξ, φραγμὸν ἐμοὶ περιβαλών, τὸ ἔλεος αὐτοῦ θαυμαστὸν ἔδειξεν.

«Ἐγὼ δὲ εἶπον ἐν τῇ ἐκστάσει μου· Ἀπέρριμμαι.» Ὁπηνίκα, φησίν, ἐταπείνουν ἐμαυτὸν ἐν τῇ γενομένῃ μοι ἐκστάσει, ὅτε καὶ ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἐπέτριβον ἐμαυτὸν ὡς ἀπερριμμένος διὰ τὴν ἐμὴν ἁμαρτίαν. Ἀλλ' ἐγὼ μὲν ταῦτα, φησίν, ἔλεγον, σὺ δὲ ὁ φιλάνθρωπος οὐκ ἀπέρριψας τὸν σὸν οἰκέτην.

«Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ.» Τρέπει τὸν λόγον εἰς τὴν ἑτέρων παραίνεσιν ἀφ' ὧν εὐηργετήθη, τοὺς ἄλλους ἐπὶ τὸ ἐξομολογεῖσθαι παρακαλῶν. «Καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.» Μακροθυμεῖ μὲν ὁ Κύριος ἐπὶ τοῖς ὑπερηφάνοις, τοῖς δὲ περισσῶς ποιοῦσιν ὑπερηφανίαν καὶ ἀνταποδίδωσιν.

Ψαλμὸς τῷ Δαυίδ, συνέσεως.

ΛΑ'.

Ὑπόθεσις.

Τὴν κακοπάθειαν αὐτοῦ τὴν πολλὴν προβαλλόμενος ὁ Δαυίδ, ἣν ἐν τῇ μετανοίᾳ ὑπέμεινεν, μακαρίζει τοὺς τῆς ἀφέσεως τετυχηκότας διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας. «Συνέσεως» δὲ ἐπιγέγραπται ὁ ψαλμός, διὰ τὸ ταύτης μάλιστα δεῖσθαι τοὺς ἀνθρώπους· ὅτι δὴ σφόδρα ἐκνενευκότες ἐπὶ τὰ πάθη, ἵπποις καὶ ἡμιόνοις ἀπεικάσθησαν.

«Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.» Ἀφίενται μὲν αἱ ἀνομίαι διὰ βαπτίσματος, ἐπικαλύπτονται δὲ ἁμαρτίαι διὰ τῆς πικρᾶς μετανοίας.

«Μακάριος ἀνὴρ οὗ οὐ μὴ λογίσηται ὁ Κύριος ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.» Οὗτος γὰρ ἀληθῶς μακάριος, ὁ ὅλῃ καρδίᾳ προσερχόμενος τῷ ἁγίῳ βαπτίσματι. [Ὁ γὰρ μετὰ δόλου βαπτιζόμενος, πρὸς τῷ μὴ τυχεῖν τῆς ἀφέσεως, καὶ κρῖμα ἕξει.] Τοῦ αὐτοῦ· τό, «ὅτι», τῷ, «ἐπαλαιώθη», συναπτέον, ἵν' ᾖ· «Ὅτι ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.» Ἐσίγησα μηκέτι φωνὴν ἀφεῖναι δυνάμενος. Τί δὲ ἔκραξεν, ἢ τὴν συγγνώμην τῆς ἁμαρτίας αἰτῶν;

«Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου.» Ἀγαθός, φησίν, ὢν ἐπαίδευσας σφοδρῶς διὰ τῆς παιδείας ἐπιστρέφων εἰς σωτηρίαν. «Ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν.» Ἄκανθαν τὴν ἁμαρτίαν φησίν. Ὁ δὲ νοῦς οὗτος· Ἐπειδὴ ἐνεπάγη, φησί, τῇ ψυχῇ μου ἡ ἁμαρτία, ἐταλαιπώρησα.

«Τὴν ἀνομίαν μου ἐγνώρισα.» Τὸν τρόπον τῆς ἐξομολογήσεως σημαίνει. «Εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν. Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ.[1]» Καὶ λέγε σύ, φησί, τὰς ἁμαρτίας σου πρῶτος.

«Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος.» Ὑπὲρ τῆς ἐμοί, φησί, συγχωρηθείσης ἁμαρτίας ἕκαστος τῶν ὁσίων σοι εὔξεται. Δύο δὲ διὰ τούτων σημαίνει· ἢ ὅτι ὑπόδειγμα πᾶσι μετανοίας ἔσομαι, ἢ προφητικώτερον, διὰ τὸ ἐξ αὐτοῦ τοῦ προσώπου Δαυὶδ πάντα τὰ ἔθνη κατὰ καιροὺς ἐξομολογεῖσθαι ὑπὲρ τῆς ἁμαρτίας αὐτοῦ. «Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσιν.» Τὸν μετανοοῦντα, φησί, πλῆθος πειρασμῶν οὐκ ἐπικλύσει.

«Σύ μου καταφυγή.» Ἐκεῖνα περὶ τῆς ἁμαρτίας εἰρηκώς, ἱκετεύει τῶν διὰ ταύτην ἐπενεχθέντων ἀπαλλαγῆναι κακῶν. Καὶ μέντοι καὶ τυγχάνει τῆς ἀποκρίσεως· λέγει γὰρ πρὸς αὐτὸν φιλάνθρωπος Κύριος· «Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ.» Εὐξαμένῳ λύτρωσιν ἐχθρῶν ἀντιφθέγγεται Θεός, ὁδηγήσειν ἐπαγγελλόμενος ἐν εὐθείᾳ ὁδῷ.

«Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις.» Εἰσηγεῖται τοῖς ἁμαρτάνουσι, τοῖς ἀλόγοις μὴ ἐκδιδόναι αὐτοὺς πάθεσι. «Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξεις.» Ὡς πρὸς τὸν Κύριον ὁ λόγος. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Τοὺς μὴ βουλομένους μετανοεῖν οἷά τινι χαλινῷ ἐπίστρεψον πρὸς ἑαυτόν.

Ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ' Ἑβραίοις.

ΛΒ'.

Ὑπόθεσις.

Ἐν τούτῳ διδάσκει τοὺς ἤδη πιστεύσαντας εἰς Χριστόν, αἰνεῖν τὸν ἑαυτῶν Δεσπότην, διδάσκων αὐτοὺς ἅμα τῆς δυνάμεως αὐτοῦ τὴν ὑπεροχήν, ὅτι αὐτὸς ῥύστης τῶν ὅλων, αὐτὸς Κύριος, αὐτὸς τοὺς μὲν πονηροὺς ἐξουθενεῖ, καὶ διασκεδάννυσιν αὐτῶν τὰς βουλάς, τοὺς δὲ ἐλπίζοντας ἐπ' αὐτὸν σῴζει.

«Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ. . . . ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.» Δεκάχορδον ψαλτήριον τὸ σῶμά φησιν, ἅτε πέντε αἰσθήσεις ἔχον, καὶ πέντε ἐνεργείας ψυχῆς, δι' ἑκάστης αἰσθήσεως γινομένης ἐνεργείας ἑκάστης.

«Ἄσατε αὐτῷ ᾆσμα καινόν.» Σαφῶς τὸν διὰ Μωσέως νόμον τέλος ἐσχηκέναι φησίν.

«Ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου.» Ὁ εὐαγγελικὸς δηλονότι. «Καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.» Πιστεύειν δεῖ, φησί, τοῖς δι' αὐτοῦ θεοπρεπῶς ἐνεργουμένοις.

«Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος.» Ταῦτα, φησίν,

1. Παρμ. 18, 17.

ἀπαιτεῖ τοὺς εἰς αὐτὸν πιστεύοντας. «Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.» Ἄρχεται τοῦ καὶ ποιητὴν ὄντα αὐτὸν τῆς πάσης κτίσεως δεικνύναι, καὶ πρό γε τῆς γῆς ἣν καὶ ἐλέους πληρῶσαί φησιν· καὶ οὐκ ἂν ἄλλως συνεστηκέναι μὴ τούτου γέμουσα. Ἀμέλει καὶ οἱ οὐρανοὶ οὐκ ἄν ποτε συνέστησαν, εἰ μὴ τῷ λόγῳ αὐτοῦ διεκρατοῦντο, καὶ μὴν καὶ αἱ δυνάμεις αὐτῶν, τουτέστιν αἱ θεῖαι καὶ λογικαί.

[Ἀγαπᾷ οὖν ἐλεημοσύνην ἐπὶ τῶν μετανοούντων· ἀγαπᾷ δὲ κρίσιν ἐπὶ τῶν ἀνενδότων. Τοιοῦτον δὲ καὶ ὁ Ἡσαΐας λέγει τῷ Θεῷ· «Ὅτι ἡ ἐλεημοσύνη σου εἰς σταθμόν·[1]» καὶ γὰρ κἀκεῖνος τὴν μετὰ κρίσεως ἐλεημοσύνην παρίστησι, ζυγῷ καὶ ἀριθμῷ κατὰ τὴν ἑκάστου ἀξίαν ἀντιμετρούμενος.]

«Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν.» Δήλωσις κἀνταῦθα τῆς ἁγίας Τριάδος. «Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.» Στόμα Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγει· οἱ γὰρ προφῆται δι' αὐτοῦ λαλοῦντες ἔλεγον· «Ὅτι τὸ στόμα Κυρίου ἐλάλησε ταῦτα.[2]»

«Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης.» Προσκαλούμενος, φησί, τὸ ὕδωρ τῆς θαλάσσης, καθάπερ ἐν ἀσκῷ τινι, ταῖς νεφέλαις ἐπισυνέχει· ὡς καὶ ἀλλαχοῦ φησιν· «Ὁ προκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς·[3]» καὶ πάλιν· «Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. Τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.» Καὶ τὰς ἀβύσσους, φησί, καθάπερ ἐν θησαυροῖς σφραγίζει, ἵνα μὴ ἀναβλύζουσαι ἐπικλύσωσι τὴν ξηράν.

«Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ.» Μηκέτι, φησί, τοῖς δαιμονίοις προσαγέτω ἡ γῆ τὸ σέβας. «Ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.» Ἀκούοντες, φησίν, αὐτοῦ οἱ τὴν οἰκουμένην οἰκοῦντες ἄνθρωποι, τῆς προτέρας στάσεως ἧς εἶχον εἰδωλολατροῦντες, δηλονότι σαλευθήτωσαν τῷ ἰδίῳ δημιουργῷ ὑπακούοντες.

«Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.» Ἡ μὲν γένεσις τὴν τῶν λογικῶν οὐσιώδη δηλοῖ· ἡ δὲ κτίσις τὴν ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον σημαίνει μεταβολήν. «Εἴ τις γὰρ ἐν Χριστῷ καινὴ κτίσις.[4]»

«Κύριος διασκεδάζει βουλὰς ἐθνῶν.» Τῶν νοητῶν δηλονότι. «Ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.» Ἀπράκτους γὰρ ἐπιβουλὰς πάντων ἔθηκε τῶν Ἰουδαίων, τριήμερος ἀναστήσας. Τοῦτο γὰρ ἦν ὃ καὶ βούλεται, «ὅπερ καὶ εἰς τὸν αἰῶνα μένει.»

«Λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.» Τὰ δόγματα, φησίν, ἃ βεβούλευται καὶ εἰς τὸν παρόντα αἰῶνα καὶ εἰς τὸν μέλλοντα. Λογισμοὶ Θεοῦ αἱ κατάλληλοι διακοσμήσεις· καρδία δὲ τὸ ἀπόκρυφον τῆς οὐσίας.

---

1. Ἡσ. 28, 17. 2. Ἡσ. 1, 20. 3. Ἀμ. 9, 6. 4. Β' Κορ. 5, 17.

«Μακάριον τὸ ἔθνος οὗ ἐστὶ Κύριος ὁ Θεὸς αὐτοῦ.» Τοὺς εἰς Χριστὸν πιστεύοντας ἐν τούτοις μακαρίους ἀποκαλεῖ.

[«Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος.» Εἶπεν, «ἐπέβλεψεν», ἵνα μή τις αὐτὸν ἀγνοεῖν οἰηθῇ τὰ παρὰ τῶν ἀνθρώπων τολμώμενα.]

[«Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ.» Ἤτοι ἡτοιμασμένου, εὐτρεπισμένου. Οἶκος γὰρ ὥσπερ Θεοῦ ἀποκεκλήρωται ὁ οὐρανός.]

«Ὁ πλάσας καταμόνας τὰς καρδίας αὐτῶν.» Μόνος, φησίν, ὁ Θεὸς εἶδε τῶν ἀνθρώπων τὰς καρδίας. Διὸ καὶ ὁ Σωτὴρ τοῖς Ἰουδαίοις ἔλεγε· «Τί διαλογίζεσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν;[1]»

«Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν.» Ὀφθαλμοὶ Κυρίου ἡ παντοπτικὴ αὐτοῦ δύναμις· ἢ πολλάκις ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ὡς ἐν μέσῳ δύο φώτων ὁ Πατὴρ τῶν φώτων.

«Καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.» Ἐν καιρῷ, φησί, διωγμοῦ, μὴ συνισταμένων τῶν νοητῶν τροφῶν, αὐτὸς ὁ Κύριος διὰ Πνεύματος ἁγίου θρέψει αὐτούς.

«Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομένει τῷ Κυρίῳ.» Ὡς ἤδη δεδειγμένοι τὴν εἰς αὐτὸν πεποίθησιν προβάλλονται.

ΨΑΛΜΟΣ τῷ Δαυὶδ ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν.

ΛΓ'.

Ὑπόθεσις.

Φεύγων ὁ Δαυὶδ τὸν Σαούλ, ἦλθε πρὸς Ἀβιμέλεχ, καὶ τῆς ἀφίξεως τὴν αἰτίαν ἐρωτώμενος παρ' αὐτοῦ, τὴν φυγὴν μὲν ἠρνήσατο· ἀπεστάλθαι δὲ εἶπε παρὰ τοῦ Σαούλ, ὡς καὶ τὴν ῥομφαίαν αἰτῆσαι τοῦ Γολιάθ. Ἐπεὶ τοίνυν ἄλλα μὲν εἶπεν, ἄλλα δὲ ἐφρόνει, ἀναγέγραπται τὸ «ἠλλοιωκέναι τὸ πρόσωπον αὐτοῦ.» Ἄδει δὲ τὸν ψαλμὸν τῷ νέῳ λαῷ, διδασκαλίαν εἰσηγησάμενος τῆς πνευματικῆς καὶ Εὐαγγελικῆς λατρείας.

«Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ... Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου.» Εἰ καὶ ἄξιος ἐπαίνου τυγχάνω εὑρεθέντος τινὸς καλοῦ ἐν ταῖς ἐμαῖς πράξεσιν, τοῦτο οὐκ ἐμοί, ἀλλὰ τῷ Θεῷ ἀναθετέον· αὐτὸς ἐμὲ καὶ πεποίηκε περιφανῆ, καὶ ποιήσει περίβλεπτον. «Ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν.» Τὴν ἐμοὶ γεγενημένην παρὰ τοῦ Κυρίου σωτηρίαν πᾶς δίκαιος ἀκηκοὼς εὐφρανθείη. Ὅτι δὴ σῴζει τοὺς ἐλπίζοντας ἐπ' αὐτόν, οὐκ ἀνέχεται μόνος ὑφῆναι τὸν ὕμνον, ἀλλὰ τοὺς κοινωνοὺς τῆς πραότητος, κοινωνοὺς ποιεῖται τῆς ὑμνῳδίας.

«Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσομεν τὸ ὄνομα αὐτοῦ ἐπιτοαυτό.» Ὡς μὴ ἐξαρκῶν τὰ μεγαλεῖα ἐξαγγεῖλαι τοῦ Θεοῦ, εἰς τοῦτο αὐτὸ ὡς περισυλλαμβάνεσθαι καὶ τοὺς ἄλλους ἀξιοῖ καὶ συμπράττειν.

---

1. Ματθ. 9, 4.

«Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε.» Ἀφ' ὧν ἐδέξατο πεποιθώς, καὶ τοὺς ἄλλους εἰς τοῦτο ἀνάγει.

«Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτόν.» Μάθετε, φησίν, ἐκ τῶν κατ' ἐμὲ θαρρεῖν τῷ τῶν ὅλων Θεῷ. Εὐτελῆ γὰρ ὄντα με καὶ προβατέα τῆς οἰκείας προμηθείας ἠξίωσε, καὶ κρείττονα τῶν πολεμούντων ἀπέφηνε.

«Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς.» Τοῦτο συμφωνεῖ καὶ τοῦ Ἀποστόλου τοῖς ῥήμασι· περὶ γὰρ τῶν ἀγγέλων οὗτός φησιν· «Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς λειτουργίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.[1]» Οὕτω καὶ ὁ μακάριος Ἰακὼβ προσευχόμενός φησιν· «Ὁ ἄγγελος ὁ ῥυσάμενός με ἐκ πάντων τῶν κακῶν μου.[2]» Οὕτω καὶ ὁ πατριάρχης Ἀβραὰμ πρὸς τὸν θαυμάσιον οἰκέτην ἔφη· «Κύριος ὁ Θεὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν.[3]» Οὕτω καὶ ὁ μακάριος λέγει Ζαχαρίας· «Ὁ ἄγγελος ὁ λαλῶν ἐμοί.[4]»

«Γεύσασθε, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος.» Τοῦ ἀληθινοῦ ἄρτου, φησί, γεύσασθε, τοῦ καταβάντος ἐξ οὐρανοῦ. «Μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν·» ἕξει γὰρ τὴν μέλλουσαν ζωήν.

«Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν.» Δηλονότι ὁ τῶν Ἰουδαίων λαός. «Οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.» Τὸν ἕτερον λέγει τὸν τῶν ἐθνῶν.

«Δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς... καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.» Διδασκαλίαν ἐθνῶν παρατίθεται, ἧς πρῶτον τὸν φόβον τοῦ Θεοῦ εἶναί φησι· δεύτερον τὸ μὴ καταλαλεῖν ἀδελφοῦ· τρίτον, δόλου παντὸς παύειν τὰ χείλη· τέταρτον, ἀποχὴν παντὸς κακοῦ καὶ ἐπιτήδευσιν ἀγαθοῦ ἐν ἅπασιν. Ἐφ' ἅπασιν δὲ τούτοις, εἰρήνην ἐπιδιώκειν καὶ ἀντέχεσθαι αὐτῆς. Εἰρήνη δὲ ὁ Χριστός. Τούτων δὲ τὴν ἐπιτήδευσιν ζωὴν εἶναι λέγει καὶ ἡμέρας ἀγαθάς.

«Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν.» Τό, «ἔκκλινον ἀπὸ κακοῦ», ὁ φόβος διδάσκει· τὸ δέ, «ποίησον ἀγαθόν», ἡ ἀγάπη. Διὸ μείζων ὁ ἀγαπῶν τοῦ φοβουμένου.

«Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.» Μέγαν τῇ ἐπιτηδεύσει τῆς ἀρετῆς ἀποδέδωκε μισθόν, τὸ ἐπόπτην ἔχειν Θεόν.

«Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν.» Ὀστᾶ φησι τὰς τῆς ψυχῆς δυνάμεις. Αὐτὰ δέ εἰσι δικαιοσύνη, καρτερία, εὐσέβεια καὶ πᾶσα, ὡς εἰπεῖν, ἀρετή.

«Θάνατος ἁμαρτωλῶν πονηρός.» Τὸν τῆς ψυχῆς θάνατόν φησιν, ὃν

1. Ἑβρ. 1, 14. 2. Γεν. 48, 16. 3. Γεν. 24, 40. 4. Ζαχ. 2, 3.

καὶ διαδέξεται πῦρ αἰώνιον, σκότος ἐξώτερον, ἀκοίμητος σκώληξ, κλαυθμὸς καὶ ὀδυρμὸς τῶν ὀδόντων. Γέεννα γὰρ αὐτοὺς καὶ σκότος διαδέχετα.

ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ΛΔ´.

Ὑπόθεσις.

Ἐκ προσώπου τοῦ πεποιθότος ἐπὶ Θεὸν καὶ πολεμουμένου ὑπὸ τῶν ἀφανῶν δυνάμεων τὰ προκείμενα λέγεται, ἢ καὶ ἐκ τοῦ χοροῦ τῶν ἀποστόλων. Εἰσάγεται δὲ καὶ πρόσωπον τοῦ Χριστοῦ, τὰ ἐπὶ τῷ πάθει παρὰ τῶν Ἰουδαίων εἰς αὐτὸν γεγενημένα διηγουμένου, πρὸς ὑπομονὴν καὶ καρτερίαν τῶν πολεμουμένων διὰ Θεόν.

«Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.» Τῷ προσώπῳ τῶν ἀποστόλων ἁρμόσει ἡ πρόσοδος.

Τοὺς Ἰουδαίους φησίν, οἳ μὴ ἔχοντες ἐν ἑαυτοῖς εἰρήνην, πολέμους ἔχουσι, καὶ πολεμοῦσι Χριστόν, ὅς ἐστιν εἰρήνη ἡμῶν.

«Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου.» Ὅπλον καὶ θυρεὸν καὶ ῥομφαίαν τιμωρητικὰς δυνάμεις αἰνίττεται, τὰς ἐκπεμπομένας παρὰ Κυρίου πρὸς ἐπικουρίαν τῶν δικαίων.

«Εἶπον τῇ ψυχῇ μου· Σωτηρία σού εἰμι ἐγώ.» Τοῦτό σε, φησίν, αἰτῶ εἰπεῖν τῇ ψυχῇ μου, ὡς γενήσῃ αὐτῇ βοηθός.

«Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω.» Εὐεργετοῦνται οἱ ἀπὸ τῆς ἀρετῆς ἐπὶ τὴν κακίαν ὁδεύοντες, ἐὰν εἰς τὰ ὀπίσω ἐπιστραφῶσιν.

«Ἐλθέτω αὐτῷ ἡ παγὶς ἣν οὐ γινώσκει, καὶ ἡ θήρα ἣν ἔκρυψεν συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.» Ἀντεστράφη γὰρ εἰς κεφαλὰς πονηρῶν ἡ παγίς. Θηρεύσαντες γάρ, εἰς θάνατον ἀντηγρεύθησαν, καὶ θανάτῳ παραδίδονται.

«Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ.» Οἱ μὲν οὖν τὴν πάγην ἐξηρτυκότες, καὶ τὸ τῆς διαφθορᾶς κατὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ συνθέντες σκευώρημα, τὰς τῆς εἰς αὐτὸν παροινίας εἰσπραχθήσονται δίκας, κατά γε τοὺς ἀρτίως ἡμῖν εἰρημένους τρόπους· ἡ δέ γε ἐμὴ ψυχή, φησίν, ἔξω παντὸς ἔσται δεινοῦ διηνεκές· ἤγουν ἀκατάληκτον ἔχουσα τὸ χαίρειν ἐπὶ Θεῷ, καὶ κατευφραίνεσθαι λίαν ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.

«Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με.» Ἐντεῦθεν εἰσάγεται τὸ τοῦ Χριστοῦ πρόσωπον παρὰ τῇ κρίσει τῶν ἀρχιερέων συκοφαντουμένου.

«Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.» Τοῦτό φησι, διὰ τὸ ἀναξίους αὐτοὺς ὀφθῆναι τοῦ κληθῆναι τέκνα Θεοῦ· ὅπερ μάλιστα ἐγνώριζεν αὐτὸς κατὰ τό, «Ποσάκις ἠθέλησα ἐπισυνάγειν τὰ τέκνα σου! [1]»

---

1. Ματθ. 23, 37.

«Ἐγὼ δέ, ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον.» Ἐπένθει γὰρ αὐτῶν τὴν ἀπώλειαν, ὡς καὶ λυπεῖσθαι, καὶ ἀδημονεῖν, καὶ δακρύειν, καὶ προσεύχεσθαι ὑπὲρ τῆς ἁμαρτίας αὐτῶν.

«Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου.» Βεβαιῶν τὴν ἐνανθρώπησιν, καὶ νηστείας οὐκ ἀπέσχετο. «Καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.» Τοῦτο σημαντικὸν εἴη τοῦ ἐναπομεῖναι ἐκείνους τῇ ἁμαρτίᾳ. Οὐδὲν γὰρ ὠφελήθησαν, φησί, τῇ ὑπερβολῇ τῆς ἀγνοίας, τὴν προσευχὴν ὥσπερ ἐπανακάμψαι ποιήσαντες.

«Ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν.» Ὥσπερ ἀδελφόν, φησί, καὶ φίλον, οὕτως ἐσπούδαζον εὐεργετεῖν αὐτούς, βουλόμενος θεραπεύειν· διὸ καὶ ἐπένθουν ὑπὲρ αὐτῶν.

«Καὶ κατ' ἐμοῦ εὐφράνθησαν, καὶ συνήχθησαν.» Ταῦτά μοι, φησί, τῆς ὑπὲρ αὐτῶν ὀδύνης ἀπεδίδουν τὰ ὀψόνια. «Συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων.» Μαστίζοντές με, φησί, οὐκ ἐγίνωσκον οὐδὲ εὕρισκον αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ.

«Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν.» Ἐμερίσθη γὰρ τὸ πλῆθος, ὡς ὁ εὐαγγελιστής φησι, τῶν μὲν ἀγαθὸν εἶναι λεγόντων, τῶν δὲ πονηρόν. Καὶ τούτων γινομένων, φησίν, οὐ κατενύγησαν, οὐδὲ συνῆκαν κατὰ τίνος αἱ πράξεις. Τοῦτο δὲ οὐκ ἐγκαλῶν εἶπεν, ἀλλὰ ποθῶν τὴν βοήθειαν. Πότε, φησίν, ἐπιφαίνῃ καὶ ἐπαμυνεῖς ἀδικουμένῳ;

«Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν.» Πάντα ὅσα πάσχει ἢ λέγει, ὑπὲρ τῆς ἡμετέρας σωτηρίας ποιεῖ, διὰ τὸ κατελθεῖν αὐτόν, ἤγουν τὸν Χριστόν, καὶ σαρκωθῆναι ἐξ ἡμῶν. «Ἀπὸ λεόντων τὴν μονογενῆ μου.» Λέοντάς φησι ἢ τὰς πονηρὰς καὶ ἀντικειμένας δυνάμεις, αἳ μόνον οὐχὶ κατεβρυχήσαντο τοῦ Χριστοῦ, ἢ τάχα που καὶ αὐτοὺς τοὺς τῶν Ἰουδαίων καθηγητάς. Οὕτω γὰρ αὐτῶν διαμνημονεύει λέγων διὰ φωνῆς Ἱερεμίας. «Ἐγενήθη ὡ κληρονομία μου ὡς λέων ἐν δρυμῷ· διὰ τοῦτο ἐμίσησα αὐτήν.[1]» Μονογενῆ μὲν τὴν ἑαυτοῦ ψυχὴν ὀνομάζει, τὸ «μονογενὲς» τιθεὶς ἀντὶ τοῦ «ἠγαπημένην.» Ἀεὶ γάρ πώς ἐστιν ἐν ἀγάπῃ πλείστῃ τὸ μονογενὲς ἐν τέκνοις.

«Οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς.» Ἀντὶ τοῦ, συντιθέντες δόλους.

«Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο.» Τό, «Διδάσκαλε ἀγαθέ·[2]» καί, Ὅτι «οἴδαμεν ὅτι τὴν ἀλήθειαν διδάσκεις, καὶ ὅτι οὐ λαμβάνεις πρόσωπον ἀνθρώπου.[3]»

«Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν.» Τὰς βλασφημίας τὰς ἐπὶ τῷ σταυρῷ γινομένας φησίν. «Εἶπον· Εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.» Ὡς κατ' εὐχὴν αὐτοῖς τοῦ πέρατος ἐκβεβηκότος, τὸ κρεμασθῆναι αὐτὸν ἐπὶ τοῦ ξύλου. Τοῦτο δὲ ποιοῦσι καὶ οἱ ἐπαγαλλόμενοι τῇ θλίψει τοῦ δικαίου.

1. Ἱερ. 12, 8. 2. Λουκ. 18, 18. 3. Ματθ. 22, 26.

«Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς, Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.» Ἄνθρωπος γενόμενος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, οὐκ ἀποβαλὼν τὸ εἶναι Θεός, αἰτεῖ ὑπὲρ τῆς εἰς ἡμᾶς ἀδικίας γενομένης ὑπὸ τῶν δαιμόνων δικαστὴν γενόμενον τὸν Πατέρα, αἰτεῖ ἀποσκορπίσαι τῶν ὑπερηφάνων τὴν ὕβριν. Οὕτω γὰρ οἱ μὲν εἰς αἰσχύνην ἀποστραφήσονται, φησίν, οἱ δὲ ἀγαλλιάσαιντο, τὰς ἐπὶ τῇ σωτηρίᾳ ἀνατιθέντες εὐχαριστίας.

Εἰς τέλος τῷ δούλῳ Κυρίου τῷ Δαυίδ.

ΨΑΛΜΟΣ ΛΕ'.

Ὑπόθεσις.

Κατηγορίαν περιέχει ὁ παρὼν ψαλμὸς τῆς ὑπερηφανίας τοῦ λαοῦ τῶν Ἰουδαίων, καὶ τῆς κακίας ἔλεγχον· καὶ μὴν καὶ ὑμνολογίαν τῶν δικαίων κριμάτων, δι' ὧν ἐποίησε τὴν ὑπ' οὐρανόν· πρὸς δὲ τούτοις καὶ εὐχαριστίας πρὸς τὸν Πατέρα ὑπὲρ ὧν εὐηργέτησε διὰ Ἰησοῦ· ἐφ' ἅπασι δὲ τούτοις εὐχὴν ἀσφαλιζομένην τοῦ μὴ πεσεῖν εἰς ὑπερηφανίαν.

«Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ.» Οἴεται, φησίν, ὁ κακίᾳ συντεθραμμένος μηδένα θεωρεῖν τῆς ψυχῆς αὐτοῦ κεκρυμμένα βουλεύματα. Τὸ γάρ, «φησίν», ἀντὶ τοῦ, «ἡγεῖται» ἢ «ὑπολαμβάνει», τέθεικεν. Αἴτιον δὲ τῆς τοιαύτης ἀναλγησίας τὸ μὴ δεδιέναι τὸν πάντα ἐφορῶντα δεσπότην. «Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ.» Ἅπαξ προθέμενος, φησί, τοῦ παρανομεῖν, ἔξω τῶν ὀφθαλμῶν αὐτοῦ τὸν τοῦ Θεοῦ τίθεται φόβον. Τῷ γὰρ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ.

«Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ.» Ἑκὼν δὲ ταύτην ἔχει τὴν ἄγνοιαν, οὐ βουλόμενος λογιστεῦσαι τὰ πεπραγμένα, καὶ μισῆσαι τὰ κακῶς πεπραγμένα. «Τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι.» Οὐδὲ τοῦτο, φησί, λογίζεται, ὅτι ὁ Θεὸς εὑρίσκει τὴν ἁμαρτίαν αὐτοῦ, καὶ εὑρὼν αὐτήν, μισεῖ καὶ αὐτὴν καὶ αὐτόν.

«Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος.» «Ἀνομίαν» μέν, δι' ἃς ἐπήγαγον ὕβρεις Χριστῷ· «δόλον» δέ, ὅτι καὶ παγιδεύειν αὐτὸν βουλόμενοι, χρηστοῖς προσίεσαν λόγοις. «Οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι.» Ἑκών, φησίν, ἑαυτὸν ἔξωσε τοῦ εὐπραγῆσαι.

«Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ· παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ.» Τὸ ἄυπνον αὐτῶν τῆς εἰς Χριστὸν ἐπιβουλῆς σημαίνει. «Κακίᾳ δὲ οὐ προσώχθησεν.» Ἀντὶ τοῦ, τὴν κακίαν οὐκ ἐμίσησε.

«Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου.» Δείκνυσιν ὡς τῷ αὐτοῦ ἐλέει καὶ τὰ οὐράνια συνέστηκε, τουτέστιν αἱ λογικαὶ δυνάμεις. «Καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν.»

«Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ.» Ἀληθεῖς, φησί, καὶ βεβαίας τὰς διὰ τῶν προφητῶν ἐπαγγελίας ἔδειξας· νεφέλαι γὰρ οἱ προφῆται. Ἔδειξας δὲ ταύτας ἀληθεῖς, πλῆθος δικαιοσύνης χορηγήσας τοσοῦτον,

ὡς ὄρεσι παραβάλλεσθαι Θεοῦ. «Τὰ κρίματά σου ἄβυσσος πολλή.» Τοσαύτην δὲ ἔχων ἀλήθειαν καὶ δικαιοσύνην, τίνος ἕνεκεν μακροθυμεῖς ἀγνοῶ· τὸ τῆς ἀβύσσου γὰρ ἀθεώρητον μιμεῖταί σου τὰ κρίματα· καθάπερ γὰρ ἐκείνης ἀνθρώποις ἀθεώρητος ὁ βυθός, οὕτως ἀνέφικτος τῶν σῶν κριμάτων κατανόησις.

«Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε.» Περὶ τῶν δύο λαῶν εἰρηκὼς ὁ Ἀπόστολος, «Συνεκλεισεν ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας σώσῃ», ἐπήγαγεν· «Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ.[1]» Καὶ ἐνταῦθα ὅμοιόν ἐστιν· ἐπειδὴ γὰρ ἔμελε τῶν δύο λαῶν τὴν σωτηρίαν διηγήσασθαι, οἳ καὶ σημαίνονται διὰ τῶν ἀνθρώπων καὶ τῶν κτηνῶν· ἀνθρώπων μὲν τῶν ἐξ Ἰσραὴλ ὡς κατηχουμένων ἐκ τοῦ νόμου, καὶ νοούντων τὰ διαφέροντα· κτηνῶν δὲ ὡς ἀλογωτέρων τῶν ἐξ ἐθνῶν· παιδευθέντες γὰρ οἱ ἐξ Ἰουδαίων τὸ μυστήριον διὰ νόμου καὶ προφητῶν, ἐξέπεσον· οἱ δὲ οὐδέποτε ἀκηκοότες οἱ ἐξ ἐθνῶν προσελήφθησαν· τούτου χάριν προείρηκε· «Τὰ κρίματά σου ἄβυσσος πολλή.» Ἀνθρώπους λέγει πάλιν, τοὺς τὴν λογικὴν ἀξίαν φυλάττοντας· κτήνη δέ, τοὺς εἰς γῆν κάτω νεύοντας, καὶ τὰ γήϊνα βοσκομένους φρονήματα. Οὐ μόνον οὖν δικαίους, ἀλλὰ καὶ ἁμαρτωλοὺς εἰς σωτηρίαν ἐκάλεσεν.

«Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι.» Τουτέστι, σκεπαστὴν καὶ βοηθόν σε ἕξουσι τοῦ εὐαγγελικοῦ λόγου, φησίν.

«Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.» Χειμάρρους τρυφῆς ἐστιν ὁ Χριστὸς κατὰ τὸ εἰρημένον· «Ἐκκλίνω ἐπ' αὐτοὺς ὡς χειμάρρους ἐπικλύζων δόξαν ἐθνῶν.[2]» Ἔστι δὲ καὶ πηγὴ ζωῆς καὶ φῶς ἐκ φωτός.

«Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανείας.» Ἔξω τοῦ πάθους ἀξιοῖ γενέσθαι. «Καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με.» Μηδὲ μετακινησάτω με, φησί, τῆς παρὰ σοὶ στάσεως πρᾶξις ἄτοπος.

ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ΛϚʹ.

Ὑπόθεσις.

Διδασκαλίαν περιέχει ὁ ψαλμός, εἰσηγούμενος τῷ νέῳ λαῷ ἀποχὴν μὲν τῶν πονηρῶν, ἐπιτήδευσιν δὲ τῶν ἀγαθῶν· ἐξ ἑκατέρων πείθων, ἔκ τε τῆς τοῖς ἀγαθοῖς ηὐτρεπισμένης ἐλπίδος, ἔκ τε τῆς τοῖς πονηροῖς ἀποκειμένης κολάσεως.

«Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.» Παραινεῖ φεύγειν τὴν πονηρίαν, ὡς ἔκπτωσιν εἶναι παντὸς ἀγαθοῦ ταύτης ὑπογράφων τὸ τέλος.

«Καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ

---

1. Ῥωμ. 11, 32-33. 2. Ἠσ. 66, 12.

αὐτῆς.» Γῆν λέγει τὴν θεόπνευστον Γραφήν, ἐν ᾗ ὁ πλοῦτος τῶν ἁγίων, τουτέστιν αἱ ἐπαγγελίαι. Παραινεῖ διαπαντὸς τῶν θείων προσχέσθαι λογίων, ἔρωτι τῶν ἐν αὐτοῖς ἀποκειμένων τοῖς ἁγίοις ἀγαθῶν.

«Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει.» Ἔσῃ, φησί, φανερῶς τὴν ἀρέσκουσαν αὐτῷ βαδίζων ὁδόν.

«Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου.» Δῆλον γάρ ἐστιν, ὅτι ἐν τῷ μέλλοντι αἰῶνι, ὡς αὐτὸς ὁ Κύριος εἴρηκεν, ὅτι «οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος.[1]» Φῶς δὲ δικαιοσύνης γνῶσις· ἐπειδὴ καὶ ἡ δικαιοσύνη κανών ἐστιν ἀρετῶν. «Καὶ τὸ κρῖμά σου ὡς μεσημβρίαν.» Ἀντὶ τοῦ· Κρινεῖ σε ἄξιον ὄντα φωτός.

«Καὶ αὐτὸς ποιήσει.» Ὅταν ἐπ' αὐτῷ, φησί, ἐλπίσῃς, τότε καὶ αὐτὸς ποιήσει. Τί δὲ ποιήσει διαδείκνυσιν ἐπενεγκών· «Ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρῖμά σου ὡς μεσημβρίαν.» Τότε δὲ ἐξοίσει, φησίν, ἀντὶ τοῦ ἐμφανῆ καταστήσει, καὶ οἷον περίοπτον ἀποφανεῖ, λαθεῖν οὐκ ἐῶν τῆς εὐζωίας τὸ κάλλος. Ἔσται γὰρ ἅπασιν ἐναργὴς ἡ δικαιοσύνη σου δίκην φωτὸς ἀναλάμπουσα, φωτὸς μεσημβρινοῦ. Μεσημβρία γε μὴν ὀνομάζεται τῆς ἡμέρας αὐτὸ τὸ μεσαίτατον. Οὐ μόνον, φησί, δικαιοῖ τὸν ἐξομολογούμενον, καὶ κρῖμα αὐτῷ προσφέρει χρηστότητος, ἀλλὰ καὶ εἰς φῶς αὐτοῦ προσφέρει τὴν δικαιοσύνην, τουτέστι γνωρίζει πᾶσιν, ὅτιπερ αὐτὸν ἐδικαίωσεν. Οἷος ἦν ὁ λῃστής, οὗ τὸ κρῖμα ἐν μεσημβρίᾳ κατὰ τὸ μέσον τῆς ἡμέρας σταυρούμενος ὁ Ἰησοῦς ἐξήγαγε, καὶ τὴν ἐπ' αὐτῷ δικαιοσύνην εἰς φῶς, τουτέστιν εἰς πάντων γνῶσιν ἤνεγκεν. Ἡ γὰρ ἐπ' αὐτῷ φωνή, «Ἀμήν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ[2]», εἰς φανερὸν τῇ οἰκουμένῃ, μᾶλλον δὲ φῶς τῇ οἰκουμένῃ γεγένηται, προτροπὴ πᾶσι τοῖς ἐν μετανοίᾳ τυγχάνουσιν. Οὐκ ἔσται, φησί, κεκαλυμμένον τὸ τῆς δικαιοσύνης λαμπρόν, ὥσπερ νῦν, ἀλλ' ἐπιφανὲς ὥσπερ ἥλιος ἐν μεσημβρίᾳ, ὥσπερ ὁ Κύριός φησι· «Τότε οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν.[3]»

«Ὑποτάγηθι τῷ Κυρίῳ καὶ ἱκέτευσον αὐτόν.» Αὐτὸς μέν, φησί, ἄξιον ὄντα φωτὸς ἀποδείξει ἐν τῷ μέλλοντι αἰῶνι· σὺ δὲ ἐνταῦθα ὑποτάγηθι. «Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ.» Μὴ μιμήσῃ, φησίν, εὐδαιμονίαν ἐκ παρανομίας συγκροτουμένην.

[Μὴ θαύμαζε ἄνθρωπον παράνομον κατευθυνόμενον, μηδὲ μιμήσῃ εὐδαιμονίαν ἐκ παρανομίας συγκροτουμένην, μηδὲ πράττειν ἐρεθίζου τὰ ὅμοια· ἀλλ' εἰ καὶ κατὰ ῥοῦν αὐτῷ φέρεται πάντα, μὴ δάκνου μηδὲ δυσφόρει, ὅτι μὴ διδόασι δίκην οἱ πονηροί, ἀλλ' ἐν εὐθυνείᾳ διάγουσιν, ὡς μή τινος τὴν τίσιν εὐθύνοντος.

«Κρεῖσσον ὀλίγον τῷ δικαίῳ·» ἀντὶ τοῦ, μεῖζόν ἐστι μικρὸν ἔλεος τοῦ Κυρίου ὑπὲρ πάντα τὸν πλοῦτον τοῦ κόσμου.]

1. Ματθ. 13, 43. 2. Λουκ. 23, 43. 3. Ματθ. 23, 43.

«Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλειπε θυμόν.» Μὴ ἴδῃς αὐτῶν τὴν εὐημερίαν, ἀλλὰ πρόσμεινον τὸ τέλος, καὶ ὄψει τὸν ὄλεθρον. Ὀργὴ δέ ἐστιν ὄρεξις τιμωρίας· τιμωρία δέ ἐστι κακοῦ ἀνταπόδοσις. «Μὴ παραζήλου ὥστε πονηρεύεσθαι.» Εὖ ἴσθι, ὅτι οἱ μὲν τῆς θείας ἐλπίδος σφᾶς αὐτοὺς ἀναρτήσαντες, καὶ τὸν ἐπιεικῆ προαιρούμενοι βίον, ἐν ἀπραγμοσύνῃ καὶ εἰρήνῃ διατελοῦσι, τρυφὴν ἔχοντες μόνιμον τοῦ συνειδότος τὴν καθαρότητα· οἱ δὲ τῇ προσκαίρῳ εὐημερίᾳ θαρροῦντες ταχεῖαν δέξονται τὴν μεταβολήν, καὶ λήθῃ παραδοθήσονται παντελεῖ.

«Καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς.» Ὅμοιον τῷ εἰρημένῳ· «Οἱ δὲ ἀσεβεῖς ὁλόρριζοι ἀπολοῦνται.[1]»

«Καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.» Τρυφὴ δικαίου, πλῆθος εἰρήνης ἐστίν· ἀπάθεια δὲ ψυχῆς, μετὰ γνώσεως τῶν ὄντων ἀληθοῦς.

«Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον.» Τοῦτο καὶ ἐπὶ τοῦ διαβόλου ληφθῆναι πρόσφορον, καὶ διὰ τούτων παραψυχὴν τοῖς ἀδικουμένοις προσφέρει. Δείκνυσι γὰρ τὸν μὲν παράνομον λυποῦντα καὶ μεμηνότα κατὰ τῶν ἀπράγμονα βίον ἀσπαζομένων, τὸν δὲ δίκαιον κριτὴν καταγελῶντα τῆς ἐγχειρήσεως, ἅτε δὴ τὴν ταχεῖαν αὐτοῦ τελευτὴν προορῶντα.

«Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν.» Διαγελᾷ, φησί, τὰς κατὰ τοῦ δικαίου ἐπιβουλὰς τοῦ ἁμαρτωλοῦ· εἰδώς, ὡς ἔστησεν ἡμέραν καθ' ἣν τῷ μὲν ἀποδώσει τὴν αἰώνιον ζωήν, τῷ δὲ τὴν αἰώνιον κόλασιν.

«Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν... ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς καρδίαν αὐτῶν.» Ταῦτα, φησί, πεπόνθασιν οἱ πονηροὶ δαίμονες, ἃ ποιήσειν τοῖς ἁγίοις ἐπεβούλευσαν.

«Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων.» Ἀντὶ τοῦ, ἀποδέχεται καὶ τιμᾷ. «Καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται.» Ἄφθαρτοι γὰρ καὶ αἰώνιοι τῶν ἁγίων αἱ ἀνταποδόσεις.

«Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ.» Ἐν τοῖς τῶν διωγμῶν, φησί, καιροῖς, ἐκλειπόντων τῶν διδασκάλων, αὐτὸς ὁ Κύριος τῷ ἑαυτοῦ πνεύματι θρέψει τοὺς εἰς αὐτὸν πιστεύοντας.

[«Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ.» Καιρὸς πονηρὸς ὁ τῆς κατὰ τῶν ἀσεβῶν ὀργῆς, ἐν ᾧ οἱ μὲν τῆς δικαιοκρισίας τοῦ Θεοῦ πειραθήσονται· οἱ δὲ δόξαν καὶ τιμήν, καὶ ἀφθαρσίαν, καὶ ζωὴν αἰώνιον ἀπολήψονται.]

«Δανείζεται ὁ ἁμαρτωλός, καὶ οὐκ ἀποτίσει.» Οὐκ ἀντιδίδωσι, φησίν, ὁ ἁμαρτωλὸς εὐχαριστίαν ὑπὲρ ὧν εὐεργετεῖται παρὰ Θεοῦ. «Ὁ δὲ δίκαιος οἰκτείρει, καὶ δίδωσιν.» Ἀντιδίδωσι, φησίν, οἰκτιρμούς, τὸν ἑαυτοῦ Δεσπότην μιμούμενος.

«Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν.» Ὅμοιον

---

1. Ἰὼβ 4, 7.

τὸ εἰρημένον πρὸς Ἀβραάμ· «Τοὺς εὐλογοῦντάς σε εὐλογήσω, καὶ τοὺς καταρωμένους σε καταράσομαι.[1]»

«Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται.» Ἀποδέχεται, φησίν, ἣν ποιεῖται κατὰ τὸν βίον πρακτικὴν πορείαν.

«Ὅταν πέσῃ οὐ καταρραχθήσεται.» Εἰ καί, φησίν, συμβῇ ὀλίγον τι παρασφαλῆναι τὸν δίκαιον, οὐκ ἀδικηθήσεται ἔχων ἀντιστηρίζοντα τὸν Θεόν.

«Οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.» Τοὺς νοητούς φησιν, οἵτινές εἰσιν οἱ θεῖοι λόγοι.

«Καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.» Καὶ κληρονομήσεις, φησί, τὰς αἰωνίους σκηνάς.

«Δίκαιοι δὲ κληρονομήσουσι γῆν.» Πολλαχοῦ τῆς διδομένης γῆς τοῖς πραέσιν ἐμνημόνευσε, προτρεπόμενος εἰς ἐπιθυμίαν αὐτῆς.

«Στόμα δικαίου μελετήσει σοφίαν.» Προσήκει, φησίν, κἂν τῇ γλώττῃ, κἂν ἐν τῇ διανοίᾳ τὰ θεῖα λόγια περιφέρειν, καὶ τὴν τούτων μελέτην ποιεῖσθαι διηνεκῶς· οὕτως γὰρ τὸ πρακτέον μανθάνων ὁ τῆς ἀρετῆς ἐραστής, ἀτρεμὴς μενεῖ καὶ ἀσάλευτος, τῶν καταβάλλειν ἐπιχειρούντων περιγενόμενος. Ταῦτα καὶ ἐν τῷ πρώτῳ ψαλμῷ ἔφη· «Ἀλλ' ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός[2]», καὶ τὰ ἑξῆς. «Καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.» Δικαιοκρισίαν οὐ τὴν δικαστικήν, ἀλλὰ τὴν ἐξ ἀπλανοῦς καὶ ὑγιοῦς κριτηρίου.

«Ὁ νόμος τοῦ Θεοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον. Ὁ δὲ Κύριος...» Διαφόρως τὰ αὐτὰ λέγει, τῇ πλείονι μελέτῃ μονιμωτέραν κατασκευάζων τὴν μνήμην. Λέγει δέ· Οὐ περιόψεται τὸν δίκαιον ὁ Δεσπότης ἐπιβουλευόμενον ὑπὸ τῶν πονηρῶν, οὐδὲ συμψηφιεῖται αὐτοῖς τὰ τοιαῦτα τολμῶσιν· ἀλλ' ὑπερπηδῆσαι παρασκευάσει τὰ δίκτυα. Ταύτης ἀπήλαυσεν Ἀβραὰμ τῆς προνοίας, δὶς ἁρπαγείσης τῆς Σάρρας· ταύτης ὁ Ἰσαάκ, αὐτὸ τοῦτο παθών· ταύτης ὁ Ἰακώβ, ὑπ' ἀδελφοῦ καὶ κηδεστοῦ φθονούμενος· ταύτης ὁ Ἰωσήφ, ὑπὸ φθόνου καὶ συκοφαντίας πολεμηθείς. Καὶ τί δεῖ καταλέγειν ἅπαντα; ῥᾴδιον γὰρ τοῖς φιλομαθέσι καὶ τὰ πάλαι συλλέξαι, καὶ θεωρῆσαι τὰ νέα.

«Οὐδὲ μὴ καταδικάσεται αὐτὸν ὅταν κρίνηται αὐτόν.» Ἀντὶ τοῦ, ἐν τῷ κρίνεσθαι αὐτόν.

«Ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει.» Ἐκκοπτομένους, φησί, τοὺς ἁμαρτωλοὺς θεάσῃ.

«Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου.» Κατὰ τὸ εἰρημένον· «Σκιὰ ὁ βίος ἡμῶν.[3]»

«Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν.» Θεασάμενος, φησίν, ἄνδρας πονηροὺς εὐημεροῦντας, ἐνενόουν πῶς τούτου ἐπέτυχον· εἶτα τοιαῦτα

---

1. Γεν. 12, 3. 2. Ψαλμ. 1, 2. 3. Ἰὼβ 8, 9.

ἐννοῶν καὶ δεύτερα βουλευόμενος, θεωρῆσαι αὐτοὺς οὐκ ἴσχυσα· ἀλλ' οὐδὲ τὸν τόπον, ἐν ᾧ ἑστάναι ἐδόκουν, οὐκ ἠδυνάμην εὑρεῖν.

«Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα, ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.» Καὶ ἡ τιμωρία, φησί, τῶν πονηρῶν, καὶ τὸ «ἐγκατάλειμμα», ἤτοι ἡ κληρονομία τῶν ἀγαθῶν, παρασκευαζέτω σε ἐπιτηδεύειν ἁπλότητα.

ΨΑΛΜΟΣ τῷ Δαυὶδ εἰς ἀνάμνησιν περὶ τοῦ Σαββάτου.

ΛΖʹ.

Ὑπόθεσις.

Τοῦτον ᾄδει τὸν ψαλμόν, ἀναμιμνήσκων ἑαυτὸν τῆς συνεχούσης ταλαιπωρίας, ἧς ὑπέμεινε διὰ τὴν ἁμαρτίαν. Ἀξιοῖ δὲ δι' ἑαυτοῦ τὸν Θεόν, σαββατισμοὺς αὐτῷ δοῦναι, ἤτοι ἀνάπαυσιν τῶν συμφορῶν.

«Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.» [Οἱ ταῖς κολάσεσι διακονούμενοι δαίμονες, καὶ αἱ τιμωρητικαὶ δυνάμεις, τοῦ Θεοῦ ὀργὴ καὶ θυμὸς λέγονται. Ἱκετεύει οὖν μὴ διὰ πονηρῶν δυνάμεων ἐλεγχθῆναι, μηδὲ δι' ἀποστολῆς ἀγγέλων σκυθρωπῶν παιδευθῆναι, ἀλλὰ διὰ λόγων σωτηρίων.] Παιδεύει ἡμᾶς ὁ Κύριος, εἰς ἀνάμνησιν ἄγων τῆς ἀρετῆς. Ὁ δὲ ἅγιος οὐ τὸν ἔλεγχον ἢ τὴν παιδείαν παραιτεῖται, ἀλλὰ τὴν μετ' ὀργῆς καὶ θυμοῦ.

«Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι.» Βέλη τὰς τιμωρητικὰς δυνάμεις φησί. «Καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.» Καθήψατό μου, φησίν, ἡ χείρ σου, ὑπὲρ τῆς ἁμαρτίας παιδεύουσα.

«Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου.» Λελώβημαι τὴν σάρκα, ἐπενηνεγμένης μοι τῆς ὀργῆς. «Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.» Ἐξησθένησε, φησίν, ἡ δύναμις τῆς ἐμῆς ψυχῆς· ἡ δὲ αἰτία τῆς ἀσθενείας, ἡ ἁμαρτία.

«Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου.» Κατέκαμψέ με, φησίν, τὸ βαρὺ τῆς ἁμαρτίας φορτίον. Ἀνιᾷ δέ με καὶ τῶν σεσηπότων ἐκείνων τραυμάτων ἡ δυσοσμία, ἅ, τὴν φρόνησιν ἀποβαλών, καὶ τῇ ἀφροσύνῃ δουλεύσας, εἰσεδεξάμην. Οὗ δὴ χάριν πάσης θυμηδίας ἐστερημένος, ἀσχάλλω καὶ ἀλύω διηνεκῶς, καὶ τῆς σκυθρωπότητος μεταβολὴν οὐχ εὑρίσκω. «Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.» Βαρύτητα τὴν τῆς συνειδήσεως εἰς ἀπόγνωσιν ὤθησιν μετ' ἐπιτάσεώς φησιν.

«Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.» Πᾶσα γὰρ ἁμαρτία μυσαρά τε καὶ δυσώδης· εἰ μὴ γὰρ εἰς ἀφροσύνην καταπέσοι ἡ ψυχή, οὐκ ἂν ὑπομένοι τὴν ἁμαρτίαν. Ἐντεῦθεν τὴν φύσιν τῆς ἁμαρτίας γινώσκομεν. Ὁποία τίς ἐστι, πλὴν ὅτι ἀφροσύνης ἡμῖν συμφαίνουσιν αἱ ἁμαρτίαι;

«Ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.» Λεκτέον τοῦτο πρὸς τοὺς γελῶντας πολλὰ καὶ τερπομένους.

[«Ἐταλαιπώρησα καὶ κατεκάμφθην», καὶ τὰ ἑξῆς. Βαρύτητα τῆς συνειδήσεως ὡς εἰς ἀπόγνωσιν ὤθησιν.

«Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμῶν.» Ἐπειδήπερ φησίν, ἐπὶ τὸ καταπαίζειν μου λοιπὸν τοὺς ἐχθρούς μου ἑώρων· τοὺς νοητοὺς δὲ λέγει.]

«Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα.» Ἐξ ἐκείνης, φησί, τῆς ἐπιθυμίας ἐτρύγησα τὸ κύπτειν εἰς γῆν, καὶ διηνεκῶς ὀλοφύρεσθαι διὰ τὰς πικρὰς τῆς καρδίας ὀδύνας. Τούτου χάριν τῆς ἐπιθυμίας μεταβαλὼν τὴν ἐνέργειαν, ὑπουργὸν αὐτὴν κατέστησα τοῦ θείου βουλήματος. Τοῦτο γὰρ ἐπήγαγεν· «Ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.» Μαστίζων τὸ συνειδός, τὴν καρδίαν μου στεναγμοὺς ἀφιέναι ἐποίουν.

«Καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.» Τῆς μετανοίας, φησίν, ὁ πόθος στήτω ἐνώπιόν σου, ᾗ ἔχω ἐπιθυμίᾳ σωθῆναι βουλόμενος. Καὶ τίς ἡ ἐπιθυμία τοῦ Χριστοῦ; τὸ ὑπὲρ ἡμῶν ἐπιτελέσαι Πάσχα.[1]

«Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου.» Τὸ διαλογιστικὸν καρδίαν φησί. «Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.» Τὸ φῶς τῶν ὀφθαλμῶν τὸ πνεῦμα τὸ ἐκλάμπον τοῖς τῆς διανοίας αὐτοῦ ὄμμασιν.

«Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν.» Ἐν τῷ πεπληγέναι με, φησίν, ἀντέστησάν μοι. «Ταῦτα δὲ λέγει διὰ τὸν Ἀβεσσαλὼμ καὶ τὸν Ἀχιτόφελ. «Καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.» Οἱ γὰρ συνυπουργοῦντες αὐτῷ ἄγγελοι ἐγκατέλιπον αὐτὸν διὰ τὴν ἁμαρτίαν. Τάχα γὰρ καὶ αἱ δυνάμεις αἱ ἅγιαι ὑποχωροῦσιν ἐν καιρῷ πειρασμοῦ πρὸς δοκιμὴν τοῦ πειραζομένου, ἢ πρὸς κόλασιν.

«Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου.» Εἰκότως, τῶν ἀγγέλων καταλιπόντων αὐτόν, σφοδρότερον οἱ δαίμονες ἐπετίθεντο. «Καὶ οἱ ζητοῦντες τὰ κακά μοι, ἐλάλησαν ματαιότητας.» Ἐλάλουν, φησί, πρὸς ἑαυτούς, ἐπιβουλήν μοι σκευάζοντες.

«Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον», καὶ τὰ ἑξῆς Ταῦτα, φησίν, λαλούντων αὐτῶν, οὐδὲ ἀκούειν ἐδόκουν, οὐδὲ λαλεῖν τῆς παρρησίας μου διὰ τῆς ἁμαρτίας ἀφῃρημένης.

«Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα... ὅτι εἶπα· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου.» Τῶν τοσούτων, φησί, συμβάντων κακῶν, μίαν ἔχω σωτηρίας ἐλπίδα, τὴν ἐκ σοῦ γενησομένην μοι ἐπικουρίαν.

«Καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.» Μέγα, φησί, δέδωκε φρονεῖν αὐτοὺς κατ' ἐμοῦ ἡ ἁμαρτία σαλεύσασά μου τοὺς πόδας.

«Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.» Ἡδέως δέχεσθαι τὴν ἐπιστρεπτικὴν παιδείαν φησίν.

1. Λουκ. 22, 5.

«Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.» Διὰ δὴ τοῦτο κατήγορος ἐμαυτοῦ γίνομαι, καὶ πᾶσαν φροντίδα τῆς ὑγιείας ποιήσομαι

«Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ.» Καίτοι, φησί, μὴ ἀνεπαισθήτως ἔχων τῆς ἁμαρτίας, ἀλλὰ μεριμνῶν περὶ αὐτῆς διαπαντός, ὁρῶ τοὺς ἐχθρούς μου κραταιουμένους. Οὗτοι δὲ οἱ ἐχθροί, μηδὲν ἄδικον παρ' ἐμοῦ πεπονθότες, διαβάλλοντές μου τὴν ἁμαρτίαν, καὶ πρόφασιν αὐτὴν ποιούμενοι τοῦ κατ' ἐμοῦ πολέμου, κατεδίωκόν με, δίκαια λέγοντες ποιεῖν. Τοιγαροῦν καὶ γεγένημαι παρ' αὐτοῖς ὡς νεκρὸς ἐβδελυγμένος· διὸ δὴ καὶ δέομαι, σὲ τὸν Κύριον μὴ ἀποστῆναι ἀπ' ἐμοῦ· σπεῦσαι δὲ μᾶλλον εἰς τὴν βοήθειαν τὴν ἡμετέραν.

ΨΑΛΜΟΣ εἰς τὸ τέλος, Ἰδιθούμ, ᾠδὴ τῷ Δαυΐδ.

ΛΗ'.

Ὑπόθεσις.

Ἱεροψάλτης ὑπάρχων Ἰδιθούμ, καὶ προφητικῇ χάριτι κατεστεμμένος, ᾠδὴν ἀναβάλλεται, προσωποποιίαν εἰσφέρων αὐτοῦ τοῦ Δαυΐδ ἐξομολογουμένου ἐπὶ τῇ ἁμαρτίᾳ.

«Εἶπα· Φυλάξω τὰς ὁδούς μου.» Ἀπόδειξις σαφὴς ἱδρυμένης καρδίας. «Ἐθέμην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.» Παριστάμενοι γὰρ αὐτῷ οἱ νοητοὶ ἐχθροί, ὠνείδιζον αὐτοῦ τὴν ἁμαρτίαν.

«Ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν.» Λοιδορούμενος, φησίν, οὐκ ἀντελοιδόρουν, συνιδὼν τὴν ἔκπτωσίν μου τῶν ἀγαθῶν. «Καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.» Ἀντὶ τοῦ λέγειν πρὸς τοὺς λοιδοροῦντας, τῆς ἁμαρτίας ἀνεμίμνησκον ἐμαυτῷ. Ἡ δὲ μνήμη τῆς ἁμαρτίας οἷα πῦρ περὶ τὴν καρδίαν μου ἐγένετο.

«Καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ.» Ἐν τῷ ἀναμιμνήσκεσθαί με τοῦ ἁμαρτήματος, φησίν, ἐκαιόμην πυρί.

«Ἐλάλησα ἐν γλώσσῃ μου· Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου.» Τό, ἐν γλώσσῃ, οἷον ἠρέμα καὶ ψιθυρίζων, καὶ μὴ εἰς πολλοὺς ἐκφέρων τὸν λόγον. Ὁ δὲ λόγος ἐρώτησις ἦν περὶ τῶν λοιπῶν ἡμερῶν. Ἠρώτα δέ, μαθεῖν βουλόμενος εἰ ἐξαρκέσει αὐτῷ εἰς μετάνοιαν ὁ λοιπὸς τῶν ἡμερῶν χρόνος.

«Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου· καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου.» Εἰ καὶ εἰς μῆκος, φησί, παρατείνει μοι ζωή, ὡς οὐδὲν ἐνώπιόν σου λογισθήσεται. Εἰ γὰρ χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡς ἡμέρα μία, τί ἂν εἴη χρόνος ἑνὸς ἀνθρώπου; Τοῦτο πάλιν ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· «Ἰδοὺ ὡς σπιθαμὰς ἔδωκας τὰς ἡμέρας μου, καὶ ἡ βίωσίς μου ὡς οὐδὲν ἄντικρύς σου.» Σὺ μὲν γὰρ ἄναρχος καὶ ἀπέραντος· ὁ δὲ ἡμέτερος βίος οἷόν τισι σπιθαμαῖς καὶ παλαισταῖς

ἐκμεμέτρηται. Διὰ τούτου παρεδήλωσε τὸ ὀλιγοχρόνιον τῆς ἀνθρωπίνης ζωῆς

«Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται.» Εἰ δέ, φησίν, ἐν εἰκόνι, καὶ οὐκ ἐν ἀληθείᾳ πορεύεται ἄνθρωπος, εἰκότως ματαιότητα προεῖπεν· ἐπειδὴ οὐ τὴν ἀληθινὴν ζωήν, ἀλλ' ἐν εἰκόνι τινί· οὐδὲ τὴν σπουδὴν τῶν ὄντων ἀγαθῶν ποιοῦμεν· διὸ καὶ μάτην ταραττόμεθα Ὁ βίος, φησί, τῶν ἐπὶ γῆς, ἅτε περὶ φροντίδας στρεφόμενος κοσμικάς, κριθείη ἂν ματαιότης. Ἢ οὕτως: Σύμπαντα τὰ ἔτη τῆς ἡμετέρας ζωῆς ἀτμίς ἐστιν ἐνώπιόν σου· ἀντὶ γὰρ «ματαιότητος» ὁ Σύμμαχος «ἀτμὶς» ἐξέδωκε. «Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.» Ἐπειδὴ οὐ τὴν ἀληθῆ ζῶμεν ζωὴν νῦν, ἀλλὰ τὴν ὡς ἐν εἰκόνι· οὐδὲ περὶ τὰ ὄντως ἀγαθὰ ποιούμεθα τὴν σπουδήν· διὸ μάτην ταρασσόμεθα, περὶ τὰς κοσμικὰς ἐπιθυμίας στρεφόμενοι, συνάγοντες θησαυρούς, ὧν οὐκ ἴσμεν διαδόχους.

«Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος;» Εἰκότως τὴν ἐλπίδα ἐπὶ Κύριον ἔχειν φησίν, ἅτε καταγνοὺς τῶν ἐν βίῳ περισπασμῶν. «Καὶ ἡ ὑπόστασίς μου παρὰ σοί ἐστιν.» Ἡ προσδοκία, ἤτοι ἡ ὑπομονή.

«Ὄνειδος ἄφρονι ἔδωκάς με.» Μὴ παραδῷς με, φησίν, εἰς ὀνειδισμόν, διὰ τὸ εἰς ἐμὲ εἶναί σε τὸν λοιδορούμενον

«Ἐκωφώθην, καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας.» Λοιδορούμενος, φησίν, ἐσίγων, εἰδὼς ἀκριβῶς περὶ αὐτῆς, ὅτι σὺ εἶ ὁ τιμωρίας ἤτοι παιδείας χάριν τάξας με εἰς αὐτὸ τοῦτο ὀνειδίζεσθαι.

«Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου.» Τὰς γινομένας αὐτῷ παρὰ τῶν δαιμόνων τιμωρίας λέγει, οὐ συγχωροῦντος αὐτοῖς τοῦ Θεοῦ. Τὰς γινομένας αὐτῷ παρὰ τῶν δαιμόνων τιμωρίας παρὰ τοῦ Θεοῦ λέγει, ὡς συγχωροῦντος αὐτὸν διὰ τὴν ἁμαρτίαν παθεῖν. «Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.» Πολλάκις ἤδη τὴν κολάζουσαν δύναμιν χεῖρα τοῦ Θεοῦ λέγεσθαι ἐμνημονεύσαμεν. Ὅταν αυτοὺς ἰσχυρῶς μαστίζῃ, ἐκλείπει ὁ καλαζόμενος, καθὸ τοιοῦτός ἐστιν, ἀσθενὴς δηλονότι καὶ μὴ δυνάμενος ἐφ' ἱκανὸν ἀντέχειν πρὸς μάστιγας.

[«Πλὴν μάτην ταράσσονται.» Ὁ ἐν ἀνομίᾳ ζῶν, ὡς καὶ τοιαύτης παιδείας δεηθῆναι.]

«Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον.» Ἐλέγχων με, φησίν, ἐπὶ τῇ ἁμαρτίᾳ ἐπαίδευσας.

«Τῆς δεήσεώς μου ἐνώτισαι.» Ἀντὶ τοῦ, Εἰσάκουσον, καὶ συγχώρησον τὴν ἁμαρτίαν πρὸ τῆς τελευτῆς [Τοῦτο γὰρ σημαίνει· «Ὅτι πάροικός εἰμι.»] «Ἄνες μοι, ἵνα ἀναψύξω.» Πρὸ τῆς τελευτῆς μου, φησίν, ἁμαρτιῶν πάρασχον ἄφεσιν, ἵνα θαρρῶν εἰς ᾅδου πορεύσωμαι. «Καὶ οὐκέτι ὑπάρξω.» Οὐχ ὑπάρξω τοιοῦτος οἷος ἂν καὶ γενοίμην ἐκ τῆς πρὸς σοῦ μοι γενομένης ἀνέσεως. Ἄνεσις δὲ Θεοῦ ἐστιν ἀπάθεια ψυχῆς μετὰ γνώσεως τῶν ὄντων ἀληθοῦς.

Εἰς τὸ τέλος ΨΑΛΜΟΣ τῷ Δαυΐδ.

ΛΘ'.

Ὑπόθεσις.

Ἀναφέρεται ἡ ᾠδὴ ἐκ προσώπου τοῦ νέου λαοῦ τοῦ ἀνακομισθέντος ἐκ λάκκου ταλαιπωρίας. Εἶτα μεταξὺ εἰσφέρεται τὸ τοῦ Χριστοῦ πρόσωπον, τοὺς εὐχαριστοῦντας διδάσκων τῆς οἰκονομίας τὸν τρόπον· εἶτα πάλιν τῶν πιστευσάντων ἐκ τοῦ Ἰσραὴλ τὸ πρόσωπον, ἀξιούντων ῥυσθῆναι τῆς διὰ τὴν ἀπείθειαν ἁμαρτίας, ἅμα δὲ καὶ διηγουμένων αὐτοῖς τὰ συμβεβηκότα διὰ τὴν ἀπιστίαν κακά.

«Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχεν μοι.» Ὅμοιον τῷ· «Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.[1]»

«Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας.» [Καὶ τί σοι παρέσχεν; Εἰσακούσας εἶπεν· Ἀνήγαγεν ἐκ βάθους τῆς ἁμαρτίας, καὶ ἐκ τῆς ἡδυπαθείας τοῦ πηλώδους σώματος, ἢ ἐκ τῶν τοῦ θανάτου πυλῶν, καὶ ἐκεῖσε φθορᾶς, ἢ ἐκ τοῦ κόσμου περισπασμῶν.] «Καὶ ἀπὸ πηλοῦ ἰλύος.» Ἐκ βάθους ἁμαρτίας αἳ ἰλύος δίκην καταπάσσουσι τοὺς ἁλόντας ἐν αὐταῖς. Λάκκος γὰρ ταλαιπωρίας, κακία καὶ ἀγνωσία. «Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.» Φησὶν ὁ ἀπόστολος Παῦλος, ὅτι «Ἡ πέτρα ἦν ὁ Χριστός·[2]» ἔμαθον γὰρ τὴν ἀρέσκουσαν Θεῷ βαδίζειν ὁδόν, ἤτοι διὰ τῆς πρακτικῆς καὶ τῶν ὀρθῶν δογμάτων.

«Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ Θεῷ ἡμῶν.» Τὸν νόμον τὸν εὐαγγελικόν· μετὰ γὰρ τὴν ἀπάθειαν ᾄδομεν ᾆσμα καινὸν ἀνακαινισθέντος τοῦ οἴκου ἡμῶν. «Ὄψονται πολλοί, καὶ φοβηθήσονται καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.» Διεδόθη γὰρ εἰς πάντα κόσμον τὸ κήρυγμα.

«Μακάριος ἀνὴρ οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.» Μόνον τὸν τὴν ἐλπίδα ἐπιγραψάμενον εἰς Θεὸν μακάριόν φησιν, οὐ τὸν περισπασθέντα βιωτικαῖς μερίμναις, αἵτινες καὶ μανία καὶ ψεῦδός εἰσιν.

[«Ἐλπὶς αὐτοῦ.» Εἶτα καὶ εἰς προτροπὴν ἕτερον ἐπιφέρει· Μακαριστός, φησί, τῷ ὄντι, ὃς τὸν Θεὸν μόνον ἔσχεν ἐλπίδα, καὶ οὐκ ἐπέβλεψεν εἰς τὰς περὶ τὸν παρόντα βίον σπουδάς, αἳ ματαιότητές εἰσι, καὶ μανίαι ψευδεῖς, καὶ εἰς κενὸν φροντίδες. Μανία δὲ σώφρων ἡ τοῦ παρόντος βίου κατάστασις, δι' ἣν καὶ ἐξεστηκότες τοῖς πολλοῖς ἐδόκουν οἱ προφῆται, ἐφ' ᾗ καὶ σεμνυνόμενος καὶ ὁ δίκαιος λέγει· «Εἶπα ἐν τῇ ἐκστάσει μου.»[3]]

«Πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου.» Ἃ πέπραχας, φησίν, ἐν τῷ τῆς οἰκονομίας καιρῷ, πολλά ἐστι καὶ θαυμάσια· ἃ καὶ ἑτέροις ἀπήγγειλα. Ἡ δὲ ἐπαγγελία ὅλην, φησί, δι-

1. Λουκ. 21, 19. 2. Α' Κορ. 10, 4. 3. Ψαλμ. 115, 2.

έδραμε τὴν ὑπ' οὐρανόν, ὡς καὶ κρείττονας ἀριθμοῦ γενέσθαι τοὺς πιστεύσαντας.

«Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.» Ἐντεῦθεν εἰσφέρεται τὸ τοῦ Χριστοῦ πρόσωπον πρὸς τὸν Πατέρα λέγον. Ἐπειδή, φησί, θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, οὔτε μὴν ηὐδόκησας ἐν ὁλοκαυτώμασι τοῖς κατὰ τὸν νόμον· ἥκω σῶμα λαβὼν ὅπερ αὐτός μοι κατηρτίσω. Πνεῦμα γὰρ ἅγιον καὶ Ὑψίστου δύναμις ἐπεσκίασε τῇ ἁγίᾳ Παρθένῳ. Ἥκω δὲ «ἵνα τὸ σὸν ποιήσω θέλημα.» Ποῖον γὰρ ἦν τὸ θέλημα τοῦ Πατρός, ἢ ὁ αὐτὸς ὁ Κύριος ἐξηγήσατο εἰρηκώς· «Τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ τῇ ἐσχάτῃ ἡμέρᾳ;[1]» Τὸ δέ, «ἐν κεφαλίδι βιβλίου», ταύτην ἔχει τὴν ἑρμηνείαν. Κεφαλίδα οἱ Ἑβραῖοι τὸν νόμον φασίν. Ἡσαΐας δὲ τὸ τῆς ἐνανθρωπήσεως μυστήριον τοῦ Μονογενοῦς διδασκόμενος ἤκουσε· «Λαβὲ τόμον καινόν, καὶ γράψον ἐν αὐτῷ γραφίδι ἀνθρώπου.[2]» Συμβαίνει ὡς οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλὰ σαρκίναις, γραφήσονται τὰ θεσπίσματα τοῦ καινοῦ νόμου, καθώς φησι δι' Ἱερεμίου τοῦ προφήτου· «Διδοὺς δώσω νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίαις αὐτῶν γράψω αὐτούς[3]», ἵνα δηλοῖ, ὅτι τοῖς ἐνδοτάτοις καὶ νοητοῖς τῆς καρδίας ταμείοις ἡ Ἐκκλησία τὸν καινὸν παραδέξηται νόμον, καὶ τὰς ἐντολὰς σφόδρα θελήσῃ.

«Εὐηγγελισάμην δικαιοσύνην ἐν Ἐκκλησίᾳ μεγάλῃ.» Ἐκκλησία μεγάλη ἡ κατὰ πᾶν ἔθνος πιστεύσασα τῷ Σωτῆρι ψυχή· ἢ καὶ δεδικαίωται αὐτὸν ἔχουσα τὸν δικαιοῦντα τὸν ἀσεβῆ. «Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου.» Δικαιοσύνην μὲν τὴν δι' αὐτοῦ κεκηρυγμένην φησί, τὴν ὑπὲρ νόμον καὶ σκιάν· τό δέ, «ἔγνως», ἐντὶ τοῦ, ἰδιοποιήσω. «Τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα.» Οὐ σεσίγηκα, φησί, οὐδὲ συνέσχον ἐν ἐμαυτῷ τὴν ἀλήθειάν σου. Ἀλήθειαν δέ φησι τὸ εὐαγγελικὸν κήρυγμα. Ἀλλ' οὐδὲ ἔκρυψα τὸ σωτήριόν σου, τουτέστι τῆς παρὰ σοῦ δοθείσης σωτηρίας τὴν ὁδόν, ἤτοι τὴν διὰ τῆς πίστεως χάριν. Συναγωγὴν δὲ πολλήν, τὴν ἐκ τοῦ Ἰσραὴλ καὶ τῶν ἐθνῶν συνειλεγμένην Ἐκκλησίαν φησίν. Ἀποκαλύπτει γὰρ ὁ Χριστὸς τοὺς περὶ ἐλέους καὶ ἀληθείας λόγους τῇ φύσει τῇ λογικῇ, καὶ τοὺς περὶ σωτηρίας. Καὶ τοὺς μὲν περὶ ἀληθείας λόγους εὑρήσει ἐν τῇ θεωρίᾳ, τοὺς δὲ περὶ σωτηρίας ἐν τῇ πρακτικῇ.

«Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ.» Διδάξαντος τοῦ Χριστοῦ τὸ περὶ τῆς οἰκονομίας μυστήριον, εἰσκομίζεται τοῦ Ἰσραὴλ τὸ πρόσωπον τοῦ μείναντος ἐν ἀπειθείᾳ. Ὡς γὰρ ἀπειθήσας τῷ ἐλέει τοῦ Θεοῦ, καὶ διὰ τοῦτο παρεωραμένος, καὶ ἐν παντὶ γεγονὼς κακῷ, ἀνανήφει πρὸς μετάγνωσιν, κατοικτείρεσθαι παρακαλῶν. Σημαίνεται δὲ ἡ ἐπ' ἐσχάτου καιροῦ γενησομένη

1. Ἰω. 6, 40. 2. Ἡσ. 8, 1. 3. Ἱερ. 38, 33.

κλῆσις αὐτῶν. «Τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διαπαντὸς ἀντιλάβοιντό μου.» Ὁμολογοῦμεν, φησίν, ὅτι αὐτὸς εἷς ὁ πάλαι σῴζων ἡμᾶς καὶ ἀντιλαμβανόμενος. Καὶ τυχοῦσα τῆς σωτηρίας ἡ τοῦ Θεοῦ Ἐκκλησία, δεῖται πάλιν τῆς τοῦ Θεοῦ προμηθείας διὰ τὰς παντοδαπὰς τῶν ἀνθρώπων καὶ δαιμόνων ἐπαναστάσεις, ὧν ἐν τοῖς ἑξῆς μνήμην ποιεῖται.

«Ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριθμός.» Τὰ μετὰ τὴν ἀπιστίαν τὴν εἰς Χριστὸν συμβεβηκότα αὐτοῖς διηγεῖται κακά. «Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με.» Ὅμοιον ὡσεὶ ἔλεγεν· Ἴσος γέγονα τοῖς οὐκ ἔχουσι νοῦν ἢ καρδίαν· γέγονε γὰρ λαὸς μωρός, καὶ οὐχὶ σοφός.

«Ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά.» Ἢ τῶν νοητῶν ἐχθρῶν καταβοῶσιν, ἢ τῶν Γραμματέων καὶ Φαρισαίων τῶν ἐπιβουλευσάντων τῇ σωτηρίᾳ τῆς ψυχῆς αὐτοῦ, λεγόντων αὐτῶν περὶ Χριστοῦ ποτὲ μέν· «Οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν Βεελζεβούλ·[1]» ποτὲ δέ· «Δαιμόνιον ἔχεις, τίς σε ζητεῖ ἀποκτεῖναι;[2]»

«Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· Κύριος φροντιεῖ μου.» Ὁ πάνυ θρασὺς Ἰσραήλ, ἐν μεταγνώσει γενόμενος, πένητα καὶ πτωχὸν ἑαυτὸν ἀποκαλεῖ. Καὶ μὴν καὶ αὐτὸν ἔχειν τὸν Κύριον τὴν ἐλπίδα ἐπιγράφεται.

«Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σύ· ὁ Θεός μου, μὴ χρονίσῃς.» Εἰς δὲ ταῦτα τὰ τέλη, φησί, προβήσεται ἡ Ἐκκλησία πτωχεύσασα πρότερον καὶ διὰ πενίας πολλῆς ἐλθοῦσα ἐν κόσμῳ, καὶ τῇ παρὰ σοῦ πλουτήσασα δυνάμει, καὶ τῇ παρὰ σοῦ δοξασθεῖσα ἐπικουρίᾳ, ἣν αἰτεῖ μὴ χρονίζειν, καὶ διὰ τὴν αἴτησιν οὐ χρονιεῖ, καθὰ λέγεται τό· «Ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.[3]»

Εἰς τὸ τέλος ΨΑΛΜΟΣ τῷ Δαυίδ.
Μ'.
Ὑπόθεσις.

Ὁ προκείμενος ψαλμὸς μακαρίζει τοὺς πιστεύσαντας εἰς αὐτὸν τὸν Χριστόν· καὶ μὴν καὶ ἀμοιβὰς αὐτοῖς τῆς πίστεως δίδωσι τὴν παρ' αὐτοῦ ἐπικουρίαν. Εἰσφέρεται δὲ καὶ αὐτὸ τοῦ Σωτῆρος τὸ πρόσωπον , καταλέγον τῶν τε ἀρχόντων τοῦ Ἰουδαίων λαοῦ καὶ αὐτοῦ τοῦ προδότου ἐξαιρέτως.

«Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα.» Πτωχὸν καὶ πένητα τὸν Χριστὸν ἀποκαλεῖ κατὰ τὸ εἰρημένον· «Πλούσιος ὢν ἐπτώχευσε δι' ἡμᾶς.[4]» Ἠθικὴν ἐνταῦθα διδασκαλίαν τῆς προφητείας προέταξεν, ὠφελῆσαι τὸν ψαλμὸν τὰ ἐξ ἑκατέρου βουλόμενος. Καὶ τίνα μακαρίζει; τὸν ἐπὶ πτωχὸν συνιέντα καὶ πένητα· τουτέστι τὸν

---

1. Ματθ. 12, 24. 2. Ἰω. 7, 20. 3. Ἀββ. 2, 3. 4. Β' Κορ. 38, 9.

νοοῦντα, ὅτι τούτου χάριν ὁ Χριστὸς πλούσιος ὢν ἐπτώχευσε, ἵνα καὶ ἡμεῖς τοὺς πτωχοὺς ὡς ἀδελφοὺς τοῦ ἡμετέρου Δημιουργοῦ καὶ κριτοῦ ἐλεήσωμεν. Καὶ τί τῆς φιλοπτωχίας τὸ κέρδος; «Ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.» Δηλοῖ δὲ τὴν τῆς κρίσεως ὀδύνας τοῖς ἁμαρτωλοῖς καὶ πόνους ἐπιφέρουσαν. Ῥύσεται φῶς τοὺς φιλοπτώχους ὁ Κύριος. Χρεωστεῖ γὰρ αὐτοῖς φιλανθρωπίαν, ὡς αὐτὸς τὴν ἐλεημοσύνην παρ' αὐτοῖς δανεισάμενος· καὶ διὰ μὲν τοῦ Σολομῶντος εἰπών· «Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεόν·[1]» οἰκείᾳ δὲ γλώττῃ· «Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.[2]» «Ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.» Ἡμέραν πονηρὰν τὴν τῶν πειρασμῶν ἐπίθεσίν φησι καὶ τὰς διώξεις τῶν ἐχθρῶν. Αἰνίττεται δέ, οἶμαι, καὶ τὴν τῆς κρίσεως ἡμέραν φοβερὰν οὖσαν, καὶ τῶν παρανόμων κακωτικήν. Ὑπισχνεῖται τὴν εἰλικρινῆ γνῶσιν τῆς πτωχείας ἐκείνης· τῶν τῆς φοβερᾶς αὐτὸν ἡμέρας ἀπαλλάξαι κακῶν.

[Μακάριος ὁ ἀνὴρ ἐκεῖνος ὁ ἐννοῶν ἃ προσῆκε περὶ τῶν πενήτων, ἀντὶ τοῦ· Ὁ συνιέναι δυνάμενος τὴν πτωχείαν, ἣν δι' ἡμᾶς ἀνείληφεν ὁ Χριστός.]

«Κύριος διαφυλάξαι αὐτὸν καὶ ζῆσαι αὐτόν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ.» Ἐχθρῶν τῶν νοητῶν δηλονότι.

«Ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.» Πρὸς τὰ ἀμείνω μετενεχθήσεται, φησί, καὶ μεταβολὴν ἕξει πρὸς εὐρωστίαν. Ἔθος γὰρ τῇ θείᾳ γραφῇ τὴν στροφὴν ἀντὶ τῆς μεταβολῆς τιθέναι, ὡς τό· «Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί.[3]»

«Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου.» Καὶ ὑπὲρ τῆς ἰδίας ἁμαρτίας ὁ Δαυὶδ εὔχεται, ἅτε δὴ ἐν ἑαυτῷ εἰδὼς ἕνα τῶν συνιέντων ἐπὶ πτωχὸν καὶ πένητα. Πάλιν τὰς ἀνθρώπων ἁμαρτίας ἰδίας ὁ ὑπὲρ ἀνθρώπων πάσχων λέγει, καὶ τὸν ἐπὶ ταύταις ἔλεον εἰς ἡμᾶς ἐφ' ἑαυτοῦ ζητεῖ, ὃς λύει τὴν τῶν ἀγνοούντων ἐπ' αὐτῷ καταφρόνησιν, ἐκφαίνων τὴν δόξαν· ἐπ' αὐτοῦ μὲν κατὰ τὴν ἰδίαν δύναμιν, ἐφ' ἡμῶν δὲ κατὰ τὴν Χριστοῦ χάριν.

«Οἱ ἐχθροί μου εἶπον κακά μοι.» Ἐντεῦθεν τὸ πρόσωπον εἰσφέρεται τὸ τοῦ Χριστοῦ, διηγούμενον τὰ παρὰ τῶν Ἰουδαίων αὐτῷ γεγενημένα. Μέχρι μὲν τοῦ παρόντος στίχου περὶ πάσης τῆς καθολικῆς Ἐκκλησίας εἰρηκέναι τὸν προφήτην ὑποληπτέον, ὡς ἑκάστῳ τῶν σπουδαίων ἁρμόττειν μᾶλλον ἢ τῷ Κυριακῷ ἀνθρώπῳ. Οὐ γάρ, ὥς τινες ὑπειλήφασι, περὶ αὐτοῦ καὶ μόνου φάσκει τὰ εἰρημένα· οὐ γὰρ ἔφησε μετὰ τοῦ ἄρθρου· «Μακάριος ὁ συνιὼν ἐπὶ τὸν πτωχὸν καὶ πένητα.» Τοῦτο δὲ χωρὶς ἄρθρου λεγόμενον τὸν τινὰ σημαίνει καὶ μερικόν. Μετὰ δὲ ταῦτα μέτεισεν ἀπὸ τῶν ἄλλων τῆς Ἐκκλησίας μελῶν ἐπ' αὐτὸν ἐκεῖνον τὸν Κύριον δηλονότι Χριστόν, ὅστις

1. Παρμ. 19, 17. 2. Ματθ. 25, 40. 3. Ψαλμ. 29, 12.

δὴ καί φησιν· «Οἱ ἐχθροί μου», καὶ τὰ ἑξῆς. «Πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;» Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος γάρ.

«Καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει.» Ταῦτα περὶ τοῦ Ἰούδα φησίν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ἐσχηκὼς εἴσοδον πρός με, διὰ τὸ τετάχθαι ἐν μαθηταῖς, δίγλωσσος καὶ πολυπράγμων ἦν· ἐλάλει γὰρ μάτην, τουτέστιν οὐκ ἀληθὴς ἦν. «Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ.» Ἐκεκρίκει, φησί, παραδοῦναι τοῖς φθονοῦσιν ἐμέ. «Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό·» τό, «Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν;[1]»

«Κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου.» Τὰ κατ' αὐτοῦ τῶν Ἰουδαίων σκώμματα, τὰς κατ' αὐτοῦ τῶν Ἰουδαίων συσκευὰς σημαίνει, καὶ τὰ λεληθότα σκέμματα, τοὺς ἀρχιερεῖς τοὺς συμφωνοῦντας πρὸς τὸν Ἰούδαν λέγων, οἵτινες ἐψιθύριζον, τὰ περὶ τοῦ Ἰησοῦ σύμφωνα πρὸς τὸν Ἰούδαν τιθέμενοι. «Ἐψιθύριζον·» οὐδὲ γὰρ ἐτόλμων φανερῶς ταῦτα τὸ πλῆθος εὐλαβούμενοι τίθεσθαι.

«Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ.» Τό, «Ἆραι, ἆραι, σταύρωσον αὐτόν.[2]» Οὗτος δὲ ὅτι παράνομος ἦν, δῆλον ἐκ τοῦ εἰρημένου· «Ἀθῶον καὶ δίκαιον οὐκ ἀποκτενεῖς.[3]» «Μὴ ὁ κοιμώμενος, οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;» Διαγελᾷ τῶν Ἰουδαίων τὰ σκέμματα ὡς οἰομένων διὰ τοῦ θανάτου θραύειν αὐτὸν ὡς ἕνα τῶν καθ' ἡμᾶς. Ὁ δέ φησι· Πῶς νομίζετε θανάτῳ περιβαλεῖν τὴν ζωήν; Ὕπνος γάρ ἐστιν ἐμοὶ τὸ παθεῖν. Ἀναγκαίως δὲ λέγει τῇ κοιμήσει τὴν ἀνάστασιν ἕπεσθαι. Ἡ δὲ κοίμησίς ἐστιν ὁ θάνατος· ἀναγκαίως τῷ θανάτῳ ἀκολουθήσει καὶ ἡ ἀνάστασις.

«Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.» Ἐμπαιγμόν, ἐπιβουλήν, δόλον. Εἰρήνης ἄνθρωπον τὸν Ἰούδαν φησί, διὰ τὸ δοκεῖν ἐν τοῖς εὐνοοῦσιν αὐτῷ τετάχθαι καὶ φίλοις· τόγε ἥκων εἰς τὸ εἶναι μαθητήν.

.«Σὺ δέ, Κύριε, ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.» Ἀνθρωπίνως μᾶλλον διὰ τὴν κένωσιν πρὸς τὸν ἑαυτοῦ Πατέρα ποιεῖται τὸν λόγον, καίτοι αὐτὸς ὢν τὸ ἔλεος τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ ἀνάστασις καὶ ἡ ζωή.

«Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με.» Λαλεῖ πάλιν ὡς ἄνθρωπος, ἵνα ἑαυτὸν παραθῇ τῷ Θεῷ καὶ Πατρί. «Ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.» Εἰ μὲν ἐκ προσώπου τῆς ἀνθρωπότητος ταῦτα λέγει ὁ Χριστός, ἐχθρὸς ἂν νοηθείη ὁ τὸν θάνατον ἡμῖν κατασκευάσας· εἰ δὲ ὡς ἐξ αὐτοῦ τοῦ Χριστοῦ, τῶν Ἰουδαίων τοὺς ἄρχοντάς φησιν. Ὅτι γὰρ λελύπηνται, δῆλον ἐκ τοῦ συκοφαντῆσαι αὐτοῦ τὴν ἀνάστασιν.

«Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου.» Ἡ πάντων ἀντίληψις ἀντιλήψεως τετυχηκέναι φησίν· οὐκ αὐτὸς ταύτης δεόμενος, καθ' ὃ νοεῖται

1. Ματθ. 26, 15. 2. Ἰω. 19, 15. 3. Ἔξ. 23, 7.

Θεός, ἀλλὰ γενόμενος ἄνθρωπος, ὑπὲρ ἀνθρώπων ποιεῖται λόγους.

«Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ τοῦ ἀπὸ τοῦ αἰῶνος.» Σφραγίζει καὶ νῦν εἰς εὐχαριστίαν τὴν προκειμένην ᾠδήν. Ἀπὸ τοῦ παρόντος, φησίν, εἰς τὸν μέλλοντα· οὐκοῦν ἀπὸ μὲν τοῦ παρόντος ἡ εὐλογία παρ' ἡμῶν εἰς τὸν Θεὸν ἄρχεται, τελειοῦται δὲ ἐν τῷ μέλλοντι· «ἐκ μέρους γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν [1]», ὅθεν καὶ ἐκ μέρους εὐλογοῦμεν· «Ὅταν δὲ ἔλθῃ τὸ τέλειον», φησὶν ὁ Παῦλος, «τὸ ἐκ μέρους καταργηθήσεται.[2]» Τῇ γὰρ ἐπὶ τὸ μεῖζον προκοπῇ τὸ ἀπὸ μέρους παύεται. Διὰ τοῦτο ὁ Ψαλμῳδὸς ἐπήγαγε, «Γένοιτο, γένοιτο», καὶ διπλασιάζει τὴν εὐχήν. Μακάριον γὰρ ἐντεῦθεν τῆς εὐλογίας τῆς εἰς τὸν Θεὸν διὰ πίστεως καὶ τῆς τῶν ἄλλων ἀγαθῶν κατορθώσεως ἄρξασθαι, οὕτω τε αὐτὴν στεφανῶσαι εἰς τὸν αἰῶνα τὸν μέλλοντα, ὡς οἵ γε ἀσεβεῖς καὶ ἄπιστοι εὐλογεῖν ἐκεῖ τὸν Θεὸν οὐκ ἐπιτρέπονται. Εἰδέναι δὲ δεῖ, ὅτι τὴν ψαλμικὴν ταύτην προφητείαν εἰς πέντε τινὲς διελόντες βίβλους, μέχρι τούτου τοῦ ψαλμοῦ τὴν πρώτην νομίζουσιν· ἐπειδὴ πρὸς τῷ τέλει στέφανον ὥσπερ τὴν εὐλογίαν τὴν εἰς Θεὸν κέκτηται. Ὅθεν οὕτω διαιροῦσι καὶ τὰς ὑπάρξεις τὰς τέσσαρας.

Εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς τοῦ Κορέ.
ΨΑΛΜΟΣ ΜΑ'.
Ὑπόθεσις.

Ἱεροψάλται μὲν γεγόνασιν οἱ τοῦ Κορὲ υἱοί, ᾄδουσι δὲ τὴν ᾠδὴν λαβόντες παρὰ τῶν συνθέντων αὐτήν, τουτέστι τοῦ Δαυίδ, τὰ ἐπ' ἐσχάτων σημαίνοντες τῶν καιρῶν. Εἰσφέρουσι δὲ τὸ αὐτοῦ τοῦ Ἰσραὴλ πρόσωπον ἐξομολογούμενον Χριστῷ διὰ τῆς μεταγνώσεως, ἧς ποιήσονται ἐπὶ συντελείᾳ τῶν αἰώνων.

«Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός.» Αἱ λογικαὶ ἔλαφοι, διαλειπούσης αὐτὰς διὰ τὰς ἀνομίας τῆς νοητῆς πηγῆς, ἀπεκλαίοντο νυκτὸς καὶ μεθ' ἡμέραν τὴν ἀπώλειαν ἑαυτῶν.

«Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;» Πρόσωπον τοῦ Θεοῦ ὁ Λόγος. Σημαίνει τὸ λίαν ἐπιθυμεῖν αὐτοὺς εἰς καιρὸν ἀφικέσθαι αὐτοὺς καθ' ὃν καὶ ἡ αὐτῶν ἔσται κλῆσις· ὥστε καὶ αὐτοὺς ἐμφανεῖς γενέσθαι τῷ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρός. Ταυτὸ δέ ἐστι καὶ τὸ τοῦ Υἱοῦ.

«Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχους ἑορτάζοντος.» Προευαγγελίζεται ἑαυτὸν ὡς ἐν καιρῷ τευξόμενος τῆς διὰ Χριστοῦ σωτηρίας καὶ ζωῆς, καὶ ταῖς θείαις αὐλαῖς ὁμοῦ τοῖς ἄλλοις ἁγίοις ἐνδιαιτησόμενος.

---

1. Α' Κορ. 13, 9. 2. Α' Κορ. 13, 10.

«Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;» Ἐπιτιμᾷ ταῖς λύπαις τῇ εἰς Χριστὸν ἐλπίδι ὀχυρόμενος. Εἰ τετήρηται, φησίν, ὦ ψυχή, καιρὸς καθ' ὃν ἡ διὰ πίστεως ἡμῶν κλῆσις εἰσάγοι ἡμᾶς μετὰ τῶν ἑορταζόντων εἰς τὴν σκηνήν, διὰ τί περίλυπος εἶ, καὶ κατατρύχῃ ταῖς λύπαις;

«Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ.» Ἐπειδὴ ἐταράχθη, φησίν, ἡ ψυχή μου, ἀναμνήσαντός μου ἐμαυτὸν τῶν σῶν θαυμασίων, ὧν τε κατὰ τὸν Ἰορδάνην ἡμῖν ἔδειξας, ὧν τε κατὰ τὸ ὄρος τὸ Ἀερμών, παραμυθήσομαι ἐμαυτόν. Ἢ οὕτως· Γενόμενος, φησίν, ἐν τῷ Ἰορδάνῃ, τουτέστιν ἀξιωθεὶς τοῦ ἁγίου βαπτίσματος, τὸ τηνικαῦτά σου μνησθήσομαι διὰ τοῦ ῥήματος τῆς ὁμολογίας. Μνησθήσομαι δὲ καὶ τοῦ Ἑρμωνιείμ. Ἑρμωνιεὶμ δὲ ἑρμηνεύεται «ὁδὸς λύχνου», ὡς τοῦ ἁγίου βαπτίσματος ὁδὸν αὐτοῖς ἀνοίγοντος φωτισμοῦ.

«Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρρακτῶν σου.» Ἑτέρων πάλιν θαυμασίων ἀναμιμνήσκουσιν ἑαυτούς. Ὅτε γὰρ ἀλλόφυλοι κατεστράτευσαν αὐτῶν, γενομένης ὑπὲρ αὐτῶν θυσίας παρὰ τοῦ Σαμουήλ, κατηνέχθη κατὰ τῶν πολεμίων χάλαζα τοσαύτη, ὡς τοὺς ἐχθροὺς σχεδὸν ἅπαντας, οὐδενὸς αὐτοῖς ἀνθρώπων μαχομένου, πεσεῖν. Ἄβυσσον τοίνυν ἐπ' ἀβύσσῳ τρέχουσαν καλεῖ τὴν τῆς χαλάζης φοράν. Τὸ δέ, «ἐπικαλεῖται», ἀντὶ τοῦ, «ἐγκαλεῖται.» Φωναὶ δὲ τῶν καταρρακτῶν αἱ τῶν χαλαζῶν φοραὶ νοηθεῖεν ἄν. Ἀλλαχοῦ δὲ καταρράκται οἱ τοῦ Θεοῦ προφῆται. «Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.» Ἑτέρου πάλιν ἑαυτὸν ἀναμιμνήσκει θαύματος. Διῆλθον γὰρ διὰ θαλάσσης μέσον τὴν τοῦ Φαραὼ φεύγοντες μοχθηρίαν. Καὶ ἐδόκουν μὲν οἱ τῶν κυμάτων μετεωρισμοί, τουτέστιν αἱ ὑψώσεις, κατ' αὐτῶν φέρεσθαι· ἀλλ' ἠδίκουν οὐδέν· ἐπάγη γὰρ ὡσεὶ τεῖχος τὰ ὕδατα.

[«Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται.» Ἄβυσσος ὁ Πατήρ, ἄβυσσος ὁ Υἱός. Ἄβυσσος ἡ τῶν ἁμαρτιῶν ἐπικαλεῖται τὴν ἄβυσσον τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ, εἰς τὸ καταρράξαι τὴν ἁμαρτίαν καὶ τοὺς ταύτης αἰτίους καὶ τὴν φθοράν· οἷον ὅτι Ἔθος σοι τοῖς ἁμαρτωλοῖς δεομένοις σου ἐπικάμπτεσθαι. Καὶ ἵνα τί ἡμᾶς παραβλέπεις προσπίπτοντάς σοι;»]

«Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ αὐτοῦ.» Ἑτέρου πάλιν μέμνηται θαύματος. Ὁ γὰρ Ῥαψάκης, περικυκλώσας τὴν Ἰερουσαλήμ, ἠπείλει μηδὲ τὸν Θεὸν ἰσχύειν ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς Ἀσσυρίων· ἀλλ' ἐπηγγείλατο ὁ Θεὸς λέγων· «Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης.[1]» Εἶτα τὴν ἐπαγγελίαν πληρῶν ἐν μιᾷ νυκτὶ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἀνεῖλε τῶν Ἀσσυρίων.[2] Καὶ τοῦτό ἐστιν· «Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος

1. Δ. Βασ. 19, 34. 2. Πρβλ. Δ' Βασ. 19, 35.

αὐτοῦ. Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.» Ὡς ἤδη πεπιστευκὼς τὰ τοῖς πιστεύουσι πρέποντα ἀναφέρει ῥήματα, αὐτῷ τὴν οἰκείαν ἀναγραφόμενος ζωήν.

«Ἐρῶ τῷ Θεῷ, Ἀντιλήπτωρ μου εἶ.» Ἐπαναλαμβάνει τὴν ἱκετηρίαν ὁ μεταγινώσκων λαός, ἐπὶ πλεῖον ἐκκαλούμενος εἰς ἔλεον τὸν Θεόν.

ΨΑΛΜΟΣ τῷ Δαυὶδ ἀνεπίγραφος παρ' Ἑβραίοις.
ΜΒ'.

«Κρῖνόν με, ὁ Θεός, καὶ δίκασον.» Τὴν αὐτὴν ὑπόθεσιν τῷ ὀπίσω καὶ ὁ παρὼν ἔχει ψαλμός. Προσέρχονται γὰρ πάλιν οἱ ἐξ Ἰσραὴλ τὴν διὰ Χριστοῦ σωτηρίαν ἐξαιτούμενοι. Διό φησιν· «Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου.» Αὐτὸς γὰρ αὐτοὺς καὶ εἰς τὸ ἅγιον ὄρος εἰσάγειν ἔμελλε, τουτέστιν εἰς τὸν οὐρανὸν καὶ εἰς τὰς ἄνω μονάς, ἅσπερ καὶ σκηνώματα ὀνομάζει· καὶ εἰς τὸ νοητὸν θυσιαστήριον· καὶ αὐτὸς αὐτῶν ἔμελλεν εὐφραίνειν τὴν νεότητα. Νεότητα δὲ καλεῖ τὴν εὐφροσύνην, τὴν καὶ ἀνανεουμένην αὐτῶν τὴν ψυχήν. Διὸ καὶ ἐν κιθάρᾳ ὑπισχνοῦνται αὐτῷ προσφέρειν τὴν ἐξομολόγησιν. Κιθάραν δὲ πολλάκις τὸ σῶμα νοεῖν ἐδιδάξαμεν.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν.
ΨΑΛΜΟΣ ΜΓ'.
Ὑπόθεσις.

[Καὶ ἔτι οὗτος τῆς αὐτῆς ὑποθέσεως ἔχεται· τὰς παλαιὰς εὐεργεσίας διηγουμένων, καὶ προσληφθῆναι ἀξιούντων διὰ τοῦ αὐτὸν ἐπιγράφεσθαι τὴν ἐλπίδα, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἐξομολογεῖσθαι.

«Ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν.» Οὕτω φασὶν ἐπειδή, ἀπωσάμενοι φρονεῖν τὰ Χριστοῦ, εἰς φρόνημα σαρκικὸν κατέστησαν.]

«Ὁ Κύριος, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.»

«Νυνὶ δὲ ἀπώσω, καὶ κατῄσχυνας ἡμᾶς. Καὶ οὐκ ἐξελεύσῃ, Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν.» Πάλαι, φησίν, συνεστρατήγεις ἡμῖν· νῦν δὲ οὐ μόνον οὐ συνεξέρχῃ ἡμῖν, ἀλλὰ καὶ ἀπέστρεψας ἡμᾶς, ὡς καὶ τοῖς μισοῦσιν ἡμᾶς γενέσθαι εἰς διαρπαγήν. Ταῦτα δέ φησιν ὁ χορὸς ὁ προφητικὸς οἰκειούμενος τοῦ λαοῦ τὰς συμφοράς.

«Καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.» «Ἐκλάγμασιν», φησίν, ἡμᾶς εἰς ἀτιμίαν.

«Καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν [ἀλλάγμασιν] ἡμῶν.» Ἀλαλαγμός ἐστιν ἐπινίκιος ᾠδή. Ὁ δὲ νοῦς οὗτος· Οὕτως, φησίν, ἀπέρριψας ἡμᾶς ὡς καὶ ὀλίγοις ἡμᾶς ἡττηθῆναι, καὶ τοὺς ἀλαλάζοντας καθ' ἡμῶν μικροὺς εἶναί τινας.

«Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν.» Πάντα ὅσα ἐποίησαν

εἰς Χριστὸν ἀποδέδοται αὐτοῖς· ὠνείδισαν, ὠνειδίσθησαν· ἐχλεύασαν, ἀντεχλευάσθησαν· ἐκίνησαν ἐπ' αὐτῷ τὰς κεφαλάς, ἐκίνησαν καὶ ἕτεροι τὰς κεφαλὰς ἐπ' αὐτοῖς.

«Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μου ἐστίν.» Μακρά, φησίν, καὶ διηνεκὴς ἡ καθ' ἡμῶν γέγονε αἰσχύνη.

«Ταῦτα πάντα ἦλθον ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου.» Ἤδη ἔφημεν, ὡς οἱ προφῆταί εἰσιν οἱ ἀναφέροντες τὴν ἱκετηρίαν ἐκ προσώπου τοῦ λαοῦ, οἰκειοποιούμενοι τὰ διὰ τὰς αὐτῶν ἁμαρτίας συμβάντα κακά.

«Καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.» Ταῦτά φησιν, ὅτι, ἀσεβήσαντες εἰς Χριστόν, καὶ τοῦ τελεῖν τὴν κατὰ νόμον θυσίαν ἐξώσθησαν.

«Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως.» Τοῦτό φησιν διὰ τὸ μηδὲν ἔτι δύνασθαι φρονεῖν τῶν ἐπηρμένων· Καὶ ἤλεγξας ἡμᾶς ἐν τῷ κόσμῳ ἡμαρτηκότας. «Καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.» Τὸν σκότον τὸν γενόμενον ἐν ταῖς τῶν ἀπιστησάντων καρδίαις κατασημαίνει.

«Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν.» Τοῦτό φασιν, ὡς μηκέτι μετὰ τὴν τελευταίαν ἔκπτωσιν εἰδωλολατρήσαντες, ἢ πάλιν ὡς ἐκ προσώπου τῶν προφητῶν.

«Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν.» Ὅμοιον τῷ εἰρημένῳ· «Ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον.[1]» Ὥσπερ δὲ τὰ τοῦ λαοῦ ἁμαρτήματα οἰκειοποιοῦνται, οὕτω καὶ τὰ ἑαυτῶν ἀγαθὰ εἰς πρόσωπον ὥσπερ τοῦ λαοῦ ἀναφέρουσιν, καθάπερ ἑνὸς ὄντος σώματος τοῦ παντός. Ἢ καὶ οὕτως· Διὰ τὴν εἰς σὲ γεγονυῖαν ἡμῖν ἀπιστίαν, φησίν, εἰς τοσοῦσον ἥκομεν κακόν, ὡς ἐοικέναι ἀνθρώποις τὴν ἐπὶ θάνατον φέρουσιν ψῆφον, καὶ μὴν καὶ προβάτοις εἰς σφαγὴν ἀγομένοις.

«Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, Κύριε;» Τὴν πολλὴν ἀνοχὴν τοῦ Θεοῦ, ἣν ἐποιεῖτο διὰ τὰς ἁμαρτίας αὐτῶν, ὕπνῳ παραβάλλουσιν. «Ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος.» Ἀνάστηθι, λέγει, οὐχ ὅπως ἐναλλάξῃ τὸ σχῆμα· τὸ θεῖον γὰρ ἀσχημάτιστον, ἀλλ' ἵνα κινήσῃ τὴν ἑαυτοῦ δύναμιν εἰς ἡμετέραν βοήθειαν. «Καὶ μὴ ἀπώσῃ εἰς τέλος» μήτε τοὺς ποιοῦντας, μήτε τοὺς πάσχοντας, ἵνα μήτε οἱ πάσχοντες, ὡς ὁλοκλήρως δοθέντες τοῖς πειρασμοῖς ὀλισθήσωσι, μήτε οἱ ποιοῦντες, τῇ τοῦ κριτοῦ μακροθυμίᾳ θαρρήσαντες, ἐπὶ πλέον ἀνομίας προκόψωσιν. Δοθῆναι αὐτοῖς εὔχονται τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ, τὴν ἐπ' ἐσχάτων τῶν καιρῶν, ἵνα μὴ τῆς παρ' αὐτοῦ ἀμοιρήσωσι ζωῆς.

«Ἐκολλήθη εἰς χοῦν ἡ γαστὴρ ἡμῶν.» Ταῦτά φασιν, ἐπειδή, ἀπωσάμενοι τὸ φρονεῖν τὰ Χριστοῦ, εἰς φρόνημα κατέπεσον σαρκικόν.

1. Ἑβρ. 11, 37.

«Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν.» Ἀντιλαβοῦ, φησίν, ἡμῶν, καὶ δίδου τὸ εὐμενὲς καὶ καιρὸν ἐπιστροφῆς τοῖς τὴν εἰς σὲ ἀληθινὴν πίστιν ὁμολογοῦσιν.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ Ἀγαπητοῦ.

ΜΔ'.

Ὑπόθεσις.

Τὴν προκειμένην ᾠδὴν ἀνατίθησι τῷ Ἀγαπητῷ ὁ Δαυίδ, τουτέστι Χριστῷ, τῷ ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐληλυθότι, καὶ τὴν ἀλλοίωσιν πεποιηκότι, τουτέστι, τὴν μεταβολὴν τὴν ἐξ εἰδωλολατρείας εἰς θεοσέβειαν. Μέμνηται δὲ καὶ τῶν υἱῶν Κορέ, εἰς τοὺς ἀποστόλους ἀναπέμπων τὸ πρόσωπον. Ταῦτα δὲ πάντα ἀναγκαῖον συνιέναι ἡμᾶς· διὸ καὶ «εἰς σύνεσιν» ἐπιγέγραπται.

«Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.» Τοῦτό φησιν ὁ Πατὴρ περὶ τοῦ Υἱοῦ· γεγένηται γὰρ Θεὸς ἐκ Θεοῦ. «Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.» Ὥσπερ βασιλεὺς ὑπάρχων ὡς Θεὸς εἰς βασιλείας ἀρχὴν λέγεται ἔρχεσθαι διὰ τὸ σεσαρκῶσθαι αὐτόν· οὕτω καὶ ἅπερ οἶδε φυσικῶς ὡς Θεός, ταῦτα πάλιν ἀκούειν λέγεται διὰ τὸ ἀνθρώπινον οἰκονομικῶς. «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.» Ὃν εἴρηκε λόγον, τοῦτον καὶ γλῶσσαν αὐτοῦ ἀποκαλεῖ. Κάλαμος δὲ γραμματέως ὀξυγράφου ὠνόμασται, διὰ τὸ λέγειν τι καὶ εὐθέως γίνεσθαι, ὡς τό· «Θέλω, καθαρίσθητι· καὶ εὐθέως ἐκαθαρίσθη·[1]» καί, «Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι· καὶ εὐθέως ἀνέστη.[2]» Οὐ μὴν ἀλλὰ καὶ τό· «Λόγον συντετμημένον ποιήσει Κύριος ἐν τῇ οἰκουμένῃ ὅλῃ.[3]»

«Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.» Τὴν σύγκρισιν τοῦ ἀγαθοῦ Πνεύματος ἔστιν ἰδεῖν ἀφ' ὧν ὁ Ἰωάννης φησίν, ὅτι «Ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ δὲ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.[4]» Κάλαμος γὰρ καλὸς καὶ ὁ Μωσέως· ἔγραψε γὰρ ἡμῖν νόμον παιδαγωγόν· ἀλλὰ οὐ τοιοῦτος ὡς καὶ ἔγραψε τὰ ὀνόματα ἡμῶν ἐν οὐρανοῖς. «Ἐξεχύθη χάρις ἐν χείλεσί σου.» Γλυκύφωνος γὰρ ὁ Κύριος ἡμῶν λέγων· «Ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσότερον ἔχωσι·[5]» καί, «Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς·[6]» καί, «διδοὺς ζωὴν τῷ κόσμῳ.»

«Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ.» Εἰς μάχην τὴν ὑπὲρ ἡμῶν διεγείρει τὸν Μονογενῆ. Εἶτα καὶ ἐπειδὴ στρατιωτικὸν αὐτῷ σχῆμα δέδωκεν, ῥομφαίαν εἰπών, καὶ μηρὸν προσεπάγει. Αὐτοῦ γὰρ ὡς Θεοῦ, καὶ οὐκ ἔξωθεν ἡ ῥομφαία· δυνατὸς γὰρ

1. Ματθ. 8, 3. 2. Λουκ. 7, 14. 3. Ἡσ. 10, 23. 4. Ἰω. 1, 17. 5. Ἰω. 10, 10. 6. Ἰω. 6, 41.

ἐστι, τουτέστι τῶν δυνάμεων Κύριος· καὶ τοῦτο κατὰ φύσιν αὐτῷ. Ἔστι δὲ καὶ ὡραῖος μὲν τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τὸ ὑπερκόσμιον κάλλος κατανοεῖν δυναμένοις. Τῷ δὲ μηρῷ τὴν ῥομφαίαν ἐνήρμοσεν πρὸς τὴν τῶν ἀπιστούντων ἀπειλὴν καὶ τῶν ἀντικειμένων τὰς φάλαγγας. Περὶ γοῦν τῶν ἀπειθούντων φησὶν ὁ ψαλμός· «Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει.[1]»

«Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου.» Ὡραιότης δὲ καὶ κάλλος τοῦ στρατευσαμένου ἡ θεότης αὐτοῦ καὶ ἡ κατὰ πάντων ὑπεροχή. «Καὶ ἔντεινον, καὶ κατευοδοῦ, καὶ βασίλευε.» Ἔντεινον τὰ τόξα σου, φησί, κατευοδοῦ δὲ δεδικαιωμένους ὑπὸ σοῦ, ὧν βασιλεύεις, φησίν, ἀπαλλάξας αὐτοὺς τοῦ τυράννου. Δείκνυσι νοερὰν οὖσαν τὴν νίκην· ὅπλων γὰρ μνημονεύσας, μέμνηται καὶ πραότητος. Πράου δέ ἐστι τὰ μὲν εἰς ἑαυτὸν ἀφεῖναι τοῖς ἀδικουμένοις. «Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.» Ἐπειδὴ γὰρ ῥομφαίας ἐμνημόνευσεν, ἀκόλουθον καὶ δεξιᾶς ἐποιήσατο μνήμην. Δεξιὰ δὲ αὐτοῦ τὰ δεξιὰ βουλεύματα, οἷς κεχρημένος τὴν τῆς ἁμαρτίας οὐκ ἐδέξατο προσβολήν.

«Τὰ βέλη σου ἠκονημένα, δυνατέ.» Βέλη τοὺς ἁγίους ἀποστόλους φησίν, οἳ καὶ ἐν καρδίᾳ καιρίας δεδώκασι πληγὰς τοῖς ἐχθροῖς τοῦ Βασιλέως τῶν βασιλευόντων. Ταῦτα δὲ τὰ βέλη, πλήξαντα εἰς καρδίαν τοὺς νοητοὺς ἐχθρούς, ἴσχυσε προσενέγκαι τὴν ὑπ' οὐρανὸν ὑπὸ πόδας Χριστοῦ, καὶ τῆς αὐτοῦ βασιλείας ὑποθεῖναι τοῖς ζυγοῖς. Ἐν ὑπερβατῷ δὲ οἱ στίχοι, ἵνα ὦσιν οὕτως· Τὰ βέλη σου ἠκονημένα, δυνατέ, ἐν καρδίαις τῶν ἐχθρῶν τοῦ βασιλέως.

«Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.» Οἱ κεκλημένοι διὰ τῶν ἀποστόλων, ὁμολογοῦντες τοῦ Μονογενοῦς τὴν θεότητα, φησίν· «Ὁ θρόνος σου, ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.» Ἡ εὐθύτης παρὰ τῇ θείᾳ Γραφῇ δικαιοσύνην σημαίνει. Λέγει τοίνυν, ὡς οἱ βασιλευόμενοι παρὰ Χριστοῦ, τὴν τῆς δικαιοσύνης μάθοιεν βαδίζειν ὁδόν.

«Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν.» Ἐπειδή, τὴν τροπὴν παθοῦσα, ἡ ἀνθρώπων φύσις καταλείψασα τὴν δικαιοσύνην ἠγάπησε τὴν ἀνομίαν, ταύτῃ τοι γέγονεν ἄνθρωπος ὁ Μονογενής, κατορθῶν ἐν ἑαυτῷ τῇ ἀνθρώπων φύσει τὸ ἀγαπᾶν δικαιοσύνην καὶ μισεῖν ἀνομίαν· καὶ ἡ τῆς ἐνανθρωπήσεως αὕτη αἰτία. Διό φησιν· «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός.» Διὰ τοῦτο δέ, ποῖον; ἢ ὥστε καὶ τοὺς ἐν μεθέξει σου γενομένους ἀγαλλιᾶσθαι· ἅτε δὴ ὡς ἠλεημένους διὰ τὸ κατωρθῶσθαι αὐτοῖς διὰ σοῦ τὸ ἀγαπᾶν δικαιοσύνην καὶ μισεῖν ἀνομίαν. «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου.» Ἐπὶ τοῦτο ἤλειψέ σε ὁ Θεός, ὁ Θεός σου, φησί· τὸ γὰρ ἔχρισεν, ἤλειψεν ἑρμηνεύεται.

1. Ψαλμ. 7, 13.

Συνῆπται δὲ ἡ τούτου ἑρμηνεία ἄνωθεν εἰς τό, «Ἠγάπησας δικαιοσύνην.»

«Σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου.» Ἱμάτια τοῦ Μονογενοῦς νοηθεῖεν ἂν δυνάμεις, μεγαλοπρέπεια, δόξα, κατὰ τό· «Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.[1]» Αὕτη δὴ οὖν ἡ δόξα αὐτοῦ καὶ ἡ μεγαλοπρέπεια εὐώδης γέγονεν ἡμῖν, καὶ ὡς ἐν τάξει θυμιάματος παντὸς κατὰ τὸ ἀλλαχοῦ εἰρημένον· «Μύρον ἐκκενωθὲν ὄνομά σου·[2]» καὶ τό, «Εἰς ὀσμὴν εὐωδίας σου δραμοῦμαι.[3]» Ἔστιν ἡ στακτὴ σμύρνης εἶδος λεπτότατον· ἐκθλιβέντος γὰρ τοῦ ἀρώματος, ὅσον μὲν γὰρ αὐτοῦ ῥυτὸν εἰς στακτὴν ἀπομερίζεται· τὸ δὲ παχύτερον ἀπομένον σμύρνα προσαγορεύεται. Ἡ δὲ κασία φλοιός τίς ἐστι λεπτότατος καὶ εὐώδης, ξυλώδη κάρφη περιτεινόμενος. «Ἀπὸ βάρεων ἐλεφαντίνων ἐξ ὧν ηὔφρανάν σε.» «Βάρεις» μὲν οἱ πολυτελεῖς καὶ ἐξαίρετοι οἶκοι, ἤτοι οἱ ναοί. «Ἐλεφαντίνας» δὲ τὰς ἀπεξεσμένας οἱονεὶ καὶ περικαλλεστάτας φησίν. Βασιλέας δὲ ὀνομάζει τοὺς ἁγίους ἀποστόλους, οἳ καὶ συμβασιλεύουσι τῷ Χριστῷ. Θυγατέρας δὲ αὐτῶν τὰς δι' αὐτῶν εἰς θεογνωσίαν ἀναγεγεννημένας ψυχάς, αἳ καὶ ναοὺς τὰς ἑαυτῶν καρδίας ἀποτελοῦσι περικαλλεστάτους, εἰς τιμὴν τοῦ Θεοῦ εὐφραινούσας αὐτόν. Ὅμοιον οὖν ὡς εἰ λέγῃ· Εὐφρανθήσῃ, φησίν, ὦ Δέσποτα, ἀπὸ βάρεων ἐλεφαντίνων ὧν κατεσκεύασαν εἰς σὴν τιμὴν αἱ τῶν βασιλέων θυγατέρες. «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ.» Βασίλισσα μὲν ἡ Ἐκκλησία, ὡς νύμφη γενομένη τοῦ μεγάλου βασιλέως· ἡ δὲ στάσις ἡ ἐκ δεξιῶν τὴν τιμὴν σημαίνει ἧς ἀπολαύσει ἐν τῷ μέλλοντι αἰῶνι· ἱματισμὸς δὲ αὐτῆς ποικίλος πίστις, ἐλπίς, ἀγάπη· ἔχει δὲ καὶ ἕτερον ἱμάτιον λαμπρότερον, τὸν Χριστὸν αὐτόν. «Ὅσοι γάρ», φησίν, «εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.[4]»

«Ἄκουσον, θύγατερ, καὶ ἴδε.» Καὶ πάλιν ὡς πρὸς τὴν Ἐκκλησίαν ὁ λόγος οὗτος. «Καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου.» Οὐκ ἂν γάρ τις καθαρὸς τῇ διὰ Χριστοῦ προσέρχεται πίστει, μὴ παντελῆ λήθην τῶν προτέρων ποιησάμενος κακῶν. Λαὸς δὲ πάλαι τῆς Ἐκκλησίας οἱ εἰδωλολάτραι. Οἶκος δὲ τοῦ πατρὸς αὐτῆς, οἱ σοφοὶ τοῦ αἰῶνος, ἐν οἷς κατοικεῖ ὥσπερ ἐν οἴκοις ὁ Σατανᾶς. «Καὶ θυγάτηρ Τύρου ἐν δώροις.» Ἀπὸ ἑνὸς ἔθνους, τοῦ Τυρίων φημί, τὴν τῶν ἐθνῶν κλῆσιν κατασημαίνει. Τοὺς Τυρίους δὲ ὠνόμασε, διὰ τὸ μάλιστα αὐτοὺς ἐχθροὺς εἶναι τοῦ εὐσεβοῦς πολιτεύματος.

«Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.» Τοῦτό φησιν εὐαγγελιζόμενος καὶ αὐτοὺς τοὺς βασιλεῖς, καὶ τοὺς ἐν ὑπεροχαῖς ὄντας· Προσκύνησον τὴν Ἐκκλησίαν, ἤτοι τὸν ἑαυτῆς Κύριον.

1. Ψαλμ. 92, 1. 2. Ἆσμ. 1, 3. 3. Ἆσμ. 1, 4. 4. Γαλ. 3, 27.

«Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσοῖς.» Τὸ εὐσεβὲς «ἔσωθεν» σημαίνει· νοητὸς γὰρ ὁ κόσμος τῆς Ἐκκλησίας· κροσσοὺς δὲ τὰς πολυειδεῖς ἀρετάς.

«Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.» Ὅμοιον τό, «Ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα.[1]» Πάλιν δὲ διὰ τῆς παρθένου τὴν Ἐκκλησίαν σημαίνει· Ἡρμοσάμην γὰρ ὑμᾶς παρθένον ἁγνὴν παραστῆσαι τῷ Θεῷ. «Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.» Τῆς γὰρ παρθενίας πλησίον ἡ ἐγκράτεια. Ὅσαι τοίνυν ἐγκρατεύονται ψυχαὶ δηλονότι ἀπὸ πράξεων πονηρῶν, καὶ αὗται συναπαχθήσονται. Συμβαίνει δὲ τὰς ἀπαγομένας εὐφροσύνην καὶ ἀγαλλίασιν αἰώνιον εὑρεῖν. «Ἀχθήσονται εἰς ναὸν βασιλέως.» Τὸν ἐπουράνιόν φησιν.

«Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σου.» Ἐπειδὴ εἶπεν αὐτῇ, Ἐπιλάθου τοῦ πατρός σου, φησίν, «ἀντὶ τῶν» πάλαι «πατέρων σου», τουτέστιν ἀντὶ τῶν διδασκάλων, ἔσονταί σοι υἱοί. Υἱοὺς δὲ τοὺς ἁγίους ἀποστόλους φησί, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου· «Οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβαλοῦσι; [2]» Ἢ καὶ τούτους τῶν Ἐκκλησιῶν ἡγουμένους, οἳ γεγόνασι μὲν τῆς Ἐκκλησίας υἱοί, κατεστάθησαν δὲ ἄρχοντες ἐπὶ πᾶσαν τὴν γῆν παρὰ τοῦ Κυρίου Ἰησοῦ, κατὰ τὸ εἰρημένον· «Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη.[3]» «Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν· μνησθήσονται τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.» Διὰ τῶν θείων συγγραμμάτων δηλονότι· ἐν ταῖς ἱεραῖς συλλαβαῖς μνημονεύεται τὸ τοῦ Θεοῦ ὄνομα.

«Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα.» Διὰ τὸ κήρυγμα· ὡς πρὸς τὸν Χριστὸν δὲ ὁ λόγος. Διὰ τὸ μνημονεύειν αὐτοὺς διὰ τῶν Γραφῶν τῶν θαυμασίων τοῦ Θεοῦ ὧν ἐποίησεν ἀπὸ γενεῶν ἀρχαίων, καὶ διδάσκειν τὰς ἐρχομένας γενεάς.

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ ὑπὲρ τῶν κρυφίων.

ΨΑΛΜΟΣ ΜΕ΄.

Ὑπόθεσις.

Τὴν τῶν ἐθνῶν κλῆσιν ὁ παρὼν κατασημαίνει ψαλμός, καὶ τῶν νοητῶν ἐχθρῶν ἐκβολήν, καὶ τὴν κάθειρξιν αὐτῶν τὴν ἐν τῇ ἀβύσσῳ. Ἐπειδὴ δὲ ταῦτα ὥσπερ διὰ παραβολῶν εἴρηται, εἰκότως «ὑπὲρ κρυφίων» ἐπιγέγραπται ὁ ψαλμός. Ἄδουσι δὲ αὐτὸν οἱ πιστεύσαντες εἰς Χριστόν, καὶ πρό γε πάντων οἱ ἀπόστολοι αὐτοῦ.

«Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις.» Ταῦτά φησι διὰ τοὺς ἐπαναστάντας αὐτοῖς παρὰ τῶν νοητῶν τε καὶ αἰσθητῶν ἐχθρῶν διωγμούς. «Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν.» Διὰ τὸ ἔχειν σε, φησίν, βοηθόν, πάσης ταραχῆς ἐπανισταμένης ἡμῖν

1. Α΄ Θεσσ. 4, 16. 2. Λουκ. 11, 19. 3. Ματθ. 28, 19.

καταφρονήσομεν. Ἐταράττετο γὰρ ἡ πᾶσα γῆ, ἀρχομένου τοῦ κηρύγματος, τῶν μενόντων ἐν ἀπιστίᾳ ἐπανισταμένων τοῖς πιστεύουσι τῷ κηρύγματι. «Καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.» Καρδίας θαλασσῶν τὰς ἀβύσσους φησίν· ὄρη δὲ τὰς ἀντικειμένας δυνάμεις. Ὡς μέλλοντες οὖν εἰς τὴν ἄβυσσον ἐκβάλλεσθαι οἱ δαίμονες, διήγειρον τὸν κατ' αὐτῶν πόλεμον. Ἀλλ' οὐ φηβηθησόμεθα τοὺς τοιούτους, φασίν.

[«Βοηθὸς ἐν θλίψεσι.» Διὰ τὸ ἔχειν σε, φησί, βοηθόν, πάσης ταραχῆς ἐπανισταμένης ἡμῖν καταφρονήσομεν.

Ἢ ὄρη τοὺς δαίμονάς φησι, τοὺς πάλαι ὑψηλοὺς καὶ περιφανεῖς, καὶ ὄρεσι διὰ τοῦτο ὁμοιουμένους.]

«Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν.» Ὕδατα ἐν τούτοις τὰ πλήθη φησίν, ἃ καὶ συνετάραξε τὸ ξένον τοῦ κηρύγματος. «Ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.» Ἡ ἰσχύς, φησί, τοῦ κηρυττομένου κατέσεισε τοὺς ἀκαθάρτους δαίμονας τοὺς πάλαι ὑψηλοὺς καὶ περιφανεῖς, καὶ ὄρεσι διὰ τοῦτο ὡμοιωμένους.

«Τοῦ ποταμοῦ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.» Ποταμὸν τὸν εὐαγγελικὸν λόγον φησίν, ὃς καὶ εὐφραίνει τὴν Ἐκκλησίαν. «Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.» Ἅγιος γάρ ἐστιν ἐν ἁγίοις ἀναπαυόμενος, κατασκηνῶν ἐν ἁγίοις· ἥτις ἐστὶν ἡ Ἐκκλησία.

«Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται», τῆς Ἐκκλησίας δηλονότι. «Βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωΐ.» Τὸ νεῦσαι πρωῒ περὶ τὸν ὄρθρον. Τὸ γάρ, «βοηθήσει αὐτῇ», καὶ ἐνταῦθα τὸ πρόσωπον τῆς Ἐκκλησίας νοηθεῖεν ἂν οἱ ἅγιοι ἀπόστολοι, καὶ οἱ κατὰ διαδοχὴν ἡγούμενοι αὐτῆς, οὓς καὶ νευροῖ συντόνως πρὸς τὸ δύνασθαι ἀντιλαμβάνεσθαι τοῦ κηρύγματος.

«Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι.» Ἐπολέμησαν μέν, φησίν, κατὰ τῆς Ἐκκλησίας τὰ ἔθνη· ἀλλ' ὅμως ἔκλιναν αὐτῶν οἱ βασιλεῖς, τουτέστιν ἥττηνται καὶ πεφεύγασιν· ἀλλ' ὕστερον ἔκαμψαν καὶ αὐτοὶ τῷ Χριστῷ αὐχένα. Λέγει γάρ, ὅτι ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης. Ὕψωσαν γὰρ τὴν Ἐκκλησίαν, παγκάλως δῶρα προσφέροντες. «Ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, καὶ ἐσαλεύθη ἡ γῆ.» Ὁ Χριστὸς ἐπὶ σταυροῦ. «Φωνὴν αὐτοῦ» τὸν εὐαγγελικὸν λόγον φησίν. Ἐὰν γὰρ ἀκούσῃ φωνὴν Κυρίου ψυχὴ λογική, σαλεύεται μεταβαίνουσα ἀπὸ κακίας εἰς ἀρετήν, καὶ ἀπὸ ἀγνωσίας εἰς ἐπίγνωσιν Θεοῦ.

«Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.» Τὴν νίκην τὴν γενομένην κατὰ τῶν νοητῶν ἐχθρῶν αὐτῷ τῷ Κυρίῳ ἀνατίθησιν. Εὐκαίρως δὲ τοῦ Ἰακὼβ ἡ μνήμη διὰ τὴν πάλην τὴν γενομένην πρὸς αὐτόν.

«Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς.» Τὴν γενομένην διὰ τοῦ κηρύγματος εἰρήνην κατασημαίνει, διὰ τοῦ πάντα πόλεμον λέγειν πεπαῦσθαι ἀπὸ τῆς γῆς. «Τέρατα» δὲ τοὺς

ἀφανισμούς, ἤτοι τὰς καταργήσεις, φησίν· κατήργησε γὰρ πάντα πόλεμον.

«Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.» Τόξον νῦν, καὶ τὸ ὅπλον, καὶ ὁ θυρεὸς κατάστασιν χειρίστην σημαίνει, καὶ λογισμοὺς πονηρούς.

«Σχολάσατε, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός.» Εἰ μὴ γάρ τις πάσης κοσμικῆς φροντίδος γένηται ἐκτός, οὐ δύναται γνῶναι τὸν Θεόν. Σχολῆς γὰρ χρεία πρὸς τὸ γνῶναι τὸν Θεόν. «Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.» Τὴν ἐπικράτησιν τοῦ κηρύγματος τὴν κατὰ τῶν ἐθνῶν αὐτοῖς ἐπαγγέλλεται.

«Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.» Τὴν εὐχαριστίαν ἀναδιπλασιάζουσιν οἱ εἰς Χριστὸν πιστεύσαντες.

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορέ.

ΨΑΛΜΟΣ ΜϚ'.

Ὑπόθεσις.

Ἄδεται ὁ ψαλμὸς ἐκ προσώπου τῶν ἁγίων ἀποστόλων παραινούντων τοῖς ἔθνεσιν ἀνασκιρτᾶν διὰ πράξεων ἀγαθῶν ἐπὶ τῇ γενομένῃ νίκῃ κατὰ τῶν ἀλιτηρίων δαιμόνων.

«Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας.» Ἀντὶ τοῦ, Πράξεις ἀγαθὰς ἐπιτηδεύσατε. «Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.» Ἐπινίκιος ᾠδή ἐστιν ὁ ψαλμός. Ὡς οὖν πεπτωκότων τῶν ἀντικειμένων δυνάμεων, ᾄδειν τὰ ἔθνη παρακελεύεται.

«Ὅτι Κύριος Ὕψιστος φοβερός.» Ὕψιστος μὲν διὰ τὴν Ἐκκλησίαν γενόμενος, φοβερὸς δὲ κατὰ τῶν ἐχθρῶν. «Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.» Οὐκ ἔτι, φησίν, οἱ πονηροὶ τῶν ἐπὶ γῆς ἄρχουσιν. Δέδωκε γὰρ αὐτοῖς πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων[1], καὶ αὐτὰ τὰ ἔθνη τῶν πονηρῶν δαιμόνων ὑπέταξεν αὐτῶν τοῖς ποσίν.

«Ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.» Χαίρουσιν ἐπὶ τοῖς δεδομένοις αὐτοῖς παρὰ τοῦ Κυρίου κλήροις. «Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ.» Καὶ τίς ἂν εἴη ἡ κληρονομία Κυρίου ἢ περὶ ἧς λέλεκται παρὰ τοῦ Πατρός, «Αἴτησαι ἀπ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου;[2]» «Τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν.» Τὴν καλλονὴν Ἰακὼβ φησι τὴν προφητείαν τὴν περὶ τῶν ἐθνῶν, περὶ ἧς εἶπεν· «Καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν.[3]» Αὕτη δὲ καὶ ἠγαπημένη ἐστίν. Καὶ τίνι ἠγαπημένη ἢ τῷ τὴν ψυχὴν αὐτοῦ τεθεικότι ὑπὲρ αὐτῆς; Ταύτην οὖν τὴν ἠγαπημένην, φησίν, ἐξελέξατο.

«Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.» Ἡ εἰς οὐρανοὺς ἄνοδος διὰ τούτων τοῦ Κυρίου σημαίνεται. «Κύριος ἐν φωνῇ σάλπιγγος.» Τὰς αἰ-

1. Λουκ. 10, 19. 2. Ψαλμ. 2, 8. 3. Γεν. 49, 10.

νέσεις τῶν συναναβαινόντων αὐτῷ σάλπιγγος ὠνόμασε φωνήν. «Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ Βασιλεῖ ἡμῶν, ψάλατε.» Ἐπειδὴ οἱ ἄγγελοι, φησί, τὸν ἀναβαίνοντα ὑμνοῦσι, καὶ ὑμεῖς, ὦ ἔθνη, τὴν αὐτὴν ἀποσῴζοντες λειτουργίαν, ψάλατε τῷ βασιλεύσαντι Θεῷ τῆς γῆς· τῶν γὰρ κατὰ Θεὸν εὐθυμούντων ἐστὶ τὸ ψάλλειν. «Εὐθυμεῖ», φησίν, ἐν ὑμῖν τις; ψαλλέτω.[1]»

[«Ψάλλετε συνετῶς.» Μὴ διὰ κιθαρῶν, ὡς οἱ πρώην· τοῦτο γὰρ τό, «συνετῶς.»]

«Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη.» Παρεδέξαντο γὰρ τὴν εἰς αὐτὸν πίστιν. «Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.» Τὴν μέλλουσαν αὐτοῦ ἄφιξιν σημαίνει, δι' ἧς καθίσει κρῖναι τὴν οἰκουμένην.

«Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ.» Ὅμοιον τό, «Καθήσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.[2]» «Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.» Ἐν τῇ γῇ, φησί, τῶν πραέων τῇ ἀποδοθησομένῃ τοῖς ἁγίοις οἱ κραταιοὶ τοῦ Θεοῦ ὑπερυψώθησαν, καὶ ὑπερεδοξάσθησαν, ὡς ἐδιδάχθημεν, ἐκ τοῦ φήσαντος λόγου· «Καθήσεσθε ἐπὶ θρόνων δώδεκα.»

ΨΑΛΜΟΣ ᾠδῆς τοῖς υἱοῖς Κορὲ δευτέρα Σαββάτου.

ΜΖ'.

Ὑπόθεσις.

Καὶ οὗτος ᾄδεται ὁ ψαλμὸς ἀπὸ προσώπου τῶν ἁγίων ἀποστόλων, διηγουμένων τοὺς διὰ τὸ κήρυγμα διωγμούς, καὶ τὰς νίκας τὰς ἐπὶ τούτων γινομένας.

«Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ.» Οὐκ ἔτι, φησίν, ἐπὶ τὴν Ἰουδαίαν μόνην, ἀλλὰ καὶ ἐπὶ τὸ ὄρος τὸ ἡγιασμένον. Ὄρος δὲ ἐνταῦθα τὴν Ἐκκλησίαν φησί, διὰ τὸ ὑψηλὸν τῶν περὶ Θεοῦ δογμάτων.

«Εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς.» Ἐξέτεινε, φησί, τὸ ἀγαλλίαμα ἐπὶ πάσης τῆς γῆς· εἰς πᾶσαν γὰρ τὴν γῆν τὸ ἀγαλλίαμα τῆς αὐτοῦ θεοφανείας καὶ τὴν χάριν ἐπλάτυνεν. «Ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βορρᾶ.» Ἡ μὲν Ἱερουσαλὴμ ἐν τῷ νότῳ κεῖται, τὰ δὲ ἔθνη ἐν τῷ βορρᾷ. Ἐπειδὴ δὲ μέγα ἐφρόνουν οἱ Ἰουδαῖοι ὡς μόνοι τὴν Σιὼν οἰκοῦντες, δείκνυσιν ὁ λόγος, ὅτι Σιών ἐστι τὰ ἔθνη τὰ παραδεξάμενα τὸν εὐαγγελικὸν λόγον. Τὸ γὰρ ἑδραίωμα τῆς Σιὼν τὸ κλῖμα ἐστὶ τοῦ βορρᾶ, ὅπερ κλίμα τοῦ διὰ τῶν πλευρῶν δηλοῦται βορρᾶ· ἀντὶ γὰρ τοῦ εἰπεῖν τὸ κλῖμα τοῦ βορρᾶ, τὰ πλευρὰ εἴρηκεν. Πρότερον μὲν ἦν ὁ Παῦλος πλευρὰ τοῦ βορρᾶ, ἐφ' οὗ ἐξεκαύθη πάντα τὰ κακὰ ἐπὶ τῆς γῆς· νῦν δὲ γέγονεν ὄρη Σιών, ἔχων ἐν ἑαυτῷ τὸν λαλοῦντα Χριστόν, τὸν ἐλθόντα ἐκ Σιὼν[3] καὶ ἀποστρέψαντα ἀσέ-

1. Ἰακ. 5, 13. 2. Ματθ. 19, 28. 3. Πρβλ. Ψαλμ. 13, 7.

βειαν ἀπὸ Ἰακώβ.[1] «Ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.» Ταῦτα, φησί, τὰ πλευρὰ τοῦ βορρᾶ, ἤτοι τὰ ἔθνη, ἡ πόλις κληθεῖεν ἄν, ἐν οἷς γινώσκεται ὁ Θεὸς ἀντιλαμβανόμενος καὶ σῴζων αὐτοὺς ἐκ τῶν πειρασμῶν.

«Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.» Αἱ βάρεις οἱ μεγάλοι καὶ ἐξαίρετοι τῆς τοῦ Θεοῦ πόλεως οἱ ἐν αὐτῇ ὑπερέχοντες εἶεν ἄν.

«Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν.» Ὁ πόλεμος ὁ κατὰ τῶν ἀποστόλων διὰ τὸ κήρυγμα γενόμενος ὑπὸ τῶν αἰσθητῶν βασιλέων τῶν ἐθνῶν, καὶ μὴν καὶ τῶν ἀοράτων δαιμόνων τῶν πάλαι βασιλευόντων, διελύθη καὶ ἠφανίσθη. «Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν.» Κατεπλάγησαν, φησί, καὶ ἐξέστησαν τὴν γενομένην βοήθειαν παρὰ τοῦ Θεοῦ τοῖς ἁγίοις θεωροῦντες. «Ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτούς.» Ἡ γὰρ ὑπερβολὴ τῆς ἰσχύος τοῦ σῴζοντος, τὸ θαῦμα αὐτοῖς καὶ τὴν κατάπληξιν εἴργασται.

«Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς.» Πλοίοις Θαρσεῖς, οἱονεὶ πολυτίμοις καὶ πολυφόρτοις, τοὺς βασιλεῖς παρεικάζει. Πνεῦμα δὲ βίαιον, δι' οὗ αὐτοὺς συνέτριψε, νοήσεις τινὰς δυνάμεις δι' ὧν τοὺς ἐχθροὺς τῶν ἀποστόλων κατεπολέμησεν.

«Καθάπερ ἠκούσαμεν, οὕτως εἴδομεν.» Ἣν ἐπηγγείλω, φησίν, ὦ Δέσποτα, σωτηρίαν ἡμῖν, ταύτην δι' ἔργων τεθεάμεθα. «Ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.» Ὅπου τὴν ἐπαγγελίαν εἶδον πληρωθεῖσαν σημαίνει. Ποῦ δὲ ἢ ἐν τῇ Ἐκκλησίᾳ, ἥτις ἐστὶ πόλις τοῦ Θεοῦ; «Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς αἰῶνα.» Ὅμοιον τῷ εἰρημένῳ παρὰ τοῦ Κυρίου· «Ἐγὼ ἐπὶ τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν.[2]»

«Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ ναοῦ σου.» Ἀντὶ τοῦ, τεθεάμεθα, προσεδοκήσαμεν, φησίν, εἰς ἅπασαν τὴν γῆν τὸ ὄνομα τοῦ Θεοῦ δοξασθησόμενον, ἐκ τοῦ ἐλέου τεκμαιρόμενοι μὴ περιοψομένους τοὺς ἀνθρώπους ἐκτὸς τοῦ Ἰσραήλ, ἀλλὰ καὶ ἐγκαθιδρυμένοι τόπῳ τε καὶ ναῷ, τὸν παγκόσμιον ἠλπίσαμεν ἔλεον, εἰδότες τὸ ὄνομά σου καθολικὸν καὶ ἐπὶ πᾶσιν ὄν.

«Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτως καὶ ἡ αἴνεσίς σου.» Τοῦτό φησι, διότι πᾶσιν ἁπλῶς καὶ ἀπροσωπολήπτως δέδωκε τὴν χάριν, κατὰ τὸ εἰρημένον· «Ἐν Χριστῷ Ἰησοῦ οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος.[3]»

«Εὐφρανθήτω ὄρος Σιών.» Ὄρος Σιών, ἡ Ἐκκλησία δηλονότι. «Καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας.» Θυγατέρας τῆς Ἰουδαίας τὰς τῶν ἁγίων ἀποστόλων εἶναί φησι ψυχάς· ἦσαν γὰρ ἐξ Ἰουδαίων. «Ἕνεκεν τῶν κριμάτων σου, Κύριε.» Κρίνας τὴν κρίσιν τῶν ἐθνῶν, ἐξήλασας τὸν κατ' αὐτῶν πόλεμον τῶν δαιμόνων.

«Κυκλώσατε Σιών, καὶ περιλάβετε αὐτήν.» Ταῦτα τὸ Πνεῦμα

---

1. Πρβλ. Ψαλμ. 84, 2. 2. Ματθ. 16, 18. 3. Γαλ. 3, 28.

τὸ ἅγιον τοῖς ἀποστόλοις παρακελεύεται, οἱονεὶ τεῖχος αὐτοὺς γενέσθαι τῆς Σιών, τουτέστιν τοῦ θεοσεβοῦς πολιτεύματος. «Διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς.» Καὶ τίνες ἂν εἶεν οἱ πύργοι τῆς Ἐκκλησίας ἢ οἱ κατὰ καιρὸν αὐτῆς ἡγούμενοι καὶ οἱ δίκαιοι, οἷς καὶ διηγοῦνται τὰ μεγαλεῖα τοῦ Θεοῦ οἱ ἀπόστολοι;

[Ταῖς τὴν Ἐκκλησίαν καὶ τὸ θεοσεβὲς πολίτευμα φρουρούσαις θείαις δυνάμεσιν, ἀγγέλοις τε ἁγίοις προσφωνεῖ τὸ Πνεῦμα τὸ ἅγιον λέγον· Κυκλώσατε τοὺς πύργους. Τὰ γὰρ κρείττονα τῆς πόλεως ὡς ἀναγκαιότερα πρὸς παραφυλακὴν ἀριθμῷ παρεδέδοται τοῖς φρουροῖς.]

«Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς.» Δύναμις πάλιν τῆς Ἐκκλησίας οἱ ὑποστηρίζοντες αὐτὴν λόγοι, οὓς καὶ ἐξ ὅλης τῆς καρδίας κελεύει τοὺς ἁγίους ἀποστόλους νουθετεῖν. «Καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς.» Ἕκαστος, φησί, μέρους βασιλευέτω τῶν ἐθνῶν. Διείλαντο γάρ, φησί, τὴν οἰκουμένην οἱ δώδεκα. «Ὅπως διηγήσησθε εἰς γενεὰν ἑτέραν.» Οἱ γὰρ ἀπόστολοι καὶ ταῖς μετ' αὐτοὺς διηγοῦνται γενεαῖς, δι' ὧν καταλελοίπασι συγγραμμάτων περὶ Χριστοῦ.

«Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα.» Τῆς διανεμήσεως τὴν αἰτίαν φησί. Τούτου χάριν διδάξατε καὶ διέλεσθε, ἵνα καὶ ταῖς ὕστερον γενησομέναις γενεαῖς ἀκουστὸν γένηται, ὅτι οὗτος ὁ δικαίως ποιμάνας λαὸν (λέγει δὲ Κύριον) οὗτός ἐστιν ὁ καὶ εἰς τοὺς μέλλοντας καὶ ἀτελευτήτους αἰῶνας μέλλων ποιμαίνειν.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορέ.

ΨΑΛΜΟΣ ΜΗ'.

Ὑπόθεσις.

Διὰ τοῦ παρόντος ψαλμοῦ τὰ περὶ τοῦ θείου δικαστηρίου τοῖς πᾶσιν ἀνθρώποις κηρύττεται, καὶ ἡ ἡμέρα ἐκείνη, καθ' ἣν ἄξει ὁ Θεὸς πᾶν τὸ ποίημα εἰς κρίσιν. Ἔχοιεν δ' ἂν οἱ υἱοὶ Κορὲ τῶν ἀποστόλων τὸ πρόσωπον, τῶν μυσταγωγησάντων τὴν ὑπ' οὐρανόν.

«Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.» Ὥσπερ ἐπὶ σωτηρίᾳ πᾶν γένος ἀνθρώπων παρακαλεῖ, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ διδασκαλίαν τῆς θείας κρίσεως ὁμοῦ πάντας ὁ λόγος ἀνακαλεῖται.

«Οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων.» Γηγενεῖς μὲν τοὺς βαρυτέρους τῶν ἀνθρώπων καλεῖ τοὺς βαρβάρους, καὶ ἐν ἐρημίαις οἰκοῦντας, καὶ μὴ νομίμως πολιτευομένους· υἱοὺς δὲ ἀνθρώπων τοὺς ἡμερωτέραν πολιτείαν μετερχομένους, καὶ νόμοις διοικουμένους.

«Τὸ στόμα μου λαλήσει σοφίαν.» Ὥσπερ εἰς τάγματα πλεῖστα τοὺς ἀκροατὰς διεῖλεν, οὕτως καὶ τὴν αὐτοῦ διδασκαλίαν εἰς τρόπους ἀφορίζει διαφόρους. Ὁ χορὸς δέ ἐστιν ὁ ἀποστολικὸς ὁ ταῦτα φθεγγόμενος, καὶ ἐπὶ στόματος φέρων τὸν Χριστόν, ὅς ἐστιν ἡ σοφία τοῦ

Πατρός. Ἅτε δὴ οὖν τὸν Χριστὸν ἐπὶ στόματος φέροντες, καὶ τοῦτον εἰς νοῦν ἀεὶ ἐκμελετῶντες, σύνεσιν εἶχον. Οὕτω δὲ αὐτῶν ἠκόνητο πρὸς σύνεσιν ὁ νοῦς, ὡς καὶ τὰς παραβολὰς τοῦ Σωτῆρος τὰς ἐν τοῖς Εὐαγγελίοις φερομένας συνιέναι. Διὸ λέγοντος αὐτοῖς τοῦ Χριστοῦ· «Συνήκατε ταῦτα πάντα;» ἔλεγον αὐτῷ· «Ναί.[1]»

«Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου.» Ἐγὼ μέν, φησίν, ἀκονήσας τὸν ἐμαυτοῦ νοῦν εἰς σύνεσιν τῶν σωτηρίων παραβολῶν, δεδύνημαι ἐπακολουθῆσαι τῇ φερομένῃ αὐτοῖς διανοίᾳ· τοῖς δὲ μὴ τοῦτο πράττειν δυναμένοις διὰ νηπιότητα ἀνοίξω τὰ κεκλεισμένα, καὶ διασαφήσω τὰ προβλήματα καὶ τὰς παραβολάς. Καὶ ταῦτα πράξω διὰ τοῦ ἐμαυτοῦ ψαλτηρίου, τοῦ σώματος δηλαδή, ὀργάνου δίκην ἐπηχοῦντος, δι' οὗ πρὸς ὕμνον τρέπεται ἡ ψυχή, δι' ἑκάστου αἰσθητηρίου καὶ μέλους καὶ μέρους ἐπιστημόνως κινουμένη.

«Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ;» Ἐντεῦθεν ἄρχεται, τῆς διδασκαλίας τὰ πρῶτα ὡς ἐν προοιμίοις διαλαλήσας. Ἄρχεται δὲ κατ' ἐρώτησιν, ἵνα καὶ ἀπόκρισιν λάβοι. Ἡ δὲ ἐρώτησίς ἐστιν αὕτη· «Ἵνα τί φοβοῦμαι;» μέχρι γὰρ τοῦ «φοβοῦμαι» δεῖ στίξαι, ἵνα ᾖ ἡ διάνοια αὕτη Εἴ τις ἐρωτᾷ, φησίν, «Ἵνα τί φοβοῦμαι;» τὴν αἰτίαν θέλων γνῶναι παρ' ἐμοῦ τῆς συνεχούσης με ἀγωνίας, ἀκουέτω μετὰ παρρησίας, ὡς ἔστιν ἡμέρα πονηρά, ἣν αὐτὸς φρίττων φοβοῦμαι. Φρίττω δέ, ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἡ «ἀνομία τῆς πτέρνης μου κυκλώσει με», τουτέστιν ἡ παρεκτροπὴ τῆς θείας ὁδοῦ, ἣν πεποίημαι κατὰ τὸν βίον, περισπασμῷ καὶ ἀπάτῃ τὸν θεῖον παραβὰς νόμον. Αὕτη οὖν ἡ ἀσέβεια κυκλώσει με, φησίν· ἀντὶ τοῦ, Περιστήσεταί με τὰ ἔργα τὰ πονηρὰ ἃ πέπραχα, κυκλοῦντά με πανταχοῦ καὶ πολιορκοῦντα, καὶ μὴ ἐῶντά με τὴν κόλασιν ἐκφυγεῖν. Πονηρὰν τὴν τῆς κρίσεως ἡμέραν φησίν, ἅτε δὴ πονηρὰν τοῖς κολαζομένοις ὑπάρχουσαν. Ὁ δὲ Ἀπόστολος καὶ ἡμέραν τῆς ὀργῆς αὐτὴν ἐκάλεσεν, εἰρηκώς· «Θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς.[2]»

«Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν.» Ἀπὸ κοινοῦ, τό, Ἀκούσατε ταῦτα οἱ ἐπὶ πλούτῳ καὶ τῇ δυνάμει θαρροῦντες. Τίνα δέ ἐστιν ἃ ὀφείλουσιν ἀκούειν ἢ ἐκεῖνα, ὡς οὐδὲ αὐτοὺς κατ' ἐκείνην τὴν ἡμέραν ὁ πλοῦτος ὀνήσει; Οὐδὲν γὰρ λυτρώσεται αὐτοὺς τῆς ἐπαχθησομένης αὐτοῖς διὰ τῆς ἁμαρτίας ὀργῆς· ὥσπερ οὖν οὐδὲ ἀδελφός, φέρε εἰπεῖν, θεοφιλής, οὔτε ἄλλος τις ἀνθρώπων ἰσχύει λυτρώσασθαι ἐν τῇ τότε ἡμέρᾳ τινά· καὶ εἰ ὁ ἀδελφὸς οὐκ ἰσχύει, καὶ ταῦτα θεοφιλής, πολλῷ πλέον οὐκ ἰσχύσει ὁ πλοῦτος.

[«Ὁ ἀδελφὸς οὐ λυτροῦται·» ἀδελφὸν θεοφιλῆ λέγει καὶ τίμιον.]

«Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ.» Διδάξας, ὡς οὐδὲν ὁ πλοῦτος ἐν ἡμέρᾳ κρίσεως ὠφελεῖ, διδάσκει καὶ τὸ ὠφελοῦν. Τί δὲ τοῦτο ἢ τὸ ἔγκοπον καὶ ἐπίπονον βίον κτήσασθαι; Οὗτοι γὰρ

1. Ματθ. 13, 51. 2. Ῥωμ. 2, 5.

καὶ τῆς ἐπηγγελμένης ζωῆς κατὰ τὸν μέλλοντα αἰῶνα ἀξιωθήσονται. Ὁ κοπιῶν διὰ τῆς πρακτικῆς ζήσεται εἰς τέλος διὰ τῆς γνώσεως, καὶ παύσεται εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς νῖκος. «Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος.»

«Οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας.» Εἰς τοσοῦτον γὰρ μακρὰν ἔσονται τῶν ἀσεβῶν, ὡς μηδὲ πλησιάζειν αὐτῶν τῇ ἀπωλείᾳ. Τίνες δὲ ἀποθνήσκοντες σοφοὶ ἢ περὶ ὧν λέλεκται· «Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω; [1]» Παιδεύει γὰρ διὰ πάντων ἡ παροῦσα Γραφή, ὡς κατὰ τὴν ἡμέραν τῆς κρίσεως οὔτε πλούσιος ἑαυτὸν ῥύεται, οὔτε ὁ νενομισμένος σοφός. Μόνος δὲ ἐκεῖνος τεύξεται τῆς αἰωνίου ζωῆς, ὁ ἐν τῷ παρόντι βίῳ κατατήξας. «Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται.» Ὁμοῦ σοφοί, φησί, καὶ ἄφρονες ἀπωλείᾳ παραδοθήσονται· οὐ διενηνόχασιν γὰρ ἀλλήλων οὐδέν, ὁμοίως εἰδωλολατροῦντες. «Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν.» Οὐ γὰρ ἠθέλησαν αὐτὸν οἰκεῖον ποιήσασθαι διὰ τῆς εἰς τοὺς δεομένους εὐεργεσίας.

«Καὶ οἱ τάφοι αὐτῶν οἰκία αὐτῶν εἰς τὸν αἰῶνα.» Διὰ τῶν τάφων τὴν νεκρότητα σημαίνει ἣν ἐνέδυσαν τὴν ψυχὴν αὐτῶν, οὐδὲν ὀρθὸν οὐδὲ εὐθὲς φρονήσαντες περὶ Θεοῦ. «Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν.» Αἱ σκηναί, φησίν, ἐν αἷς ζῶντες ᾤκουν ἀφ' ἑτέρων εἰς ἑτέρους ἥξουσι κατὰ γενεάς· τοῦτο γὰρ καὶ ἀνωτέρω εἴρηκεν, ὅτι «καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν.» Δέον, φησί, διὰ πίστεως καὶ πολιτείας λαμπρᾶς παρασκευάσαι γραφῆναι αὐτῶν τὰ ὀνόματα ἐν τοῖς οὐρανοῖς· οἱ δὲ ἐπὶ τῆς γῆς αὐτὰ ἐπεκαλέσαντο ἐπωνύμους αὐτοῖς κτίζοντες πόλεις.

«Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε.» Τὸ αἴτιον τοῦ ἐκπεσεῖν αὐτοὺς εἰς τὸ μέγα φρονεῖν τὰ σαρκὸς ἐπιθυμήματα λέγει. Τοῦτο δέ ἐστι τὸ μὴ συνιέναι τὴν τιμὴν αὐτῶν, ὅτι δὴ κατ' εἰκόνα πεποίηνται Θεοῦ. Ὁμοίως δὲ τοῖς κτήνεσι τοῖς ἀνοήτοις γῆν οἰκεῖν ἀντὶ τῶν οὐρανίων σκηνῶν κατηλλάξαντο, καὶ τάφους ἀντὶ τῆς παρὰ Θεοῦ ζωῆς.

«Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς.» Ὁδὸν ἡ θεία Γραφὴ τὸν ἑκάστου βίον οἶδε καλεῖν, καὶ τὸν ἑκάστου τῆς ζωῆς χρόνον. Ταύτην οὖν, φησί, τὴν ὁδὸν τραχεῖαν καὶ ἐχθρὰν κατεσκεύασεν αὐτοῖς, ἅτε μηδὲν εὐθὲς πεφρονηκότες. Ἀλλ' ὅτε μὲν προσέκοπτον ἐν αὐτῇ, οὐκ ᾐσθάνοντο τῶν σκανδάλων. «Μετὰ δὲ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν», ἀντὶ τοῦ, Ὁμολογήσουσι μετανοήσαντες ἐφ' οἷς τοιαύτην ὥδευσαν τρίβον, ὅτε οὐχ ἕξουσι τῆς μετανοίας καιρόν.

«Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο.» Ἐπειδὴ οὐκ ἠθέλησαν ὑπὸ τὸν ἀγαθὸν εἶναι ποιμένα, ἀλλὰ τὴν ἑαυτῶν τιμὴν ἀπωσάμενοι, παραπλη-

1. Ἡσ. 29, 14. Α' Κορ. 1, 19.

σίως τοῖς κτήνεσι τὰ σώματα διεφθάρησαν· ταύτῃ τοι καὶ θρέμματα γεγόνασιν ᾅδου, ὡς λοιπὸν αὐτὸν ποιμαίνοντα αὐτοὺς εἰς τὰς αὐτοῦ νομὰς ἀπάξειν, τοὺς μὲν εἰς τὸ πῦρ τὸ αἰώνιον, τοὺς δὲ ὅπου ὁ κλαυθμὸς καὶ βρυγμὸς τῶν ὀδόντων, τοὺς δὲ εἰς τὸ σκότος τὸ ἐξώτερον.

«Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ.» Οὐκέτι ὥσπερ ἐν τῷ παρόντι βίῳ ὄντες, κατεξανίστανται τῶν εὐσεβῶν· τουναντίον δὲ οἱ τοῦ καιροῦ τῆς πρωίας ἀξιωθέντες καὶ τοῦ νέου φωτὸς τῶν ἀσεβῶν κατακυριεύσουσι. «Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ.» Πᾶσα, φησίν, ἡ βοήθεια αὐτῶν, ἤτοι ἡ ἰσχύς, ἣν ἔσχον ἐκ τῆς δόξης, τῷ θανάτῳ διαλυθήσηται. Τὸ γάρ, «παλαιωθήσεται», ἀντὶ τοῦ, διαλυθήσεται, τέθειται.

«Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με.» Ἐμοῦ, φησί, τοῦ ταῦτα λέγοντος λυτρώσεται ὁ Θεὸς τὴν ψυχήν, πρὸς τὸ μὴ συναπαχθῆναι αὐτήν, καὶ ἐρημωθῆναι μετὰ τῶν τοῦ ᾅδου προβάτων.

«Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος.» Μαθών, φησίν, οἷον ἔσται τῶν ἀσεβῶν τὸ τέλος, μὴ μακαρίσῃς τοὺς ἐν τῷ βίῳ πλουτοῦντας, μηδὲ φοβηθῇς ὡς πάσης ἀποκεκλεισμένος ἐλπίδος, μὴ ἀθυμῇς δὲ ὡς μεγάλων ἀγαθῶν τῶν παρόντων ἐστερημένος. Εὖ ἴσθι, ὅτι σὲ μὲν περιμένει ἡ ἐκ θανάτου λύτρωσις καὶ ἡ αἰώνιος ζωή· ὁ δὲ παρὰ τοῖς πολλοῖς εὐδαιμονιζόμενος διὰ πλοῦτον καὶ δόξαν, καὶ διὰ τὴν ψευδώνυμον σοφίαν, οὐδὲν πλέον ἕξει· γυμνὸς γὰρ πάντων ἀπαχθήσεται τῶν τοῦ βίου.

«Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα.» Τοῦτο, φησί, μόνον ἔδοξαν κερδαίνειν οἱ ἄθεοι ἀπὸ τοῦ πλούτου, τὸ εὐλογηθῆναι τὴν ψυχὴν αὐτῶν ἐν τῇ θνητῇ καὶ προσκαίρῳ ζωῇ. Ἐκείνων ἐπαινούντων αὐτοὺς καὶ εὐδαιμονιζόντων ἐφ' οἷς ἔδοξαν ἔχειν ἀγαθοῖς. «Οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.» Ἐπειδὴ πάντα πρόσκαιρα, φησί, τότε χάριν ἀποδώσει σοι τῷ δημιουργῷ ὁ τοιοῦτος, ὅταν πληθύνῃς τὰ ὄντα αὐτῷ.

«Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ.» Μιμήσεται, φησί, τῶν πατέρων τὸν ζῆλον, καὶ ἐκ πονηρῶν ὢν τὴν πονηρίαν διαδέξεται. «Ἕως αἰῶνος οὐκ ὄψεται φῶς.» Οἱ γὰρ τοιαῦτα φρονοῦντες τυφλοὶ ταῖς ψυχαῖς γεγόνασι, μήτε ἐν τῷ θνητῷ βίῳ τῷ φωτὶ τῆς γνώσεως φωτισθέντες, μήτε ἐν τῷ μέλλοντι τοῦ αἰωνίου φωτὸς ἀξιοθησόμενοι.

ΨΑΛΜΟΣ τῷ Ἀσάφ.

ΜΘ'.

Ὑπόθεσις.

Ἄδει τὸν ψαλμὸν ὁ Ἀσὰφ τοῦ νομοθέτου τὸ πρόσωπον εἰσφέρων, τὰς πάλαι μὲν ἀνατρέπων θυσίας, εἰσφέρων δὲ τὰς τῆς Νέας Διαθήκης, τὰς δι' αἰνέσεως δωροφορίας. [Οἱ Ἰουδαίων πρῶτοι ἀρετῆς ἀμελοῦντες τὸ (;) ἐνόμιζον εἶναι ἐν τῷ τοὺς νόμους ἀποστοματίζειν καὶ

διαγγέλλειν, καὶ θυσίας προσφέρειν. Νόμου δὲ ἀνάγνωσις, καὶ θυσιῶν προσφορὰ τῆς ἐνυπαρχούσης εἰσὶν ἀρετῆς καρπός· ἄνευ δὲ ταύτης ἐκεῖνα ποιεῖν μόνον ὅμοιόν ἐστιν ἀλείφεσθαι μὲν ἐπὶ τῷ παλαίειν, αὐτῶν δὲ τῶν παλαισμάτων καταμελεῖν, ἐξ ὧν ὁ στέφανος. Πρὸς οὖν τοὺς οὕτω διακειμένους ἔλεγχον ποιεῖται ὁ μακάριος Δαυΐδ, τὸν Θεὸν εἰσάγων ὀνειδίζοντα καὶ δεικνύντα, ὅτι μὴ οὔσης ἀρετῆς, τὰς θυσίας ἀποστρέφεται, ὃ καὶ διὰ Ἡσαΐου ἔλεγεν· «Ὁ ἄνομος ὁ θύων μοι μόσχον [1], ὡς ὁ τύπτων ἄνδρα», καὶ τὰ ἑξῆς. Ἐν εἰκόνι οὖν σχηματίζει τὸν Λόγον, καὶ εἰσάγει τὸν Θεὸν ἐξ οὐρανοῦ παραγινόμενον, καὶ καθίζοντα κριτήριον, καὶ τοὺς τῶν Ἰουδαίων κρίνοντα ἄρχοντας, «Θεὸς θεῶν ἐλάλησε.»]

«Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν.» Θεοὶ μὲν οἱ ἅγιοι παρὰ τῷ Θεῷ· «Δέδωκά σε τῷ Φαραὼ εἰς Θεόν· [2]» καί, «Ἐγὼ εἶπα· Θεοί ἐστε.[3]» Καλοῦνται δὲ ὑπὸ τοῦ Θεοῦ πότε, ἢ ὅτε ἐνανθρωπήσας ἐλάλησε, καὶ πᾶσαν συνεκάλεσε τὴν γῆν; Τί δὲ ἐλάλησεν ἢ τό, «Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη [4]», καὶ τό· «Δεῖ κηρυχθῆναι τὸ Εὐαγγέλιον τοῦτο ἐν ὅλῃ τῇ οἰκουμένῃ; [5]»

«Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ.» Ἐκ γὰρ τῆς ἄνω Σιὼν καὶ δευτέραν παρουσίαν ποιήσεται.

[«Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. Θεὸς ἐμφανῶς ἥξει.» Τὸ μέν, «ἐκ Σιών», τὴν προτέραν λέγει παρουσίαν σημαίνειν· τὸ δέ, «ἐμφανῶς», δευτέραν. Κατὰ μὲν οὖν τὴν πρώτην αὐτοῦ παρουσίαν καὶ τὴν ἔνδοξον θεοφάνειαν ἐσιώπα ὑπ' ἀνθρώπων κρινόμενος, οὐδὲ ἐμφανῆ τὴν ἑαυτοῦ θεότητα ἐδείκνυ· ἐπειδὰν δὲ τὸ δεύτερον ἀφίκηται, ἥξει ἐμφανῶς, καὶ οὐ παρασιωπήσεται· ἀλλ' ἐλέγξει τοῦ κόσμου τὴν ἁμαρτίαν. Εἰ γὰρ ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ δὲ Χριστὸς Θεός ἐστι, τό, «ἐμφανῶς», ἄρα τὴν σάρκα δηλοῖ.]

«Ὁ Θεὸς ἐμφανῶς ἥξει.» Οὐ γὰρ κατὰ τὴν προτέραν παρουσίαν λεληθότως· ἀλλ' ὡς αὐτός φησιν, ὡς ἀστραπὴ πληροῦσα ἀπὸ ἀνατολῶν ἕως δυσμῶν. «Ὁ Θεὸς ἡμῶν καὶ οὐ παρασιωπήσεται.» Οὐχ ὥσπερ τὸ πρότερον, φησίν, ἐσιώπα τοῖς ἀσεβέσιν, οὕτω καὶ τότε. «Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται.» Πῦρ, ἵνα τοὺς ἀξίους διὰ τὴν ἀσέβειαν αὐτῶν παραδῷ. Ὅμοιον δὲ τό, «Ἔμπροσθεν αὐτοῦ εἷλκε ποταμὸς πυρός.» Σφόδρα ταῦτα καὶ ὁ μακάριος ἐθεάσατο Δανιήλ. «Ποταμὸς» γάρ, φησί, «πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· [6] ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον.» Τὸ δὲ πῦρ ἢ τὸ φῶς σημαίνει τὸ ἐξ αὐτοῦ· τῆς γὰρ γνώσεως τοῦ Χριστοῦ τὸ διὰ πίστεως ἡγεῖται φῶς νοητόν, οὗ τύπος ὁ τοῦ Ἰσραὴλ ἐν νυκτὶ καθηγησάμενος στῦλος πυρός· ἢ ὅτι τοὺς ἀπεψυγμένους ἡμᾶς εἰς ἅπασαν ἁμαρτίαν ἀνεζωπύρησεν ὁ Σωτὴρ εἰς προθυμίαν παντὸς ἀγαθοῦ· πῦρ ὥσπερ

1. Ἡσ. 66, 3. 2. Ἔξ. 7, 1. 3. Ψαλμ. 81, 6. 4. Ματθ. 28, 19. 5. Μάρκ. 13, 10. 6. Δαν. 7, 10.

νοητὸν τὴν τοῦ ἁγίου Πνεύματος μέθεξιν ἐμβαλών. Ἔφη γοῦν ὅτι· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν·[1]» γεγόναμεν γὰρ τῷ πνεύματι ζῶντες, ὅσοι τῆς τοιαύτης ἠξιώμεθα χάριτος. Διὸ καὶ ἐν τῇ τοῦ ἁγίου Πνεύματος χάριτι πυρὸς δήλωσις συνεισφέρεται· βαπτιζόμεθα γὰρ ἐν Χριστῷ κατὰ τὴν Ἰωάννου φωνὴν ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Ἔφη δέ τις καὶ τῶν προφητῶν· ὅτι «Αὐτὸς ἐκπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων· καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ χρυσίον.[2]» Ἐκτήκει γὰρ ἅπαντα ῥύπον ἐν ἡμῖν ἡ τοῦ ἁγίου Πνεύματος δύναμις. Ἀλλ' οὐδὲν ὤνησε τὴν Ἰουδαίων Συναγωγήν, ὅτι μὴ τὴν χάριν προσήκαντο, περὶ ὧν ἐν Ἱερεμίᾳ ὁ Θεός· «Ἐξέλειπε φυσητὴρ ἀπὸ πυρός, ἐξέλειπε μόλιβδος. Εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ· πονηρίαι αὐτῶν οὐκ ἐτάκησαν.[3]»

«Προσκαλέσεται τὸν οὐρανὸν ἄνω.» Πάλαι μὲν οἱ ἐπὶ γῆς μερίδες ἦσαν ἀλωπέκων[4], ὡς ἐν Ψαλμοῖς πού φησι, τοῖς ἀκαθάρτοις λατρεύοντες πνεύμασι, καὶ κατὰ τόπον ἕκαστον Θεὸν ἡγούμενοι τὸ δοκοῦν. Ἀλλ' ἐπιφανεὶς ὁ Σωτήρ, ἐνήστραψεν ἡμῖν τῆς ἀληθοῦς θεογνωσίας τὸ φῶς, ἐπέστρεψε τὸ πεπλανημένον, κατέδησε τὸ ἠρρωστηκός, ὡς ποιμὴν ἀγαθός, ἀπεσόβησε τοὺς θῆρας τῆς τῶν προβάτων αὐλῆς· ἡγίασε πνεύματι, ἠσφαλίσατο δυνάμεσιν ἀγγελικαῖς, ἐπέστησε τοὺς ἀνὰ πᾶσαν τὴν γῆν ἁγίους μυσταγωγούς. Προσκαλέσεται τοίνυν, φησί, τοὺς ἐν οὐρανοῖς ἀγγέλους, καὶ τοὺς ἐξειλεγμένους ἐν γῇ πρὸς ἀποστολήν, ὥστε τὸν λαὸν αὐτοῦ διακρῖναι. Οἱ γὰρ ἀπόστολοι τοὺς μὲν πειθομένους προσήνεγκαν τῷ Θεῷ, ἀπιστοῦντας δὲ τῷ Σατανᾷ παρέπεμψαν, μονονουχὶ λέγοντες· Πορεύεσθε οὖν, φησί, τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. Τοῖς γοῦν Ἰουδαίοις ἀπιστοῦσί φασιν· «Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαλῆσαι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτόν, καὶ ἀναξίους ἑαυτοὺς κρίνετε τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη.[5]» Ὅτι δὲ τοῖς μυσταγωγοῦσι καὶ τοῖς αὐτῶν μαθηταῖς συμπράττουσιν ἄγγελοι, δηλοῖ λέγων ὁ Παῦλος· «Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;[6]» Τοῦτο καὶ ἡ κλῖμαξ ἐδήλωσεν, ἣν εἶδεν Ἰακὼβ τὴν ἐκ γῆς διήκουσαν εἰς τὸν οὐρανόν, ἐφ' ἧς ἐπεστήρικτο Κύριος, ἄνω κάτω διαθεόντων ἀγγέλων.[7] Τοιοῦτον καὶ τό· «Παρεμβαλεῖ Κύριος κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς·[8]» δι' ὧν οὖν συμπράττουσι καὶ αὐτοὶ διακρίνουσι τὸν λαόν.

«Προσκαλέσεται τὸν οὐρανὸν ἄνω.» Τοὺς δικαίους, φησί, τοὺς οὐράνιον πολιτείαν ἐπιτηδεύοντας, συνάξει εἰς τὰς ἄνω μονάς. «Καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.» Τοὺς ἁμαρτωλούς φησι καὶ πάντας

1. Λουκ. 12, 49. 2. Μαλ. 3, 2-3. 3. Ἱερ. 6, 28-29. 4. Πρβλ. Ψαλμ. 62, 11. 5. Πράξ. 13, 46. 6. Ἑβρ. 1, 14. 7. Πρβλ. Γεν. 28, 12. 8. Ψαλμ. 33, 8.

τοὺς ἐπὶ τῆς γῆς συνάξαι, ἐπὶ τὸ χωρίσαι τοὺς δικαίους τῶν μὴ τοιούτων.

«Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ.» Ὡς πρὸς τοὺς ἀγγέλους ὁ λόγος, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου· «Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ [1], καὶ συνάξουσι τοὺς δικαίους ἐκ τῶν τεσσάρων ἀνέμων τῆς γῆς· τοὺς διαθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίας.» Θυσίας τὰς πνευματικὰς λέγει.

«Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ.» Δοξάσουσι, φησίν, οἱ οὐρανοὶ τὸν Θεόν, ὅτι δὴ καὶ ἀνθρώπους τῶν οὐρανίων διατριβῶν ἠξίωσε. Βούλεται τοὺς ὁσίους τοῦ πρότερον λαοῦ πρὸ τῆς μελλούσης κρίσεως παῦσαι τῆς θυσίας τῆς διὰ τῶν ἀλόγων ζῴων σφαγῆς, ἀναλαβεῖν τὴν κατ' ἐπιστήμην καὶ γνῶσιν. Ἐπὶ δὲ τούτοις τὸν κριτὴν αἱ οὐράνιαι δυνάμεις ἀνυμνοῦσιν, ὅτι ἀπὸ τῶν ὁσίων κατήρξατο, καὶ οἱ οὐρανοὶ διαγγέλλουσι τὴν δικαιοσύνην αὐτοῦ, συγχαίροντες αὐτῶν τῇ σωτηρίᾳ. Τὸ δὲ τῆς γῆς οἰκητήριον τῷ μὴ τῆς οὐρανίου κλήσεως ἠξιωμένῳ τάγματι καταληφθήσεται. «Ὅτι ὁ Θεὸς κριτής ἐστιν.» Ἐνταῦθα προδήλως τὸν Χριστὸν λέγει Θεόν· πᾶσαν γὰρ τὴν κρίσιν δέδωκεν ὁ Πατὴρ τῷ Υἱῷ.[2] Καὶ εἰ πᾶσαν τὴν κρίσιν δέδωκεν ὁ Πατὴρ τῷ Υἱῷ, ὁ δὲ Θεὸς κριτής ἐστι· Θεός ἐστιν ὁ Χριστός.

«Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι.» Καινῶς νομοθεσίας εἰσαγωγὴν ποιούμενος, ἵνα μή τις ἀνθρώπινον τὸν λόγον ἢ τινος ἀγγελικῆς δυνάμεως ὑπολάβοι, προτάττει τό, «Ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ.» Ἡ δὲ διάνοια αὕτη· Μὴ νόμιζε ἕτερον εἶναί με, διὰ τὸ ἕτερα νομοθετεῖν σήμερον· ἀλλ' αὐτὸς ἐκεῖνός εἰμι ὁ παρὰ Μωσῇ τὰ περὶ θυσιῶν νομοθετήσας. Μαρτύρομαι δέ σε, οὐκ ἐγκληθήσῃ παραβὰς τοὺς παρὰ Μωσῇ νόμους. Αὐτὸς γάρ εἰμι ὁ κἀκεῖ διαταξάμενος τῷ παιδί μου συμφερόντως, καὶ νῦν τάδε μαρτύρομαι, ὅτι μὴ ἀνάγκη σοι τὰ περὶ θυσιῶν φυλάττειν νόμιμα. Κἂν γὰρ μὴ προσφέρῃς αὐτά, οὕτως προσενηνεγμένα ἐστί. «Τὰ γὰρ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστι διαπαντός», κἂν μὴ προσφέρηται. Εἰ δὲ ἐξ ἅπαντος σπουδάζεις ὥσπερ τινὰ τίμια καὶ ἀναγκαῖα ταῦτα προσάγειν, ἄκουε μετὰ παρρησίας, ὡς οὐδὲν τούτων παρὰ σοῦ δέξομαι. Περιττὰ γάρ μοι πάντα· ἐπειδὴ καὶ τὰ ἐν ἀγροῖς νεμόμενα ζῷα βόες καὶ κτήνη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἡ ὡραιότης τοῦ ἀγροῦ, πάντα ἐμὰ τυγχάνει, καὶ ἀνενδεὴς παντὸς ὑπάρχω. Εἰ δὲ καὶ χρεία μοι γένοιτό ποτε τροφῆς, οὐχ οὕτως ἐνδεὴς ἐγώ, ὡς παρὰ σοῦ τὰ τοιαῦτα αἰτεῖν· «Ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη.» Τίνας δέ μοι προσηνεῖς θύσεις θυσίας; τὴν αἴνεσιν, τὸν ὕμνον, τὴν θεολογίαν. Ἐπειδὴ δὲ ταῦτα πληρώσεις, τὸ τηνικαῦτα ὡς ἂν νόμον πληρώσας θεῖον, ἀντίδοσιν λήψῃ τὸ ἐπικαλούμενος εἰσακουσθῆναι. Καὶ δεικνὺς πρὸς ποῖον λαὸν διαλέγεται, ἐπήγαγεν· «Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι.» Εἶτα τὴν οἰκείαν δεί-

1. Ματθ. 13, 41. 2. Ἰω. 5, 22.

κνυσι δεσποτείαν· «Ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ», ὁ τῆς Αἰγυπτιακῆς σε δουλείας ἐλευθερώσας, ὁ τὴν θάλατταν ὁδὸν δωρησάμενος, ὁ ἐν ἐρήμῳ διαθρέψας, ὁ τὸν νόμον ἐκεῖνόν σοι δεδωκώς. Μὴ γὰρ δὴ ἄλλον με νομοθέτην νομίσῃς, τῶν νόμων ὁρῶν τὸ διάφορον.

[«Ὁ Θεὸς ὁ Θεός σου.» Τουτέστιν, ὁ μεγάλα θαυμάσια ἀρχῆθεν μέχρι τοῦ νῦν τῷ γένει ὑμῶν ἐνδειξάμενος.»]

«Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε.» Οὐκ ἀμέλειάν σοι, φησίν, ἐγκαλῶ θυσιῶν· προσφέρεις γὰρ ταύτας διηνεκῶς· ἀλλὰ μὴ ταύταις ὁρίσασθαι τὴν δικαιοσύνην παρεγγυῶ.

«Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου;» Ἁμαρτωλὸν ἐνταῦθα τὸν νομοθέτην τῶν θείων Γραφῶν φησιν. Ὅμοιον δὲ τῷ εἰρημένῳ· «Οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ.[1]» Εἰ γὰρ πάσας παραβαίνει τὰς ἐντολὰς καὶ πᾶσαν ἐπιτηδεύει κακίαν, καὶ δολίαν ἀποδίδωσι τὴν γλῶσσαν· τί καὶ τὰς θείας ἐπὶ στόματος φέρει Γραφάς;

«Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος.» Πάλαι μέν, φησίν, ἐμακροθύμησα, ἀλλ' οὐ νῦν τοῦτο ποιήσω· παραστήσω γὰρ εἰς τὸν κατὰ σοῦ ἔλεγχον τὰ σὰ ἁμαρτήματα, ἃ δὴ σὺ μὲν ὑπέλαβες μηκέτι ὑφεστάναι, μηδὲ εἰς μνήμην ἥξειν τινός· ἐγὼ δὲ ὡς Θεὸς εἰς φῶς παράξω, καὶ προτεθήσονται ἐνώπιόν σου· οὐ κρύπτων ὥσπερ σύ, καὶ ὡμοιωμένος σοι. Παράξω δὲ αὐτά, ὅπως αὐτὰ καὶ γνωρίζων αἰσχύνην καταχέω. «Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου.»

«Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ.» Ὡς φιλάνθρωπος μετὰ τὸν ἔλεγχον ἐπιφέρει καὶ παραίνεσιν, μετανοίας τόπον, διδούς. Σύνετε, ὅτι μὴ χαίρων τοῖς ὑφ' ὑμῶν γενομένοις μακροθυμῶ, καιρὸν δὲ μετανοίας διδούς. Εἰ δὲ μή, ἁρπάξει ἡμᾶς ὁ ἄνομος, ἤγουν ἡ ἀνομία, μηδενὸς ἡμᾶς ῥυομένου. Ῥύομαι γὰρ τοὺς νοοῦντας οἳ κακῶν εἰσι, καὶ παυσαμένους καὶ λέγοντας· «Ἠνομήσαμεν, ἠδικήσαμεν, ἠσεβήσαμεν.[2]» Οὐ γὰρ ἔστιν ἐξομολογεῖσθαι τὸν ἔτι τὸ κακὸν ἐνεργοῦντα. «Μή ποτε ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ῥυόμενος.» Μή ποτε, φησίν, ἀφέληται τὴν ψυχὴν ὁ θάνατος, μετανοήσατε· οὐκ ἔστι γὰρ ὁ ῥυόμενος τοὺς ἐν ᾅδου κατειλημμένους ταῖς ἁμαρτίαις. Ἁρπάζεται γὰρ ψυχή, ὡς παντελῶς ἐκπεσοῦσα Θεοῦ.

«Θυσία αἰνέσεως δοξάσει με.» Ἐπαναλαμβάνει τὰ εἰρημένα, τὴν λογικὴν ἐπιτελεῖν λατρείαν παρακελευόμενος. Μετὰ τὴν πολλὴν κατηγορίαν τὸ φάρμακον τῆς ἁμαρτίας ἔδειξε, τῶν μυστηρίων δηλαδὴ τὴν ἀπόλαυσιν. Ἐκείνη γὰρ ἀληθῶς θυσία αἰνέσεως τὸν Θεὸν δοξάζουσα. Ἐπειδὴ μετὰ τῶν ἀγγέλων αἰνοῦντες τότε καὶ μετὰ τῆς κτίσεως ἱστάμεθα. «Καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου.» Ἐν τῇ θυσίᾳ, φησί, τῆς αἰνέσεως ὁδός ἐστι τῆς παρὰ Θεῷ σωτηρίας.

1. Σοφ. Σειρ. 15, 9. 2. Β' Παρλ. 6, 37.

Εἰς τὸ τέλος ΨΑΛΜΟΣ ᾠδῆς τῷ Δαυίδ.
Νʹ.
Ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ.

Ὑπόθεσις.

Τοῦτον ᾄδει τὸν ψαλμὸν ἐξομολόγησιν δύο ἐγκλημάτων περιέχοντα, τῆς τε μιαιφονίας Οὐρίου καὶ μοιχείας πρὸς Βηρσαβεέ. [Ὑποδείκνυσι καὶ πᾶσιν ἀνθρώποις σωτηρίας ὁδὸν τὴν μετάνοιαν, οἷόν τινα τέχνην τῆς διηνεκοῦς κατὰ τοῦ ἐχθροῦ νίκης. Ὁ γὰρ ταύτην ἀεὶ μελετῶν καὶ κατορθῶν διαπαντὸς γίνεται νικητὴς τοῦ ἀεὶ προσπαλαίοντος. Εἰσάγει δὲ καὶ τὴν διὰ τοῦ βαπτίσματος ἀπολύτρωσιν, «Ῥαντιεῖς με», λέγων. Ναὶ μὴν καὶ διδάσκει, ὡς πεφύλακται αὐτῷ τὸ τῆς προφητείας χάρισμα. Οὐ γὰρ αἰτεῖ ὡς ἐστερημένος αὐτοῦ, ἀλλὰ μὴ ἀφαιρεθῆναι ἱκετεύει λέγων· «Μὴ ἀντανέλῃς.»] Εἰσάγει δὲ καὶ τῆς καθ' ὅλου γενησομένης τῶν ἁμαρτημάτων λυτρώσεως τὴν διὰ τοῦ ἁγίου βαπτίσματος προφητείαν, καὶ τῆς ἐν πνεύματι λατρείας διδασκαλίαν. Πανταχοῦ δὲ τῶν δύο πραρανομημάτων εὑρήσεις ἐξιλεούμενον.

«Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου.» Ὡς ἐπὶ μεγάλου ἁμαρτήματος, τοῦ μεγάλου ἐλέου τοῦ Θεοῦ δέεται τυχεῖν. «Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.» Μόνων γάρ ἐστι τῶν τοῦ Θεοῦ οἰκτιρμῶν τῆς μιαιοφονίας ἀπολοῦσαι τὰς χεῖρας.

[Σαφέστερον δὲ ὃ λέγει ποιῶν φησιν· «Ἐπὶ πλεῖον πλῦνόν με.» Κἀνταῦθα τὸν πλεονασμὸν ᾔτησε τῆς καθάρσεως, διὰ τὸ δεῖξαι πανταχοῦ τὸ πλημμέλημα μέγα· ἤ, ἐπεὶ παρὰ Νάθαν ἤκουσε τὴν συγχώρησιν, καὶ αἱ παντοδαπαὶ δὲ συμφοραὶ τὸ πολὺ ὑπετέμνοντο τῆς ἁμαρτίας, φησὶ νῦν, ὅτι Δέομαι ῥυμμάτων καὶ ἐκπλύσεων, ἵνα τέλεον ὁ προστετηκὼς ἀποξεσθῇ ῥύπος.]

«Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου», τῆς ἐπὶ τῷ φόνῳ, φησί. «Καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με», τῆς ἐπὶ μοιχείᾳ. «Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω.» Καὶ τοῦτο ἐπὶ τῷ φόνῳ εἴρηκε. «Καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.» Ἄνω καὶ κάτω περιστρέφει τῆς ἁμαρτίας τὴν μνήμην τῆς ἐπὶ τῇ μοιχείᾳ γινομένης, ὡς οὐκ ἐώσης αὐτὸν οὔτε ἀναχωρούσης, ἀλλὰ διαπαντὸς συνοῦσαν αὐτῷ καὶ ἄγχουσαν.

[«Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.» Ἁμαρτίαν δὲ τὴν μοιχείαν. Ἰστέον, ὡς ἁμαρτία μὲν ἡ τοῦ ἀγαθοῦ ἀπόπτωσίς ἐστιν· ἀνομία δὲ ἡ περὶ τὸν θεῖον νόμον πλημμέλεια· καὶ ταῦτα ἔχουσιν ἀρχὴν ἑκάτερον τούτων. Συμφέρονται δὲ καὶ κατὰ ταυτόν· ὅτε γὰρ ἁμαρτάνων τοῦ κατὰ φύσιν καὶ ἐν τῇ φύσει ἀπέτυχε σκοποῦ· τῇ γὰρ ἀνθρωπείᾳ φύσει σκοπὸς τὸ κατὰ τὸν λόγον ζῆν τῆς ἀλογίας πόρρω ἀπῳκισμένη.

Ὡσαύτως καὶ ὁ ἀνομῶν πλημμελεῖ περὶ τὸν ἐν τῇ φύσει δεδομένον νόμον, διαγενόμενος ἀκρατῶς. Καλῶς οὖν καὶ ἀπόστολος Ἰωάννης καὶ μαθητὴς τοῦ Χριστοῦ εἰς ταυτὸν ἀμφότερα περιέστησεν εἰπών· «Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ·[1]» ἄλλως· Ἡ ἁμαρτία κατάλληλος τῇ ἀνομίᾳ. Πᾶς γὰρ ὁ ἀνομῶν ἁμαρτάνει, οὐ παντὸς ἁμαρτάνοντος ἀνομοῦντος. Δύναται δὲ καὶ ἐκ παραλλήλου εἰρῆσθαι διὰ τό· «Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ.»]

«Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα.» Ἀντὶ τοῦ· Τοὺς πάντων ἀποκρυψάμενος ὀφθαλμοὺς ἐν τῷ παρανομήματι, τοὺς σοὺς μόνους οὐ διέλαθον. Διό φησι· «Καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα.» Πολλῶν γὰρ ἀπολαύσας παρὰ σοῦ, τοῖς ἐναντίοις ἠμειψάμην. Καὶ οὐ τοῦτο λέγει, ὡς οὐκ ἠδίκησε τὸν Οὐρίαν· πῶς γάρ; ἀλλ' ὅτι ἡ μεγίστη παρανομία εἰς αὐτὸν τετόλμηται τὸν Θεὸν τὸν ἐκλεξάμενον καὶ βασιλέα ἐκ προβατέως πεποιηκότα· ἢ ἐπεὶ τοὺς πάντων ἀποκρυψάμενος ὀφθαλμούς, τοὺς τοῦ Θεοῦ οὐκ ἔλαθεν, ἀλλ' ἠλέγχθη διὰ τοῦ προφήτου· ἢ ὡς μὲν βασιλεὺς νόμῳ ἀνθρώπων οὐχ ὑπέκειτο, ὡς δὲ θεοσεβὴς τῷ Θεῷ μόνῳ· ἢ ἐπεὶ ἀνθρώπων μὲν οὐδεὶς ἤλεγχεν, Θεὸς δὲ διωρθώσατο μόνος. «Σοί», φησί, «μόνῳ ἥμαρτον. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου.» Ἤλεγξάς με, φησί, διὰ τοῦ προφήτου παρανομήσαντα· καὶ σὺ μὲν δίκαιος ὢν καὶ τῶν ἐχθρῶν πάντοτε ῥυσάμενος, καὶ βασιλείᾳ καὶ προφητείᾳ τιμήσας· ἐγὼ δὲ βέβηλος καὶ μιαιφόνος. «Καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.» Ἀπόδειξις ἤτοι ὁμολογία τῶν ἁμαρτημάτων.

«Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.» Ἐπειδὴ ὁ προηγούμενος σκοπὸς τοῦ Θεοῦ ἦν τοῦ μὴ διὰ γάμου γενέσθαι ἡμᾶς καὶ φθορᾶς· ἡ δὲ παράβασις τῆς ἐντολῆς τὸν γάμον εἰσήγαγε διὰ τὸ ἀνομῆσαι τὸν Ἀδάμ, τουτέστιν ἀθετῆσαι τὸν ἐκ Θεοῦ δοθέντα αὐτῷ νόμον. Πάντες οὖν οἱ ἐξ Ἀδὰμ γενόμενοι ἐν ἀνομίαις συλλαμβάνονται ὑποπίπτοντες τῇ τοῦ προπάτορος καταδίκῃ. Τὸ δέ, «Καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου», σημαίνει ὅτι ἡ Εὔα, ἁπάντων ἡμῶν ἡ μήτηρ, πρώτη ἐκίσσησε τὴν ἁμαρτίαν, ὥσπερ ὀργῶσα τὴν ἡδονήν. Διὰ τοῦτο καὶ ἡμεῖς, τῇ τῆς μητρὸς καταπίπτοντες καταδίκῃ, κισσᾶσθαι λέγομεν ἐν ἁμαρτίαις. Δείκνυσιν, ὡς ἐξ ἀρχῆς ἡ ἀνθρώπων φύσις ὑπὸ τὴν ἁμαρτίαν πέπτωκεν ὑπὸ τῆς ἐν Εὔᾳ παραβάσεως, καὶ ὑπὸ κατάραν ἡ γέννησις γέγονεν. Ἄνωθεν δὲ ὑφαίνει τὸν λόγον, τὸ μέγεθος τῆς τοῦ Θεοῦ δωρεᾶς δεῖξαι βουλόμενος.

«Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.» Ὁ νοῦς οὗτος· Σύ, φησί, Κύριε, ὁ ἀλήθεια ὤν, ἀληθείας ἀγαπῶν, βουλόμενος ἡμᾶς ἐν ἀληθείᾳ διάγειν, ἀποκαθαριεῖς ἡμᾶς τῆς ἀρχαίας ἁμαρτίας· καὶ οὕτως ἀποκαθαριεῖς

1. Α' Ἰω. 3, 4.

ἡμῖν δι' ὑσσώπου ὡς καὶ ὑπὲρ χιόνα λευκανθῆναι. Ὑσσώπῳ δὲ τὴν τοῦ ἁγίου Πνεύματος ἐνέργειαν ἀφομοιοῖ, θερμὴν οὖσαν καὶ πάντα τὸν ἐν ἡμῖν ῥύπον ἀποσμήχουσαν. [Ἡ ἀποκάθαρσις δι' ὑσσώπου γενήσεται, ἤτοι διὰ τοῦ ἁγίου Πνεύματος. Ὕσσωπος γὰρ βοτάνη καθαρτική.] Τὸ δέ, «Τὰ ἄδηλα καὶ τὰ κρύφιά σου ἐδήλωσάς μοι τῆς σοφίας», δηλοῦντός ἐστιν, ὡς πάντα αὐτῷ τὰ ἐσόμενα ὅσα ἐν τῇ ἰδίᾳ σοφίᾳ ἔθετο ὁ Θεὸς διὰ τοῦ ἁγίου Πνεύματος ἀπεκάλυψεν.

«Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι.» Εἰπών, ὅτι Δέδωκας νόμους θείους καὶ διατάξεις, λέγει τὸ μεῖζον, ὅτι Καθαρμούς τινας ἐν τῷ νόμῳ ἐχαρίσω, καὶ δι' ὑσσώπου ῥαντίσματος· κατὰ τοῦτον οὖν τὸν σκοπὸν καὶ ἡμῖν παράσχου τὰ ὅμοια, ὁ αὐτὸς ὢν Θεός. Ἢ μυστήριον ἔοικέ τι αἰνίττεσθαι. Ἐπεὶ γὰρ Μωσῆς ἐν Αἰγύπτῳ τὸ αἷμα τοῦ προβάτου δι' ὑσσώπου ταῖς φλιαῖς διεκελεύετο ἐπιρραίνεσθαι[1], τιμιωτέρῳ καὶ ἡμεῖς ἠγοράσθημεν αἵματι. Ἐπεὶ οὖν φυλακτήριον ἐκεῖνο ἐγένετο μή τι παθεῖν τοὺς ἐνοικοῦντας ὑπὸ τοῦ ὀλοθρεύοντος, εἰκότως ὁ Δαυίδ, τὴν τοῦ αἵματος ἐκείνου μνήμην ἐν ἀπορρήτῳ ποιούμενος, «Ῥαντιεῖς με ὑσσώπῳ», φησί, καὶ τὰ ἑξῆς· αἰνιττόμενος τὴν διὰ τοῦ αἵματος τοῦ ἀληθινοῦ Χριστοῦ ἀμνοῦ γενησομένην ἅπασιν ἀποκάθαρσιν, καὶ γλιχόμενος οἷον ταύτης τυχεῖν, ἣ μόνη ἀκριβῶς ῥύψαι δύναται καὶ χιόνος θεῖναι λευκότερον.

«Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην.» Ἀκουστήν μοι γενέσθαι, φησί, παρασκευάσεις πάλιν διὰ τοῦ πνεύματος τὴν ἐν ἐσχάτοις καιροῖς ἐσομένην ἀγαλλίασιν καὶ εὐφροσύνην. Τίς δὲ ἂν εἴη αὕτη ἢ ἐκείνη ἡ γνῶσις ἡ περὶ ἀναστάσεως, ἣν ἐδίδαξεν εἰπών, «Ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα;» Πότε δὲ ἀγαλλιάσονται τὰ σεσημμένα ἡμῶν ὀστᾶ ἢ κατὰ τὸν τῆς ἀναστάσεως καιρόν, καθ' ὅν, ὡς ἕτερός φησι προφήτης, «Τὰ ὀστᾶ ἡμῶν ὡς βοτάνη ἀνατελεῖ;[2] Ἀγαλλιάσεται ὀστέα τεταπεινωμένα.» Ἀγαλλιάσεται ἡ ἰσχὺς τῆς ψυχῆς μου, ὅτι πρότερον ὑπὸ τῆς ἁμαρτίας ἀσθενοῦσα.

«Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου.» Πάλιν ἐπὶ τὴν ἐξομολόγησιν ἀνατρέχει.

«Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός.» Τὴν παλαιωθεῖσάν μου, φησί, ψυχὴν σεσαθρωμένην ὑπὸ τῆς ἁμαρτίας ἀνακαίνισον. «Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.» Ἀντὶ τοῦ, ἑδραῖον· ὅμοιον ὡσεὶ λέγει· Ἀσφάλισαι τὸν νοῦν τοῦ μηκέτι εἶναι εὔκολον καταπίπτειν εἰς ἁμαρτίαν.

«Καὶ τὸ Πνεῦμα τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.» Εὔχεται πάλιν πνεῦμα εἰς αὐτὸν ἐλθεῖν τὸ προφητικόν. Καταλελοιπὸς γὰρ ἦν αὐτὸν διὰ τὴν ἁμαρτίαν.

«Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου.» Εἰς ἅπαν τὸ τῶν ἀνθρώπων γένος ἀναφέρεται. Ἀγαλλίασιν μὲν σωτηρίου τὴν

1. Πρβλ. Ἔξ. 12, 22. 2. Ἡσ. 66, 14.

παρουσίαν τοῦ Κυρίου φησί, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Συμεών· «Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου·[1]» εὔχεται δὲ καὶ αὐτὸς αὐτοῦ μεταλαβεῖν. «Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.» Ὅπερ εἶπεν ἀνωτέρω πνεῦμα εὐθές, ἐνταῦθα ἡγεμονικὸν καλεῖ. «Διδάξω ἀνόμους τὰς ὁδούς σου.» Ἐπειδὴ ἄν, φησί, ῥυσάμενός με τῆς ἁμαρτίας, αὖθις ἐπιδῷς με τὸ σὸν ἅγιον Πνεῦμα. Τότε δὴ πάλιν τὰς σὰς ὁδοὺς βαδίζειν διδάξω τοὺς παραβαίνοντας.

«Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου.» Πάλιν ἱκετηρίαν ὑπὲρ τοῦ Οὐρίου φόνου τίθεται, ὅπως ἂν ῥυσθείη τοῦ ἐξ αὐτοῦ μιασμοῦ· ἢ μᾶλλον, «ἐξ αἱμάτων», τῶν δι' αἵματος θυσιῶν, ὡς τὰ ἐπαγόμενα τοῦ ψαλμοῦ διαδείκνυσιν εἰπόντος· «Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν», καὶ τὰ ἑξῆς. «Ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.» Τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσε· «Διαλαλήσει ἡ γλῶσσά μου τὴν ἐλεημοσύνην σου·» οὐ γὰρ σιγήσω τῆς ἀφέσεως ἀπολαύσας, ἀλλ' ὑμνῶν σε διατελέσω καὶ τὰς σὰς διηγούμενος χάριτας. Ἐπειδὴ τὰς ἐν νόμῳ, φησί, παρῃτήσω θυσίας, οὐ γὰρ δύνανται ἀφιέναι ἁμαρτίας· τούτου χάριν ἣν ἠγάπησάς σοι προσήνεγκα. Αὕτη δέ ἐστιν ἡ διὰ μετανοίας καὶ καρδίας συντετριμμένης.

«Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών.» Σιὼν ἐνταῦθα τὴν Ἐκκλησίαν φησίν. Ὅταν γὰρ ηὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιῶσαι τὰ πάντα ἐν τῷ Υἱῷ αὐτοῦ, τότε καὶ τὰς ἀγαθὰς αὐτοῦ τῇ Ἐκκλησίᾳ αὐτοῦ δέδωκεν ἐπαγγελίας. «Καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.» Τείχη Ἱερουσαλὴμ τοὺς ἁγίους φησὶν ἱερουργοὺς τοὺς περιφράττοντας τὴν Ἐκκλησίαν αὐτοῦ.

«Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης.» Ὅταν, φησίν, ἀγαθυνεῖς τὴν Σιὼν καὶ οἰκοδομηθῇ τὰ τείχη Ἱερουσαλήμ, τότε δὴ τότε καὶ ἀνενεχθήσονται θυσίαι, οὐχ αἱ δι' αἱμάτων, ἀλλ' αἱ τῆς δικαιοσύνης, αἱ τῆς αἰνέσεως δηλονότι. «Ἀναφορὰν καὶ ὁλοκαυτώματα», καὶ αὐτὰ τῆς δικαιοσύνης καὶ τὰ τῆς ἀναιμάκτου θυσίας δηλοῖ. «Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.» Καὶ αὐτοὺς δικαιοσύνης, ὥστε εἶναι πάντα δικαιοσύνης, θυσίας, ἀναφορὰς δικαιοσύνης, ὁλοκαυτώματα δικαιοσύνης, μόσχους δικαιοσύνης.

Εἰς τὸ τέλος, συνέσεως τῷ Δαυίδ, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐτῷ· Ἦλθε Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ.

ΝΑ'.

Ὑπόθεσις.

Ἡνίκα ἔφυγε Δαυὶδ ἀπὸ προσώπου Σαούλ, καὶ κατήχθη φεύγων οἶκον Ἀβιμέλεχ, τῶν τε ἄρτων τῶν ἱερέων ἐγεύσατο, τήν τε ῥομφαίαν

1. Λουκ. 2, 30.

τοῦ Γολιὰθ δέδεκται· ἀπελθών τις ἀπαγγέλλει ταῦτα τῷ Σαούλ.[1] Δωὴκ δὲ οὗτος ὁ Σύρος ὃς καὶ τοσοῦτον ἐξεπολέμωσε τὴν ψυχὴν τοῦ Σαούλ, ὡς ἀποστείλαντα πᾶσαν τὴν πόλιν τῶν ἱερέων ἀνελεῖν, καὶ μηδὲ κτήνους αὐτῶν φείσασθαι.[2] Ταῦτα οὖν ἀκηκοὼς ὁ Δαυὶδ τὰ προκείμενα λέγει, εἰς πρόσωπον τοῦ Σύρου ἀποτεινόμενος. Ἔχει δὲ καὶ ἀναφορὰν καὶ εἰς τὸ τοῦ Ἰουδαίων λαοῦ πρόσωπον καὶ τοῦ Ἰούδα. Περιέχει δὲ καὶ ἀγαθῶν ἐπαγγελίαν τῶν ἐσομένων, καὶ τὴν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἵδρυσιν τῶν ἁγίων αὐτοῦ, διὰ τοῦ λέγειν· «Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ.» Διὸ δὴ καὶ «συνέσεως» καὶ «εἰς τὸ τέλος» ἐπιγράφεται ὁ ψαλμός. Χρεία γὰρ πολλῆς συνέσεως εἰς τὸ γνωρίσαι τῆς οἰκονομίας τοῦ κατὰ σάρκα Δαυὶδ τὸ μυστήριον.

«Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός;» Ὡς πρὸς αὐτὸν τὸν Σύρον, ἢ τὸν ἐνεργήσαντα ἐν αὐτῷ διάβολον, ἀποτείνει τὸν λόγον.

«Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.» Τοῦτό φησι, διὰ τὸ ὥσπερ ξυρῆσαι καὶ ἐκκόψαι πᾶσαν τῶν ἱερέων τὴν πόλιν.

«Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην.» Ἠδίκει γὰρ καταψευδόμενος τοῦ ἱερέως καὶ τῶν λοιπῶν ἁπάντων σὺν αὐτῷ, καὶ τὰ μὴ πραχθέντα κατ' αὐτοῦ λέγων· τὸ γάρ, εἰπεῖν, ὡς ἐπηρώτησε τὸν Θεὸν περὶ τοῦ Δαυίδ, ψεῦδος ἦν, καὶ οὐκ ἀλήθεια.

«Ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.» Πάντα γὰρ πρὸς ἐπιβουλήν, καὶ φθόνον καὶ θάνατον τοῦ ἱερέως καὶ τῶν λοιπῶν ἁπάντων τῶν σὺν αὐτῷ τεθανατωμένων διεπράξατο· διὸ «ῥήματα καταποντισμοῦ» οἱ λόγοι τῆς τοῦ Δωὴκ ψευδολογίας εἴρηται. Ἀθρόως γὰρ πᾶσαν τὴν πόλιν τῶν ἱερέων ὥσπερ ἐν βυθῷ κατεπόντισε τοῖς ἑαυτοῦ ῥήμασι. Λέγοιτο δ' ἂν ταῦτα δικαίως καὶ ἐπὶ τῶν ἀρχόντων τῶν Ἰουδαίων, καὶ αὐτοῦ δὲ τοῦ Ἰούδα.

«Ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου.» Μετετέθησαν γὰρ τῆς ἱερᾶς αὐτῶν σκηνῆς, γεγονότες αἰχμάλωτοι διὰ τὸν κατὰ τοῦ Κυρίου σταυρόν. «Καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.» Ὅμοιον τό, «Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων.[3]»

[«Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος.» Λέγοιτο δ' ἂν ταῦτα δικαίως καὶ ἐπὶ τῶν ἀρχόντων Ἰουδαίων καὶ αὐτοῦ τοῦ Ἰούδα, διὰ τὸ ἠγαπηκέναι τὰ βλαβερὰ «εἰς τέλος», ἀντὶ τοῦ, «παντελῶς.» «Διὰ τοῦτο καθελεῖ σε», ὡς οὐ καλῶς οἰκοδομηθέντα, ὁ καθαιρῶν ὑπερηφάνους, καὶ ὡς κακῶς φυτευθέντα, «ἐκτίλαι σε, μεταστήσαι», ἢ ἐκριζῶσαι, καὶ ἀπὸ τῆς κατοικήσεώς σου, τουτέστιν ἀπὸ τοῦ συγκατοικεῖν, ἐκβάλοι.]

«Ὄψονται δίκαιοι, καὶ φοβηθήσονται.» Τῶν γὰρ ἀσεβῶν ἀναιρουμένων, οἱ δίκαιοι περίφοβοι γίνονται. Καὶ σὺ μέν, φησί, ταῦτα ὑπομένεις· οἱ δὲ δίκαιοι, τουτέστιν οἱ σοῦ λαοί, θεασάμενοι τὴν σὴν ἀπώλειαν, φόβῳ κατασχεθήσονται. Ἱκανὴ γὰρ ἡ εἰς σὲ τιμωρία κἀκεί-

1. Πρβλ. Α' Βασ. 21,1-10. 2. Πρβλ. Α' Βασ. 22,18-19. 3. Ψαλμ. 68,29.

νους φοβῆσαι· καίτοι διὰ τὴν εἰς ἐκείνους εὐεργεσίαν τοιαῦτά σου πάσχειν μέλλοντος. «Ἰδοὺ ἄνθρωπος ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ.» Ἠγάπησε γὰρ χρυσίον μᾶλλον ὁ προδότης λαβεῖν, ἢ βοηθὸν ἔχειν τὸν Ἰησοῦν. «Καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.» Ἀντὶ τοῦ· Καὶ ἐνίσχυσε πληρῶσαι τὴν ματαίαν αὐτοῦ καρδίαν, οὐ μεταμεληθεὶς τῆς ἀσεβείας ἐπαύσατο.

[«Ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ.» Καλῶς δὲ πλοῦτον καὶ τὴν δυναστείαν ματαιότητα ἐκάλεσεν ἀπὸ τοῦ πράγματος· οὔτε γὰρ τὸν Δωὴκ ὤνησαν, οὔτε Ἀσσυρίους, ὁπότε ἑνὸς ἀγγέλου παρουσία αὐτοὺς ἀπέκτεινε, καὶ ἄταφοι ἔκειντο.]

«Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος.» Ἀειθαλὴς γὰρ τῶν πιστευόντων εἰς Χριστὸν ἡ δόξα. [«Ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη», καὶ τὰ ἑξῆς.[1] Τοῦτον τοίνυν τὸν καρπὸν ἔχων ἐν ἑαυτῷ ὁ ἅγιος ἔλεγεν· «Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος·» ἐλαίᾳ δὲ κατακάρπῳ ὁμοιοῖ ἑαυτόν, ἐπειδή, ἐλεημοσύνης ἐπικρατούσης ἐν αὐτῷ, ἀκολούθως εἵποντο αἱ λοιπαὶ ἀρεταί. Οὕτω καὶ τὸν Ἰὼβ ἀνδρεῖον μέν, καὶ τὸν Ἰωσὴφ σώφρονα, καὶ τοὺς λοιποὺς ἀπὸ τῆς ἐπικρατούσης ἀρετῆς ὀνομάζοντες αὐτούς.] «Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα.» Ἔλεος τοῦ Θεοῦ αἱ θεῖαι Γραφαὶ ὀνομάζουσι τὸν Κύριον, διὰ τὸ γενέσθαι ἡμῖν δι' αὐτοῦ ἔλεος· ἀνεκεφαλαιώσατο γὰρ ἐν ἑαυτῷ τὰ πάντα, καὶ ἀνεστοιχείωσεν.

«Καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.» Ἐν τῷ ὀνόματί σου, φησί, σχοίην πεποίθησιν, καὶ ταύτην ἐναντίον πάντων τῶν σῶν ἁγίων ἐξαγγελῶ. Ἔσται γάρ μοι τὸ πρᾶγμα χρηστόν τε καὶ ἀγαθόν.

Εἰς τὸ τέλος ὑπὲρ Μαελὲθ συνέσεως τῷ Δαυΐδ.

ΝΒ'.

Ὑπόθεσις.

Ἄδει τὸν παρόντα ὑπὲρ τοῦ χοροῦ τῶν ἀποστόλων καὶ πιστευσάντων εἰς Χριστόν· οἳ καὶ ἠγαλλιῶντο καὶ ηὐφραίνοντο. Μαελὲθ δὲ ἑρμηνεύεται «χορός», ἤτοι «χορεία.» Ἀναγκαίως δὲ τὰ πρὸ τῆς παρουσίας τοῦ Κυρίου λέγει, ἵνα δείξῃ ὅση τῆς παρουσίας ὠφέλεια. Ἰστέον δέ, ὡς καὶ τὴν αὐτὴν διάνοιαν πᾶσαν ὁ τρισκαιδέκατος ψαλμὸς παριέχει, καὶ τὰς αὐτὰς λέξεις σχεδὸν ἁπάσας· ὥστε ἐξ ἐκείνου φανερὸν γενέσθαι τοῖς ἐπιζητοῦσι τὴν ἑρμηνείαν.

«Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός... Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων.» Ἐπειδή, μὴ λογισάμενοι τὸν Θεὸν ἐφορῶντα τὰ ἀνθρώπινα, κρίνοντα κρίσει

1. Γαλ. 5, 22.

δικαίᾳ, καὶ πᾶσαν ἀθεμιτουργίαν εἴργοντα, τούτου χάριν ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψε. Τοῦτο γὰρ σαφῶς τὴν εἰς ἀνθρώπους τοῦ Κυρίου πάροδον σημαίνει.

«Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός.» Οὐχ ὑπερβολικῶς ταῦτα εἴρηται· οὐδὲν γὰρ ὑπερβολικῶς, μετ' ἀληθείας δὲ πάντα παρὰ τῇ Γραφῇ εἴρηται. Πάντες τοίνυν Ἰουδαῖοι ἐξέκλιναν τὴν ὁδὸν τὴν λέγουσαν· «Ἐγώ εἰμι ἡ ὁδός.[1]» Ὅθεν καὶ ἀχρεῖοι γεγόνασι, ταύτην παραλαβεῖν οὐ βουληθέντες, οὐδενὸς ποιοῦντος τὸ ἀγαθόν. Ἐν ἀγνοίᾳ γὰρ αὐτοῦ πάντες ἐτύγχανον ὑπὸ τοῦ νομικοῦ πεπωρωμένοι γράμματος.

Εἰς τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαυΐδ. Ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαούλ· Οὐκ ἰδοὺ Δαυΐδ κέκρυπται παρ' ἡμῖν;

ΝΓ'.

Ὑπόθεσις.

Φεύγων ὁ Δαυΐδ τὸν Σαοὺλ ἐκάθισεν ἐν τῇ ἐρήμῳ Ζήφ. Εἶτα ἀπελθόντες οἱ Ζιφαῖοι πρὸς τὸν Σαοὺλ ἀπήγγειλαν τὸν τόπον ἐν ᾧ ἦν ἀποδιδράσκων.[2] Ἠξίουν δὲ ἐλθόντα συλλαβέσθαι αὐτόν. Ὁ δέ, μετὰ χεῖρας τὴν λύραν λαβών, ἅτε ἐγνωκὼς τῷ προφητικῷ πνεύματι, ὡς οὐδὲν δεινὸν πείσεται παρὰ τοῦ Σαούλ, τὰ προκείμενα ᾄδει· Καὶ γὰρ ἀπελθὼν εἰς σύλληψιν αὐτοῦ Σαούλ, ἤκουσεν ἀγγελίαν τῶν ἀλλοφύλων, καὶ ὑπέστρεψε σπεύδων μετὰ τῶν ἀνδρῶν αὐτοῦ. Ἔχοι δ' ἂν τὰ παρόντα ἀναφορὰν καὶ εἰς τὸ πρόσωπον τοῦ ἀποστολικοῦ χοροῦ, ὡς τὰς ἐπαναστάσεις τὰς παρὰ τοῦ ἔθνους τῶν Ἰουδαίων, καὶ βασιλέων δὲ τῶν ἐθνῶν τὸν θυμὸν διηγούμενος, τὸν Θεὸν ἀξιοῖ ἐξ ἁπάντων σωθῆναι διὰ τοῦ ὀνόματος αὐτοῦ. Προφητικῶς τε ἀποφαίνει, ὡς περιστρέψει τοῖς ἐχθροῖς εἰς κεφαλὴν Θεὸς τὰ κακά, αὐτὸς δὲ τὰς ἐπινικίους προσάξει θυσίας. Διὸ καὶ «συνέσεως» ἐπιγέγραπται, εἰς τὸν εἰρημένον νοῦν ἀναπέμποντος ἡμᾶς τοῦ ψαλμοῦ.

«Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με.» Οὐχὶ δι' ἄλλου τινὸς ἢ διὰ τοῦ ὀνόματος αὐτοῦ σωθῆναι ἀξιοῖ. [Ἐπειδὴ δέ, φησί, τὸ σὸν ὄνομα ἐπικαλοῦμαι, ἐν αὐτῷ τούτῳ τὴν σωτηρίαν μου παράσχου. «Καὶ ἐν δυναστείᾳ σου», τουτέστι τῷ Υἱῷ σου, «κρινεῖς με·» ἀντὶ τοῦ· Οὐκ ἄλλοις κριταῖς, ἀλλὰ τῇ δυνάμει σου εἰς ἐξέτασιν παραδοθῆναι.] «Καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.» Κρίνας γὰρ τὴν κρίσιν αὐτῶν, τοὺς μὲν ἀπωλείᾳ παρέδωκε, τοὺς δὲ ἔσωσεν ἀπὸ τῶν ἐχθρῶν.

«Ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου.» Δέξαι μου τὰς ἱκετείας σὺν εὐμενείᾳ. «Ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.» Ὅμοιον τῷ· «Καὶ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν.[3]»

---

1. Ἰω. 14, 6. 2. Πρβλ. Α' Βασ. 23, 19. 26, 1. 3. Πράξ. 4, 29.

Εἰς τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαυίδ.

ΝΔ΄.

Ὑπόθεσις.

Τῷ Πνεύματι θεωρήσας ὁ Προφήτης τὰ ἐσόμενα κατὰ Χριστοῦ παρὰ τοῦ Ἰουδαίων λαοῦ καὶ αὐτοῦ τοῦ Ἰούδα, λύπης πληρούμενος καὶ ἀμηχανίας, ἣν καὶ «ἀδολεσχίαν» ἐν τῷ παρόντι ὠνόμασε, διατελεῖ ταραττόμενος καὶ ἀπορῶν ἐν τοῖς τολμωμένοις, παρακαλεῖ τὸν Θεὸν ἐνωτίσασθαι τὴν προσευχὴν αὐτοῦ, καὶ τοῦτο αὐτῷ παρασχεῖν· εἶτα δεύτερον γνῶναι τὴν διὰ τῆς προσευχῆς ἀναπεμπομένην δέησιν· καὶ τρίτον τὴν κατάστασιν θεάσασθαι τοῦ τὴν προσευχὴν ἀναπέμποντος· καὶ οὕτως αὐτὸν καταξιῶσαι τῆς ἑαυτοῦ ἀκοῆς· διὸ ἐπιλέγει· «Πρόσχες μοι, καὶ εἰσάκουσόν μου.»

«Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου.» Διαφόρους ἱκετείας προσφέρει δεχθῆναι ταύτας ἀντιβολῶν. Μὴ παρίδῃς γάρ με, φησί, ποτνιώμενον, ἀλλ' εὐμενῶς μοι πρόσχες, καὶ τὴν βοήθειαν ὤρεξον.

«Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην.» Ἀμηχανίας γὰρ ἐπληροῦτο, βλέπων τὴν κατὰ τοῦ Σωτῆρος γινομένην παρανομίαν, ἣν καὶ διδάσκει ἐφεξῆς λέγων· «Ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.» Ὁ δὲ πᾶς νοῦς οὗτος· Πρόσχες ὅπως ἐλυπήθην, ὅπως ἐταράχθην, ὅπως ἀδολεσχίᾳ πεπλήρωμαι· ἀποδεξάμενός τε ταῦτα, εἰσάκουσόν μου.

«Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαι.» Πάντα γὰρ τὰ κατὰ τοῦ Σωτῆρος συμβάντα πρὸς τὸ οἰκεῖον ἀναφέρει πρόσωπον. [Διὰ μνησικακίαν μοι ταῦτα ἐποίουν τεχθεῖσαν ἐξ ὀργῆς ἀλόγου. Κότος ἡ ἐπίμονος ὀργή. Διὰ ταύτην δὲ τὴν αἰτίαν περιδεὴς ἐγενόμην καὶ τεταραγμένος, ὡς ἐπιστάντος μοι ἤδη τοῦ θανάτου, καὶ τοσαύτη μοι ἦλθεν ἀγωνία καὶ φόβος, ὡς μηδὲ δοκεῖν τὴν ἀκτῖνα φαίνειν, ἀλλ' ἐσκοτίσθαι· καὶ ἐλογισάμην τὴν φυγὴν εἶναι πάντων ἀμείνω, καὶ ηὐχόμην γενέσθαι μοι πτέρυγας ἐπὶ τῷ μεταστῆναι καὶ ἀλλαχοῦ καταπαῦσαι.] «Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.» Ἰδοὺ ἡ καρδία μου, φησί, διέστρεψε τὰ ἔνδον μου· ἀλλὰ καὶ «δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.» Ἤτοι δὲ τοῦ σωτηρίου θανάτου λέγει, ἐφ' ᾧ δειλίας ὁ Προφήτης ἐπληροῦτο ἀνθρωπίνῳ λογισμῷ κινούμενος· ἢ τοῦ τῶν ψυχῶν θανάτου, τῶν ἀπόλλυσθαι μελλόντων διὰ τὰ τοιαῦτα τολμήματα. Ἀλλὰ «φόβος» καὶ «τρόμος» ἐπέπεσε τῷ Προφήτῃ ὁρῶντι τὸν ἀγαπητὸν τοῦ Θεοῦ τοιαῦτα ὑπὸ τῶν ἀσεβῶν πάσχοντα, «ἔκρυπτε» δὲ αὐτὸν «σκότος», ὡς ἂν σκότου ἀληθῶς ἄξια τὰ κατὰ τοῦ Σωτῆρος δρώμενα. Εἶτα, ὥσπερ ἀπολειφθεὶς ἐν μέσῳ τῶν ταῦτα δρώντων, μήτε μίαν τε ἔχων ἀποφυγήν, μηδὲ ὅποι κλίνας ἑαυτὸν ἐκτὸς τῶν κακῶν γένοιτο, εὔχεται μετέωρος ἐπαρθῆναι, καὶ πτηνὸς γενόμενος δι' ἀέρος ἐκφυγεῖν.

«Προσεδεχόμην τὸν Θεὸν σῴζοντά με, ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ

καταιγίδος.» Καταιγίδα ὀνομάζει τὴν διὰ τοῦ πάθους αὐτῷ συμβᾶσαν λύπην.

«Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογοίαν ἐν τῇ πόλει.» Αἰτίαν παρατίθησι δι' ἣν καὶ τὴν προσευχὴν ἐποιήσατο.

«Ὅτι, εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν.» Ταῦτα εἰς πρόσωπον τοῦ προδότου ἀναφέροιτ' ἂν δικαίως. «Σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου.» Ἀντὶ τοῦ, Κατεστάθης ἡγεμὼν ὑπ' ἐμοῦ, ὁ Ἰούδας δηλονότι. «Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα.» Ὅμοιον ὡσεὶ λέγοι· Τῆς αὐτῆς τραπέζης πολλάκις ἠξιωμένος. «Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.» Τοῦτό φησι διὰ τὸ συνεληλυθέναι αὐτῷ πολλάκις εἰς τὸ ἱερόν.

«Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες.» Ἐπειδὴ οὐκ ἐθέλησάν σε τὴν ζωὴν παραδέξασθαι, ταύτῃ τοι θάνατος διαδέξεται αὐτούς. Τὸ δέ, «Καταβήτωσαν εἰς ᾅδου ζῶντες», ὅτι δή, γινώσκοντες αὐτὸν εἶναι τὸν κληρονόμον, εἶπον· «Δεῦτε, ἀποκτείνωμεν αὐτόν· [1]» τὴν γὰρ γνῶσιν ἀντὶ τῆς ζωῆς ἐτεθείκει.

«Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.» Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα. Καὶ τί ἐκέκραξεν; ἢ λυτρωθῆναι τὴν ψυχὴν αὐτοῦ ἀπὸ τῶν ζητούντων ἀπολέσαι αὐτήν. Διὸ δὴ καὶ εἰσήκουσται.

«Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας διηγήσομαι.» Ἀντὶ τοῦ, Οὐ παύσομαι διηγούμενος, ὅτι δὴ εἰσακούσας λελύτρωσαι τὴν ψυχήν μου.

«Ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.» Ὅτι οἱ πολλοὶ συνίεσαν κατ' ἐμοῦ βουλόμενοι τὴν ψυχήν μου ἐξαίρειν.

«Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα.» Ταπεινωθήσονται, φησίν, ἐπειδὴ οὐδὲ ἔχουσι τῆς ψυχῆς αὐτῶν ἀντάλλαγμα. Ἅπαξ γὰρ ἀρνησάμενοι τὸ τίμιον αἷμα Χριστοῦ, τὸ εἰλημμένον ἀντάλλαγμα ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, οὐκέτι εὐποροῦσι λύτρου.

«Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι.» Αὐτὸς μὲν ἐξέτεινε τὴν παρεκτικὴν χεῖρα τῶν ἀγαθῶν εἰς τὸ μεταλαβεῖν αὐτοὺς τῆς εὐλογίας· οἱ δὲ οὐ μόνον οὐκ ἐδέξαντο· ἀλλὰ καὶ τὴν «διαθήκην ἐβεβήλωσαν», δηλονότι τὴν εὐαγγελικήν.

«Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ.» Ἐπειδὴ κακοῦργοι περὶ τὸν εὐεργέτην γεγόνασι, ταύτῃ τοι καὶ εἰς πάντα ἄνεμον αὐτοὺς διεσκόρπισε. «Καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν.» Πάλιν περὶ τοῦ Ἰούδα τὸν λόγον ἀποτείνεται· Τῇ καρδίᾳ, φησί, κατεδέξατο τὸ προδοῦναι Χριστόν. Καὶ δὴ λόγους προσέφερεν ἁπαλούς τε καὶ λείους, ἀλλ' ἦσαν κακίας πλήρεις. Τίνες δὲ οἱ λόγοι ἢ τό, «Χαῖρε, Ῥαββί [2]», ἐπὶ προδοσίᾳ λεγόμενον;

«Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέ-

1. Ματθ. 21, 38. 2. Ματθ. 26, 49.

ψει.» Ὅμοιον τό· «Μὴ μεριμνήσητε τί φάγητε, ἢ τί πίητε, ἢ τί ἐνδύσησθε.[1] Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.» Ἀντὶ τοῦ· Ἐκσπάσει τοὺς δικαίους ἐν παντὶ καιρῷ ἀπὸ πάσης ἐπαναστάσεως ἐχθρῶν. «Σὺ δέ, ὁ Θεός, κατάξεις εἰς φρέαρ διαφθορᾶς.» Τοὺς ἐπαναστάντας δηλονότι καὶ σταυρῷ παραδόντας. Φρέαρ γὰρ διαφθορᾶς τὸν ᾅδην φησίν. «Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν.» Ἄνδρας αἱμάτων τοὺς τὸν ἀρχηγὸν τῆς ζωῆς ἀποκτείνοντάς φησιν, οἳ καὶ τῆς ζωῆς οὐ πεπληρώκασι τὸν χρόνον, τῇ Ῥωμαίων παραδοθέντες μαχαίρᾳ.

Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.

ΝΕʹ.

Ὑπόθεσις.

Δαυὶδ φεύγων τὸν Σαοὺλ ἔσχε τοὺς συνακολουθοῦντας αὐτῷ ἄνδρας ἑξακοσίους. Εἶτα παρερχόμενος εἰς Γὲθ τετίμηται παρὰ τῶν ἀλλοφύλων· ἀφώρισαν γὰρ αὐτῷ οἰκητήριον τὴν Σικελάν.[2] Ἀναφέροιτο δ' ἂν ὁ ψαλμὸς καὶ εἰς πρόσωπον τῆς Ἐκκλησίας τῆς πάλαι μὲν ἀπὸ τῶν ἁγίων μεμακρυμμένης, καθ' ὃν εἰδωλολάτρει καιρόν, καὶ δουλευούσης δαίμοσι. Ῥυσθείσης δὲ τῶν νοητῶν ἐχθρῶν διὰ τοῦ γεγονότος ἐκ σπέρματος τοῦ κατὰ σάρκα Δαυίδ, τοῦ καὶ πολεμήσαντος ὑπὲρ ἡμῶν, καὶ ὥσπερ ἐν στήλῃ τὴν ὑπὲρ ἡμῶν νίκην γράψαντος. Τότε γὰρ καὶ τιμῆς αὐτὸν οἱ ἀλλόφυλοι ἠξίωσαν, τουτέστιν οἱ ἐξ ἐθνῶν πιστεύοντες εἰς αὐτόν.

«Ἐλέησόν με, ὁ Θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος.» Ἢ περὶ τοῦ Σαοὺλ ὁ Δαυίδ φησιν, ἢ καὶ ἅγιος πᾶς, διὰ τὰς θλίψεις ἃς ἔχουσιν ἐν τῷ κόσμῳ. Πολλάκις δὲ καὶ ὁ καθεὶς ἡμῶν ἄνθρωπος τὸν χαλεπὸν τοῦτον ὑφίσταται πόλεμον, ὅλην τὴν ἡμέραν παρὰ τοῦ Σατανᾶ πολεμούμενος καὶ παρ' αὐτοῦ πατούμενος. Εἰ γὰρ καὶ ἀνθρώπου ὁ ψαλμὸς ἐμνημόνευσεν, ἀλλ' ὅμως τὸν Σατανᾶν αὐτόν, ἐν τῇ θείᾳ Γραφῇ πολλάκις ὀνομαζόμενον, ἤ τινα τῶν ἐκεῖ στρατευομένων αἰνίττεται. Πλὴν καὶ τὸν λαὸν τῶν ἐθνῶν ταῦτα ὑποψάλλειν ἁρμόδιον, χρόνῳ πολλῷ ὑπὸ τοῦ Σατανᾶ ἀπατηθέντα, καὶ τὸν παρ' αὐτοῦ πόλεμον διὰ τῆς τῶν δαιμόνων ἐπιβουλῆς ὑπομείναντα, οὓς ἐν τοῖς ἑξῆς σαφέστερον ἔφησεν αἰνιττόμενος.

«Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν.» Ἤδει, ὅτι Σαοὺλ ἐπεβούλευσεν αὐτῷ ἐνηχούμενος παρὰ τῶν ἀοράτων δαιμόνων. Ἢ καὶ τό, «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα», δηλοῖ, «ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.[3]» «Ὅτι

1. Ματθ. 6, 31. 2. Πρβλ. Α' Βασ. 27, 2-6. 3. Ἐφεσ. 6, 12.

πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους.» Εἰ καὶ ἐπανίστανται, φησίν, ἀλλ' ἡττήσω πάντας ἐλπίζων ἐπὶ σέ. Αὕτη γάρ μοι ἡ ἐλπὶς τοσαύτην ἰσχὺν παρέσχεν, ὡς τοὺς πάλαι πολεμοῦντας μὴ δεδοικέναι με.

«Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου.» Πολεμούμενος παρὰ τῶν ἐχθρῶν, φησί, καθοπλίζω ἐμαυτὸν εἰς τὸ μηδὲν παθεῖν κακόν, ὅλους τοὺς λόγους μου ὕμνους ποιῶν καὶ ἀνατιθεὶς τῷ Θεῷ, καὶ τὴν ἐλπίδα ἐπ' αὐτῷ ποιούμενος· διὸ καὶ πάσης σαρκὸς ἔξω τὸν φόβον ἐποιούμην.

«Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο.» Ἐγὼ μέν, φησίν, ὅλην τὴν ἡμέραν ἀνετίθουν τοὺς λόγους μου τῷ Θεῷ· αὐτοὶ δὲ οὐ διέλειπον πᾶσαν ἡμέραν κατ' ἐμοῦ τὴν σπουδὴν ἑαυτῶν συντιθέντες εἰς κακά. «Παροικήσουσι καὶ κατακρύψουσιν, αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι.» Τό, «παροικήσουσι», ἀντὶ τοῦ, «συναχθήσονται», τέθειται. Ὁ δὲ νοῦς οὗτος· Οὕτω, φησί, διὰ πάσης ἡμέρας ἐσχόλαζον τοὺς κατ' ἐμοῦ λόγους κινοῦντες, καὶ πᾶς ὁ διαλογισμὸς αὐτῶν κατ' ἐμοῦ ἐγίνετο, ὡς σπουδάζειν συνάγεσθαι αὐτοὺς ὁμοῦ καὶ λαθραίας ποιεῖσθαι τὰς κατ' ἐμοῦ σκευάς, καὶ μὴ μέχρι τούτου χωρεῖν, ἀλλὰ καὶ περιεργάζεσθαί μου τὴν πτέρναν, τουτέστι τὴν τοῦ βίου πορείαν, εἴ πως σκελίσαντες δυνηθεῖεν καταβαλεῖν με. Καὶ τὰ ἴχνη δέ μου παρετήρουν ὁποῖα βαδίζοιμι, ἵνα ἐπιλάβωνταί μου. Καὶ ταῦτα μὲν οἱ μάτην διώκοντες κατ' ἐμοῦ ἔπραττον· σὺ δέ, Κύριε, ἡ ἐμὴ ἐλπίς, ἐμὲ μὲν τῆς ἀδίκου αὐτῶν κατασκευῆς ῥῦσαι· αὐτοὺς δὲ μετελθὼν τῇ σαυτοῦ ὀργῇ κατάβαλε.

«Ὁ Θεός, τὴν ζωήν μου ἐπήγγειλά σοι.» Παρρησίαν ἄγων, φησί, καὶ μὴ ἐπαισχυνόμενος τῇ ἐμαυτοῦ ζωῇ, ταύτην σοι πᾶσαν ἐξήγγειλα. Σὺ δὲ ἀποδεχόμενος αὐτὴν τὰ δάκρυά μου οὐκ ἀπώσω· ἀλλὰ πρὸ τῶν σῶν ὀφθαλμῶν ἔθου αὐτά, πιστούμενος τὴν σὴν ἐπαγγελίαν τὴν λέγουσαν· «Ἔτι σοῦ λαλοῦντος ἐρῶ· Ἰδοὺ πάρειμι.[1]» Διὸ συνέβαινεν, ἐμοῦ εἰσακουομένου, τοὺς ἐχθρούς μου εἰς τὰ ὀπίσω ἀναχωρεῖν· ὅθεν φημί· «Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε.»

«Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω.» Αὐτοῖς ἔργοις, φησί, παρείληφα, καὶ ἔγνων ἀκριβῶς, ὅτι οὐκ ἐπὶ ματαίῳ ἡ ἐλπίς· ἀλλὰ Θεὸν βοηθὸν ἐκτησάμην.

«Ἐν ἐμοί, ὁ Θεός, εὐχαί, ἃς ἀποδώσω αἰνέσεώς σου.» Ἐπειδὴ τῆς σῆς οἰκονομίας ἠξίωσας ἡμᾶς, φησί, καὶ ἔσωσας, τί ἀνταποδώσομέν σοι, ἢ θυσίας αἰνέσεως; «Ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου.» Τοῦ νοητοῦ, φησί, τουτέστι τῆς ἀγνωσίας τῆς περὶ Θεοῦ. «Καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.» Τῆς ἁμαρτίας λέγει, αὕτη γὰρ κατέφερεν εἰς θάνατον. «Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν φωτὶ ζώντων.» Ὁ γὰρ ῥυσθεὶς τῆς ἁμαρτίας καὶ καθαρὸς ἀποτελεσθείς, οὗτος ἐν τῷ μέλλοντι αἰῶνι ἐν τῇ τῶν ζώντων χώρᾳ εὐαρεστήσει

1. Ἡσ. 58, 9.

τῷ Κυρίῳ. Τοῦ δὲ ῥυσθῆναι ἐκ θανάτου καὶ ἐλευθερωθῆναι ἀπὸ τῆς ἁμαρτίας, μερίδα δὲ σχεῖν καὶ ἐν τῇ τῶν ζώντων χώρᾳ, πρόξενος ἡμῖν γέγονεν ἡ τοῦ Κυρίου παρουσία. Διὸ καὶ «στηλογραφία τῷ Δαυὶδ» ἀναγέγραπται ὁ ψαλμός.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς τὸν Δαυίδ, εἰς στηλογραφίαν, ἐν τῷ ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.

ΨΑΛΜΟΣ ΝϚ'.

Ὑπόθεσις.

Φεύγων τὸν Σαοὺλ ὁ Δαυὶδ διώκοντα ἦλθεν εἰς σπήλαιον μετὰ ἀνδρῶν τετρακοσίων, ὅτε καὶ τὴν διπλοΐδα τοῦ πτερυγίου ἔτεμε τοῦ Σαούλ.[1] Τότε δὲ καὶ τὸν ψαλμὸν ᾄδει. Ἀναφέρεται δὲ καὶ εἰς τὰ πεπραγμένα ὑπὲρ ἡμῶν τῷ Χριστῷ, ὅτε ἐπ' ἐσχάτων τῶν ἡμερῶν ὀφθεὶς μετὰ σαρκὸς ἐπὶ τῆς γῆς ἀπήλασεν ἡμῶν τὴν φθοράν.

«Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.» Ἐκ προσώπου τῆς ἀνθρωπότητος τὴν εἰς αὐτὸν ὑμνῳδίαν προσέφερεν. «Ὅτι ἐν σοὶ πέποιθε ἡ ψυχή μου, καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ.» Ἔθος τῇ θείᾳ Γραφῇ πτέρυγας καλεῖν τὴν ἐπισκοπικὴν δύναμιν τοῦ Θεοῦ, κατὰ τὸ εἰρημένον· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας.[2]» Ἐπὶ τῇ σῇ οὖν βοηθείᾳ, φησί, τὴν ἐλπίδα ἔχω. «Ἕως οὗ παρέλθῃ ἡ ἀνομία.» Τουτέστιν, ἕως οὗ ἐκ μέσου γένηται ὁ Σατανᾶς καὶ αἱ σὺν αὐτῷ δυνάμεις αἱ πονηραί.

«Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με.» Ἐξομολογήσομαι, φησί, καὶ εὐχαριστίας ἀναθήσω σοι τῷ εὐεργέτῃ μου. «Ἐξαπέστειλεν ἐξ οὐρανοῦ, καὶ ἔσωσέ με.» Σαφῶς τὴν κάθοδον τοῦ Κυρίου κηρύσσει. «Ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με.» Τὰς νοητὰς δηλονότι καὶ ἀντικειμένας δυνάμεις. [Παράσχου οὖν τὴν εὐεργεσίαν, ἵνα ἐξῇ μοι λέγειν μετὰ παρρησίας, ὅτι ἐξ οὐρανοῦ ἐπεῖδες τὰ καθ' ἡμᾶς· καὶ τὰ μὲν ἡμέτερα διωρθώσω, τὰ δὲ τῶν ἐχθρῶν πρὸς ὀνειδισμὸν ἤγαγες. Ἢ δὴ τὴν σωτηρίαν φησίν, ᾗ ἐσώθη ἐν τῷ σπηλαίῳ ὅτε μᾶλλον ὑπεξούσιον ἔλαβε τὸν ἐχθρόν, εἰ δέ, ἐφείσατο. Ὃ δὴ καὶ ὄνειδος ἦν τῷ σεσωσμένῳ, ὡς μάτην ἐπιβουλεύοντι τῷ Σωτῆρι.] «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ.» Ἔλεος καὶ ἀλήθεια τοῦ Πατρὸς ὁ Υἱός.

«Καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων.» [Μέσος δὴ ἀπολειφθεὶς σκύμνων τῶν τῆς Γὲθ ἀλλοφύλων. Ἢ τὸ ὅσον ἐπ' ἐμέ, καὶ τῇ ἀνθρωπίνῃ ἀσεβείᾳ ἐκοιμήθην τεταραγμένος. Ἀλλ' ὁ Ὕψιστος, τὸν Λόγον αὐτοῦ ἀποστείλας, ἐρρύσατο τὴν ψυχήν μου, ὡς μηδὲν αὐτὴν ἐκ τῆς ταραχῆς τῶν σκύμνων βλαβῆναι. Τίνα δὲ τὰ

1. Πρβλ. Α' Βασ. 24, 4-5. 2. Ματθ. 23, 37.

θηρία ταῦτα; υἱοὶ τῶν ἀνθρώπων εἰσὶν ἄν· οἱ ὀδόντες ὅπλα καὶ αἱ βουλαί· ἀντὶ τοῦ, βλαπτικοί εἰσι διὰ πάντων. Ὥσπερ ἡ μάχαιρα, ἠκονημένη οὖσα, ῥᾳδίως ἀναιρεῖ, οὕτω καὶ ἡ γλῶσσα, τετηγμένη οὖσα, ταῖς καταλαλιαῖς ἀναιρεῖ.] Σκύμνων τῶν νοητῶν δηλονότι. «Ἐκοιμήθην τεταραγμένος.» Ἐπειδὴ ἐρρύσθην, φησίν, ἐκ τῶν νοητῶν σκύμνων, τούτου χάριν καὶ ἀναπαύσομαι, καίτοι πάλαι ὑπ' αὐτῶν ταραττόμενος. «Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη.» «Ταῦτά φησι κατασημαίνων τὰ τῷ Σωτῆρι συμβάντα κατὰ τὸν τοῦ πάθους καιρόν, ἡνίκα πρὸς Πιλάτον ἔκραζον οἱ Ἰουδαῖοι κατὰ Χριστοῦ τό, «Ἆρον, ἆρον, σταύρωσον αὐτόν [1]», καὶ ὅτι «Εἰ μὴ ἦν οὗτος κακοῦργος, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν.[2]»

«Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.» Εἰ καὶ καθῆκας, φησίν, ἑαυτὸν διὰ τὴν ἡμετέραν σωτηρίαν εἰς ἑκούσιον κένωσιν, καὶ γέγονας ὑπήκοος μέχρι θανάτου [3], ἀλλὰ καὶ πάλιν ἄνελθε εἰς οὐρανούς, ὅτι καὶ ἀνελθὼν τῆς σῆς δόξης πληρώσεις πᾶσαν τὴν γῆν.

«Παγίδα ἡτοίμασαν τοῖς ποσί μου.» Τοὺς καταβάλλοντάς με, φησί, διὰ τῶν παγίδων παρεσκεύασας εἰς αὐτὸν ὃν ὤρυξαν βόθρον ἐμπεσεῖν. Διὸ δὴ καὶ ταῦτα κατορθώσας ἐπὶ τοὺς οὐρανοὺς ὑψώθητι.

«Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου.» Παρακαλεῖ δέξασθαι τὸ Πνεῦμα τὸ ἅγιον, ὃ ἐπηγγείλατο ἀνερχόμενος πέμψειν ὁ Μονογενής, ἑτοίμην εἰς τὸ δέξασθαι λέγων γεγενῆσθαι τὴν ἑαυτοῦ καρδίαν.

«Ἐξεγέρθητι, ἡ δόξα μου.» Δόξαν ἑαυτοῦ τὸ πνεῦμα τὸ προφητικόν φησιν. «Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα.» Ψαλτήριον μὲν τὴν ψυχήν φησι, κιθάραν δὲ τὸ σῶμα καλεῖ. «Ἐξεγερθήσομαι ὄρθρου.» Ἐν αἰσθήσει, φησί, τοῦ νοητοῦ φωτὸς γενόμενος ἐπὶ τὸ ὑμνεῖν ἐξεγερθήσομαι.

«Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσι.» Τὴν τῶν ἁπάντων ἐπιστροφὴν εὐαγγελίζεται δι' ὧν ἐξομολογεῖται, ἅτε δὴ πάντων τῶν ἐθνῶν τοὺς αὐτοῦ ᾀδόντων ὕμνους. «Ὅτι ἐμεγαλύνθη ἕως τὸν οὐρανὸν τὸ ἔλεός σου.» Ὅμοιον τῷ «Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῶν τέκνων τοῦ Θεοῦ.[4]» «Καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.» Ἀληθεῖς, φησί, τὰς τῶν νεφελῶν, τουτέστι τῶν προφητῶν, διὰ τῶν πραγμάτων ἀπέδειξάς σου φωνάς.

[«Ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.» Ἀληθεῖς, φησί, τὰς τῶν νεφελῶν, τουτέστι τῶν προφητῶν, διὰ πραγμάτων ἐπεδείξαντο φωνάς. «Ἕως τῶν οὐρανῶν», ὅμοιον τῷ· «Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς φθορᾶς εἰς ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.»]

1. Ἰω. 19, 15. 2. Ἰω. 18, 30. 3. Πρβλ. Φιλ. 2, 7-8. 4. Ῥωμ. 8,21.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν.

ΨΑΛΜΟΣ ΝΖ'.

Ὑπόθεσις.

Τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ προλαβόντι ὁ παρὼν ψαλμός, μᾶλλον δὲ σαφῶς ἐξηγεῖται ποῖον κατὰ τῶν ἐπαναστάντων τῷ Σωτῆρι τὸ τέλος γέγονεν.

«Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε.» Ἐπειδὴ συνήγοντο κατὰ τοῦ Σωτῆρος, ὡς ἐκδικοῦντες τὸν νόμον, εἰκότως αὐτοῖς τὸ προφητικὸν ἐντέλλεται πνεῦμα, εἴ γε ἄρα τοῦ δικαίου φροντίζουσιν, εὐθέα κρίνειν, τουτέστι δίκαια. Οἱ δὲ οὐκ ἔκριναν δίκαια, τὸν ἀθῶον καὶ δίκαιον ἀποκτεῖναι βουλόμενοι. «Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ.» Εἰ καὶ οἱ λόγοι, φησί, χρηστοί, διεκδικεῖν προσποιούμενοι τὸν νόμον· ἀλλ' ἡ καρδία πικρίας ἐστὶ πλήρης, καὶ αἱ πράξεις δὲ ὁμοίως ἀνομίας πεπλήρωνται.

«Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας.» Δείκνυσι τὸ μηδεμίαν αὐτοὺς τὸ παράπαν ἐσχηκότας αἰτίαν εἰς σωτηρίαν. [Διὰ γὰρ Ἡσαΐου τοῦ προφήτου πρὸς Ἰουδαίους ὁ Θεὸς ἔφη· «Ἔγνων, ὅτι ἀθετῶν ἀθετήσεις, καὶ ἄνομος εἶ, καὶ ἐκ κοιλίας κληθήσῃ·» κοιλίαν τὸ ἅγιον βάπτισμα λέγων]. «Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως.» Θυμόν φησι τὴν ψυχήν, ἣν καὶ ὁμοίαν εἶναί φησι τοῦ ἐν παραδείσῳ ὄφεως· ὃς ὑποκρινάμενος ῥήματα φιλίας, τὸν θάνατον εἰσήγαγεν. Ἐπειδὴ τοίνυν καὶ οὗτοι παραπλησίως, «Ῥαββί[1]», καὶ «Διδάσκαλε[2]», λέγοντες, καί, «Οἴδαμεν, ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας[3]», καὶ τὰ τοιαῦτα προφερόμενοι ῥήματα, ἐβουλεύοντο παραδοῦναι σταυρῷ· τούτου χάριν τῇ ὁμοιώσει τοῦ ὄφεως παρεβλήθησαν. «Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς.» Οὐ μόνῳ τῷ ὄφει, φησί, παρεικασθεῖεν ἄν, ἀλλὰ καὶ ἀσπίδι ἐπὶ τῶν ὀδόντων ἐχούσῃ τὸν ἰόν, μὴ βουλομένῃ τε ἐπακούειν τῶν ἐπῳδῶν εἰς τὸ τοῦ θυμοῦ παύεσθαι. Ταῦτα δέ φησιν, ἐπειδὴ καὶ αὐτοὶ κατὰ τὴν Ἡσαΐου φωνὴν ἐβάρυναν τὰ ὦτα, τοῦ μὴ ἀκοῦσαι τοὺς παρὰ τοῦ Κυρίου λόγους.

«Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν.» Ὀδόντας ἐν τούτῳ τὰς συκοφαντίας ἃς πεποίηνται κατὰ τοῦ Κυρίου φησί, καὶ μάλιστα τὰς ἐπὶ τῆς ἀναστάσεως· ἢ ὀδόντας τὴν δύναμίν φησιν, ἐπειδὴ τῶν λεόντων ἐν τοῖς ὀδοῦσιν ἡ δύναμις. «Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον.» Εὐκαταφρόνητοι, φησίν, ἔσονται ὕδατι παραπλησίως ἐσκεδασμένῳ καὶ παντελῶς ἀχρήστῳ. «Ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσωσι.» Τόξον ἐν τούτοις τὴν ἀπόφασιν τὴν ἐν τῷ θείῳ βήματι γενησομένην φησί. Τὸ δέ, «ἕως οὗ», ἀντὶ τοῦ, «καί», κεῖται· ἵνα ᾖ, «καὶ ἀσθενήσουσιν. Ἔπεσε τὸ πῦρ ἐπ' αὐτούς, καὶ οὐκ εἶδον τὸν ἥλιον.» Ἐμβληθέντες, φησίν, εἰς τὸ πῦρ

1. Ἰω. 3, 2. 2. Ματθ. 22, 16. 3. Ἰω. 3, 2.

τὸ αἰώνιον, τῆς δικαιοσύνης τὸν ἥλιον οὐκ ἐθεάσαντο. Ὅμοιον δὲ τό· «Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.[1]»

«Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον.» Ῥάμνος ἀκανθῶδες φυτόν. Λέγει δὲ τὸν ἀκάνθινον στέφανον. Πρίν, φησίν, αὐξῆσαι τὰς ἀκάνθας ὑμῶν, τουτέστι τὰς ἁμαρτίας, καὶ γενέσθαι ῥάμνον, ἀντὶ τοῦ ἐξανθῆσαι καὶ καρποφορῆσαι, μετελεύσεται ὑμᾶς ἡ θεία ὀργή.

«Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν.» Οἱ δίκαιοι, φησίν, ἐκ μέσου γιγνομένους τοὺς ἀλιτηρίους θεώμενοι δαίμονας κατὰ τὸν τῆς δικαιοκρισίας καιρόν, ἐπὶ τῷ δικαίῳ κρίματι τοῦ Θεοῦ εὐφρανθήσονται· ἅτε δὴ ἀθῷοι αὐτοὶ εὑρεθέντες τῆς ἐπὶ τῷ θανάτῳ κολάσεως. Τὸ γάρ, «νίψεται», ἐπὶ τοῦ ἀθῴου ληπτέον κατὰ τό· «Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου.[2]» «Ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.» Τό, «ἄρα», ἀντὶ τοῦ, «ὄντως», τέθειται. Ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτούς. Ὁμολογοῦσι, φησί, ὄντως δικαίαν ὑπάρχειν τὴν ἐπ' αὐτῶν ἐξενεχθεῖσαν κρίσιν τοῦ Θεοῦ.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυίδ, εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαούλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν.

ΨΑΛΜΟΣ ΝΗ'.

Ὑπόθεσις.

Διαφθονήσας τῷ Δαυὶδ ὁ Σαούλ, καίτοι εὐεργέτην ὄντα, ἐζήτει ἀποκτεῖναι, ποτὲ μὲν ἀκοντίζων τὸ δόρυ κατ' αὐτοῦ[3], ποτὲ δὲ ἐν τῷ οἴκῳ ἐκπολιορκῶν αὐτόν.[4] Ἀναφέρεται δὲ εἰς πρόσωπον τοῦ Σωτῆρος, τοῦ εὐεργετοῦντος μὲν τὸν ἀχάριστον Ἰσραήλ, οὗ καὶ πρόσωπον εἶχεν ὁ Σαούλ, ἐπιβουλευομένου δὲ παρ' αὐτοῦ. Εὐαγγελίζεται δὲ καὶ τὴν τῶν ἐθνῶν ἁπάντων κλῆσιν, ἐκβαλλομένου δηλονότι διὰ τὴν δυσσέβειαν τῆς κατὰ Θεὸν πολιτείας τοῦ Ἰσραήλ.

«Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός.» Εὔχεται αἰσθητῶν τε καὶ νοητῶν ἀπαλλαγῆναι ἐχθρῶν. Οὗτοι γὰρ δὴ ἄνομα πραττόμενοι ἐφθόνουν κατ' αὐτοῦ.

«Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου, Κύριε.» Ὅμοιον τῷ «Ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.[5]»

«Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη.» Εὔχεται ἐπιστροφὴν γενέσθαι ἐπὶ τὴν εἰς Χριστὸν πίστιν τῶν εἰδωλολατρῶν, ἀποβολὴν δὲ τοῦ Ἰσραὴλ διὰ τὴν ἀνομίαν αὐτῶν. «Μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Ἐπιστρέψουσιν εἰς ἑσπέραν.» Τὴν αἰτίαν φησὶ δι' ἧς μὴ οἰκτείρεσθαι αὐτοὺς ηὔξατο. Ἡ αἰτία δέ, ὅτι συστροφὴν κατὰ τοῦ Σωτῆρος ποιήσονται κατὰ τὸν καιρὸν ἐκεῖνον,

1. Ἡσ. 26, 10. 2. Ψαλμ. 25, 6. 3. Πρβλ. Α' Βασ. 19, 10. 4. Πρβλ. Α' Βασ. 19, 15-16. 5. Α' Πέτρ. 2, 22.

καθ' ὃν ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐπεδήμησε τῷ κόσμῳ μετὰ σαρκός. «Καὶ λιμώξουσιν ὡς κύων·» λιμώξουσι μὲν διὰ τὸ μὴ δέξασθαι αὐτοὺς τὸν ἄρτον τὸν ζωοποιόν· κύνας δὲ αὐτοὺς διὰ τὸ ἀναιδὲς κατονομάζει τῆς ψυχῆς. Τὸ δέ· «Κυκλώσουσι πόλιν», ὅτι δή, ἐκπεσόντες τῆς πατρίδος νόμοις τε βασιλικοῖς εἰργόμενοι αὐτῆς, ἔξωθεν κύκλῳ περιέρχονται, μόλις μακρόθεν ποθὲν αὐτὴν θεώμενοι.

«'Ιδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν.» 'Αντὶ τοῦ βλασφημήσουσι. «Καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν.» Τό· «Αἶρε, αἶρε, σταύρωσον αὐτόν.[1]» «Καὶ σύ, Κύριε, ἐκγελάσῃ αὐτούς.» 'Εβλασφήμουν, φησί, καὶ μὴν καὶ μέχρι σταυροῦ ἐπεβούλευσαν λέγοντες, ὡς οὐκ ὄψεται ὁ Θεὸς τοὺς λόγους καὶ τὰς πράξεις αὐτῶν. 'Αλλ' εἰ καὶ ταῦτα διενοήθησαν, σύ, Κύριε, φησί, καταγελάστους αὐτοὺς παρασκευάσεις ἐγγενέσθαι. 'Εκεῖνοι μὲν οὖν ἐκεῖνα τολμῶσι, σὺ δὲ καὶ ἀκούεις, καὶ βλέπεις, καὶ γελᾷς αὐτῶν τὴν ματαίαν μανίαν. «'Εξουδενώσεις πάντα τὰ ἔθνη.» Τὰ νοητὰ δηλονότι, τὰ καὶ αὐτοὺς εἰς τὸν κατὰ τοῦ Κυρίου ἐγείραντα πόλεμον. ῎Ανω εἶπε· «Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη· » ἐνταῦθα· «'Εξουδενώσεις πάντα τὰ ἔθνη·» πολλῇ δι' ὅλου τῇ τάξει τοῦ λόγου καὶ διὰ τῶν ἐν μέσῳ χρησάμενος. Δεικνὺς γάρ, ὅτι μὴ ἁπλῶς αἰτεῖ τὴν κατ' αὐτῶν τιμωρίαν, πρότερον ᾔτησεν ἐπιδεῖν τε τὸν Θεὸν καὶ ἐξετάσαι τὰ γιγνόμενα· εἶτα διηγήσατο οἷα πράττουσιν, οὐδὲ εἶναί τινα τὸν προνοοῦντα νομίζοντες. Καὶ τότε τὴν τιμωρίαν ἐπήγαγεν, τοῦτο λέγων, ὅτι· 'Επὶ τούτοις ἀξίως αὐτοὺς κολάσεις, καὶ τῇ παρὰ σοῦ τιμωρίᾳ τὸ μηδὲν ἀποφανεῖς.

«Τὸ κράτος μου πρὸς σὲ φυλάξω.» 'Εκεῖνοι μέν, φησί, τὰ τοιαῦτα δεδυσσεβήκασι κατὰ σοῦ, ἐγὼ δὲ ὁ προφήτης ὁ ταῦτα λέγων, τῷ πνεύματι τὴν ἰσχύν μου καὶ τὴν βασιλείαν μου διὰ σοῦ φυλαχθησομένην ἕξω· ὅτι δὴ καὶ συναντελάβου μου, καὶ πρὸ τῶν δεήσεων τῷ ἐλέει σου περιέσφιγξας, ὡς καὶ τὴν πτῶσιν ἐπιδεῖν με τῶν ἐχθρῶν μου.

«Μὴ ἀποκτείνῃς αὐτούς, μή ποτε ἐπιλάθωνται τοῦ νόμου σου.» Εὔχεται μὲν μὴ εἰς τὸ παντελὲς ἐξ ἀνθρώπων ἀφανισθῆναι τὸ γένος τῶν ἐπαναστάντων κατὰ τοῦ Κυρίου· διασκορπισθῆναι δὲ μᾶλλον καὶ ἐν αἰχμαλωσίᾳ ζῆν αὐτοὺς ἀξιοῖ διὰ «τὴν ἁμαρτίαν τοῦ στόματος αὐτῶν», καὶ διὰ τὴν ὑπερηφανίαν αὐτῶν.

«Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν συντελείᾳ.» 'Εξάκουστος, φησί, γένοιτο αὐτῶν ἡ συντέλεια διὰ τὰς κατάρας ἃς καταρῶνταί σε, καταψευδόμενοι τῆς σῆς δόξης. Συντέλειαν δὲ οὐ τὴν εἰς τὸ παντελὲς ἀπώλειαν τοῦ ἔθνους φησίν, ἀλλὰ τὴν καταστροφὴν τῆς δόξης αὐτῶν. Δόξα δὲ αὐτῶν αἱ κατὰ νόμον λατρεῖαι, ὁ θεῖος ναός, οἱ προφῆται, οἱ ἀρχιερεῖς, οἱ νομοδιδάσκαλοι, ἡ ἐπιφάνεια τῶν ἀγγέ-

1. 'Ιω. 19, 15.

λων· ἅπερ ἅπαντα ἀθρόως μετὰ τὴν κατὰ τοῦ Κυρίου μιαιοφονίαν συντετέλεσται.

«Καὶ γνώσονται, ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακώβ, καὶ τῶν περάτων τῆς γῆς.» Ἀπάσης τῆς δόξης ἀφαιρεθέντες, φησίν, ἔργῳ γνώσονται, ὅτι δὴ σὺ εἶ ὁ Δεσπότης τοῦ Ἰακώβ, καὶ εἰς τὰ πέρατα τῆς γῆς ἐκτείνας τὴν σὴν Ἐκκλησίαν.

«Ἐπιστρέψουσιν εἰς ἑσπέραν.» Ἐπαναλαμβάνει τὰ προειρημένα, βεβαιοτέραν τὴν κατ' αὐτῶν προφητείαν κατεργαζόμενος. [Ἐπειδὴ εἶπεν, «Ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσιν», ἵνα μή τις ἐναντία εἰρηκέναι νομίσῃ τὸν προφήτην τῷ εἰπεῖν, «Διασκέδασον αὐτοὺς ἐν τῇ δυνάμει σου·» εἰκότως τῇ ταυτολογίᾳ ἐχρήσατο τῷ, «Ἐπιστρέψουσι·» κατὰ τὸ ῥητὸν ἀσάφειαν ἔχουσιν οἱ στίχοι. Βούλεται γὰρ εἰπεῖν τὸ τῶν κυνῶν ὑπόδειγμα, οἵ, συνηγμένοι ἔν τινι τροφῇ, ἀλλήλους κατεσθίουσι πρὶν τοῦ βρώματος ἅψασθαι· διὸ καὶ μερίζονται ἀποτυγχάνοντες τροφῆς πολλάκις.]

«Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν.» Περιέλθωσι μὲν ζητοῦντες τὸν λόγον τοῦ Κυρίου, καὶ οὐ μὴ εὕρωσιν. Ἐὰν δὲ καί ποτε, λέξεώς τινος μετειληφότες τῆς θείας Γραφῆς, δόξωσιν εἰς κόρον ἀπολαῦσαι, καὶ οὕτω γογγύσουσιν, ἅτε ἀεὶ γογγυσταὶ ὄντες καὶ τοῦ Θεοῦ καταλαλοῦντες.

«Ἐγὼ δὲ ᾄσομαι τὴν δύναμίν σου.» Ἐκεῖνοι μὲν οὕτως, φησίν· ἐγὼ δέ, ὁ ἐξ ἐθνῶν δηλονότι λαός, ἅτε τὴν σὴν δύναμιν ἐπιγνούς, χαρήσομαι ἐπὶ τῷ ἐλέει σου τῷ γενομένῳ ἐν φωτί, καὶ τῇ ἀναστασίμῳ σου ἡμέρᾳ. Δι' αὐτοῦ γὰρ καὶ ἀντελάβου ἡμῶν καὶ καταφυγὴ ἐν θλίψει ἐγένου. Διὸ καὶ ψαλμοὺς ἀναπέμπω σοι τῷ Θεῷ τῷ ἐλεήσαντί με. «Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου.» Ἀπήλαυσα γὰρ τῆς σῆς ἐπικουρίας ἀεί, καὶ διὰ τῆς σῆς προνοίας τὰς πρεσπεσούσας διέφυγον συμφοράς. Οὗ δὴ χάριν σὲ μόνον οἶδα Θεόν, καὶ σὲ πηγὴν ἐλέους καὶ φιλανθρωπίας καλῶ. Ταῦτα ὁ μακάριος Δαυὶδ πόρρωθεν προφητικοῖς ἰδὼν ὀφθαλμοῖς, καὶ τὰς Ἰουδαίων προείρηκε συμφοράς, καὶ αὐτὸς ὑμνήσειν ἀεὶ τὸν Δεσπότην ὑπέσχετο· καὶ πληροῖ γε τὰς ὑποσχέσεις, διὰ τῶν εὐσεβῶν τὴν ὑμνῳδίαν προσφέρων.

Εἰς τὸ τέλος. Τοῖς ἀλλοιωθησομένοις, ἔτι εἰς στηλογραφίαν τῷ Δαυίδ, εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σοβάλ, καὶ ἐπέστρεψεν Ἰωάβ, καὶ ἐπάταξε τὴν φάραγγα τῶν Ἁλῶν· ιβ' χιλιάδας.

ΨΑΛΜΟΣ ΝΘ'.

Ὑπόθεσις.

Σαφοῦς οὔσης τῆς ἱστορίας, διὰ τὸ ἀκριβῶς αὐτὴν ἀναγεγράφθαι ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν, τὸ ἐξ αὐτῆς χρήσιμον ἐροῦμεν, ὡς ἀναφέρεται τὸ μὲν πρόσωπον τοῦ Δαυὶδ εἰς πρόσωπον τοῦ Κυρίου,

τοῦ καὶ τὴν ἀλλοίωσιν καὶ τὴν καινότητα τῶν πραγμάτων ἐπ' ἐσχάτου δεδωκότος τῶν καιρῶν καὶ πατάξαντος τὰ ἀλλόφυλα ἔθνη, τουτέστι τὰ νοητά. Ταῦτα γὰρ ἡμᾶς ἡ Γραφὴ ἐκπαιδεύει λέγουσα εἰς διδαχήν. Διδασκόμεθα οὖν, ὡς κατὰ τὸν καιρὸν καθ' ὃν τοὺς μὲν ἐχθροὺς ἐπάταξεν ὁ ἐκ σπέρματος κατὰ σάρκα τοῦ Δαυίδ, τὰ δὲ ἔθνη οἰκεῖα πεποίηται ὁ τῶν Ἰουδαίων λαός, ἐν αἰσθήσει τῆς διὰ Χριστὸν τιμωρίας γεγονώς, ἐπιστροφήν τινα ποιεῖται, αἰτῶν καὶ αὐτὸς τῆς διὰ Χριστὸν χάριτος ἀξιωθῆναι. Ἀποκλαίεται δὲ πρῶτον τὴν γενομένην αὐτῷ διὰ τὴν εἰς Χριστὸν δυσσέβειαν καταστροφήν, διὸ καί φησιν·

«Ὁ Θεός, ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς.» Ἐτιμωρήσω ἡμᾶς, φησί, διὰ τὴν εἰς σὲ γεγενημένην δυσσέβειαν. Ἀλλὰ καὶ ᾠκτείρησας ἡμᾶς· τὸ γάρ, «ᾠκτείρησας», ἀντὶ τοῦ, «οἰκτείρησον», ἢ ἄλλως τό, «ᾠκτείρησας», ἐλεεινοὺς καὶ ἀθλίους ἀπέφηνας, ὡς διὰ τὰς συμφορὰς καιρὸν εἶναι κατοικτείρεσθαι λοιπόν. «Συνέσεισας τὴν γῆν, καὶ συνετάραξας αὐτήν.» Τὴν Ἱερουσαλὴμ φησι, διὰ τὸ πολιορκηθῆναι αὐτήν, καὶ τὸν ἐν αὐτῇ καταστραφῆναι νεών. Ἢ καὶ τὴν νοητὴν αὐτῶν γῆν φησιν, ἥτις διὰ τὴν ἀποστροφὴν τὴν γενομένην κατ' αὐτῶν κατακεκλόνηται. «Ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.» Πάλιν τὰ γεγενημένα διέξεισιν.

«Ἔδειξας τῷ λαῷ σου σκληρά.» Τῷ πλήθει, φησί, τῶν συμφορῶν, καθάπερ οἴνῳ τινὶ κάρον ἡμῖν ἐνεποίησας, καὶ ὀδύνης ἐνέπλησας τὰς ἡμετέρας ψυχάς. «Ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.» Οὕτω καὶ ὁ Ἀκύλας ἡρμήνευσεν· «Ἐπότισας ἡμᾶς οἴνῳ καρώσεως.» Οἶνον κατανύξεως τὰς ἐν ταῖς θείαις Γραφαῖς τιμωρίας φησί, τὰς προανακηρυχθείσας αὐτοῖς τῆς εἰς Χριστὸν δυσσεβείας ἕνεκα. Ἀναγινώσκοντες γὰρ καὶ τῇ πείρᾳ τὰ προηγορευμένα μανθάνοντες, κατανύττονται τὸ συνειδός. «Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.» Σημείωσις ὁ φωτισμός, καθ' ὃν δύναταί τις διάκρισιν ἔχειν πνευμάτων, καὶ ἀγαθοῦ καὶ κακοῦ. Ταύτης γὰρ τῆς γνώσεως ὑπαρξάσης, φεύγομεν ἀπὸ τῶν χειρόνων, μακρὰν κακοῦ ἔργου καὶ πνεύματος πονηροῦ γινόμενοι. *Τοῦ αὐτοῦ.* Ἡμεῖς μέν, φησί, δι' ἣν ἐπράξαμεν δυσσέβειαν τετιμωρήμεθα· οἱ δὲ φοβούμενοί σε σημεῖον ἐδέξαντο (δῆλον δέ, ὅτι ἐν ᾧ ἐσφραγίσθημεν), ὅπως ἂν ἔξω πάσης κολαστικῆς ἐπηρείας γένοιντο. Τούτου δὲ τοῦ σημείου τύπος ἦν τὸ ἐν ταῖς φλιαῖς τῶν προβάτων ἐν Αἰγύπτῳ χριόμενον αἷμα.

«Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ.» Ὅμοιον τῷ· «Ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ.[1]» Αὐτὸς γάρ ἐστιν ὁ ἅγιος τοῦ Θεοῦ καὶ Πατρός. Τί δὲ ἐλάλησε, καὶ πρὸς τίνα

1. Ἑβρ. 1, 2.

ἐλάλησεν; Ἐπειδὴ ηὔξατο ἐν τῷ προλαβόντι ψαλμῷ λέγων· «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου·» τούτου χάριν ἀποκρίνεται, ὡς τὰ Σίκημα μὲν διαμεριεῖ, τουτέστι τὸ βασίλειον τοῦ Ἰσραήλ· ἐν Σικήμοις γὰρ ἦν. Δέδωκε γὰρ αὐτὸ ἀλλοφύλοις ἔθνεσι τοῖς πιστεύσασιν εἰς αὐτόν. «Καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.» Κοιλάδα ἡ θεία Γραφὴ τὸ πάντων ἀνθρώπων οἰκητήριόν φησι. Ταύτην οὖν, φησί, τὴν κοιλάδα πᾶσαν εἰς σκηνὰς ἐμαυτῷ διαμετρήσω· τουτέστιν ἐκκλησιῶν πληρεστάτην ἀποτελέσω.

«Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς.» Διὸ Γαλαὰδ καὶ Μανασσῆ σημαίνει, ὡς ἐν τῇ ἐπιφανείᾳ αὐτοῦ πρώτοις Ἰουδαίοις κηρύσσει τὴν χάριν. Ἀλλὰ καὶ Ἐφραΐμ, φησί, καὶ ὁ Ἰούδας, αἱ δύο βασιλεῖαι τοῦ Ἰσραήλ, ὁμοίως δέξονται τὴν χάριν. Τὸ δέ, «Κραταίωσις τῆς κεφαλῆς μου», ἀντὶ τοῦ, ἰσχὺς τῆς ἀρχῆς μου. Τῆς γὰρ ἀρχῆς αὐτοῦ ἧς ἦρχεν, τουτέστι τοῦ Ἰσραήλ, ὁ Ἐφραΐμ ἦν ἡ ἰσχύς· ἐξ αὐτοῦ γὰρ ἦν ἡ βασιλεία τοῦ Ἰσραήλ. «Μωὰβ λέβης τῆς ἐλπίδος μου.» Λέβης, μὲν τὸ δοχεῖον. Λέγει δέ, ὡς καὶ οἱ Μωαβῖται, τουτέστι τὸ πρώην ἄθεον ἔθνος ὑποδέχεται τὴν εἰς ἐμὲ ἐλπίδα. «Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου.» Καὶ ἐν τῇ Ἰδουμαίᾳ, φησίν, ἐμπεριπατήσω. Ἰδουμαία δὲ πάλιν ἀλλοφύλων ἦν ἔθνος. Δηλοῦται δὲ διὰ τούτων ἡμῖν, ὡς τὴν εἰς αὐτὸν πίστιν καὶ τὰ ἔθνη παραδέξονται· διό φησιν· «Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.»

«Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;» Ἀκούσας διὰ τοῦ Πνεύματος ὁ προφήτης, ὡς τὰ ἔθνη δέχεται τὴν χάριν, φησί· «Τίς με ἀπάξει εἰς πόλιν τῆς περιοχῆς;» Πόλιν δὲ περιοχῆς τὴν Ἐκκλησίαν φησί, τὴν περιπεφραγμένην τῇ τοῦ Θεοῦ δυνάμει. Ταῦτα δὲ ὁ προφήτης ὡς ἐκ προσώπου τοῦ μετανοοῦντος λαοῦ τῶν Ἰουδαίων φησί, καὶ ἀγαπῶντος δέξασθαι τὴν πίστιν τὴν εἰς Χριστόν. «Ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;» Δηλοῖ τίς ἐστιν ἡ πόλις τῆς περιοχῆς. Τίς οὖν ἐστιν ἢ ἡ Ἰδουμαία; Ἀπὸ δὲ τῆς Ἰδουμαίας πάντα τὰ ἔθνη σημαίνει τὰ τὴν χάριν ὑποδεξάμενα. «Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς;» Τίς ἄλλος, φησίν, ἡμᾶς εἰς τὴν πόλιν ἀγάγοι τῆς περιοχῆς ἢ σὺ αὐτός, ὁ καὶ διὰ τὰς ἀνομίας ἡμῶν τῆς σῆς οἰκειώσεως ἐκβαλών;

«Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεων, καὶ ματαία σωτηρία ἀνθρώπου.» Οὐ διὰ ἀνθρωπίνης, φησί, συμμαχίας τῶν ἐπελευσομένων ἡμῖν θλίψεων ἐλπίζομεν ἐλευθερωθήσεσθαι, ἀλλ' ἢ διὰ τῆς σῆς μόνης ἐπικουρίας. «Καὶ ματαία σωτηρία ἀνθρώπου.» Πᾶς γὰρ ὁ ἐλπίζων ἐπὶ σωτηρίαν ἀνθρώπου εἰς ματαίαν ἐλπίδα ἤλπισε. Σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσε, προσθεὶς τὸν σύνδεσμον καὶ εἰπών· «Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· καὶ γὰρ ματαία σωτηρία ἀνθρώπου.»

«Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν.» Ἐπάμυνον, φησί, διακειμένοις κακῶς. Σοὶ μόνῳ δυνατὸν διαλῦσαι τὰς συμφοράς. Αἵ τε τῶν

ἀνθρώπων ἐπικουρίαι, σοῦ μὴ νεύοντος, μάταιαι. Τὴν τοίνυν αὐτοῦ ἐπικαλεσόμεθα πρόνοιαν, καὶ τῇ αὐτοῦ δυνάμει θαρρήσομεν. Αὕτη γὰρ ἀρκεῖ μόνη λῦσαι τὰ χαλεπά, καὶ τῶν πολεμούντων ἡμῖν καταλῦσαι τὴν δυναστείαν. Ἀλλήλοις ὥσπερ ἐπιφωνοῦσιν ἐπὶ τῷ Θεῷ μόνῳ λοιπὸν τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας. Διό φησιν· Ὅταν ἐπὶ τῷ Θεῷ δυναμοῦσθαι ἐλπίσωμεν, τότε καὶ οὐδὲν ὄντας τοὺς ἐχθροὺς ἡμῶν εὑρήσομεν.

Εἰς τὸ τέλος ἐν ὕμνοις τῷ Δαυίδ.

ΨΑΛΜΟΣ Ξ΄.

Ὑπόθεσις.

Εὐχαριστίαν ἀναφέρει Θεῷ ὑπέρ τε ἑαυτοῦ καὶ τοῦ σωθέντος διὰ τῆς πίστεως λαοῦ. Ἐπαγγέλλεταί τε καὶ ἐν ταῖς αἰωνίοις γεγονὼς μοναῖς ἀκαταλήκτως ἀναπέμπειν τὴν αἴνεσιν.

«Εἰσάκουσον, ὁ Θεός, τῆς δεήσεώς μου.» Ἐπειδὴ εἰς τὴν καταδυναστείαν καὶ εἰς τὴν τυραννίδα τῶν δαιμόνων ἀφορῶν, ἀκηδίας πεπλήρωμαι· τούτου χάριν ἱκετεύω, ὅπως ἐπιφανεὶς τῆς τῶν βιαζομένων ἡμᾶς ἐξέλῃ χειρός. Τὸ δέ, «Ἀπὸ τῶν περάτων τῆς γῆς», σημαίνει ὑπὲρ πάσης αὐτὸν τῆς οἰκουμένης ποιούμενον τὰς λιτάς. «Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.» Ἐπειδὴ γὰρ πολλοῖς σταθμοῖς ἡ Βαβυλὼν τῆς Παλαιστίνης ἀφέστηκε, τὰς ἐσχατιὰς ὑπελάμβανον τῆς οἰκουμένης οἰκεῖν οἱ ἐξανδραποδισθέντες, κἀκείνην τεταγμένοι τὴν γῆν οἰκεῖν. «Ἐν πέτρᾳ ὕψωσάς με.» Δείκνυσιν εὐθέως εἰσακουσθείς, κατὰ τό· «Ἔτι σοῦ λαλοῦντος, ἐρῶ· Ἰδοὺ πάρειμι.[1]» Σαφῶς τε κηρύττει διὰ τίνος ἡ σωτηρία· ὑψῶσθαι γάρ φησιν ἐν πέτρᾳ. Κρείττους γὰρ καὶ ἀνωτέρω τῶν ἐπηρεαζόντων δαιμόνων γεγόναμεν διὰ Χριστοῦ, ὃς πέτρα παρὰ τῷ μακαρίῳ Παύλῳ κατωνόμασται.

«Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου.» Εἰ γὰρ αὐτός ἐστιν ἡ ὁδός, καὶ αὐτός ἐστιν ἡ θύρα, δῆλον, ὅτι τὴν ἀγαθὴν ἡμᾶς βαδίζειν διδάξει τρίβον, εἰς αὐτὸν ἐλπίζειν παρασκευάσας. «Πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.» Ὅμοιον ὡς εἰ λέγοι· Τεῖχος καὶ ἀσφάλεια γέγονας εἰς τὸ μηδὲν παθεῖν ἐπηρεαζόντων τῶν ἐχθρῶν.

«Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας.» Ἀφ' ὧν ἤδη εἴληφεν ἀγαθῶν, καὶ περὶ τῶν μελλόντων ἐλπίζει· ὅτι δή, εἰς τὰς ἄνω σκηνὰς γεγονώς, ὑπὸ τὴν αὐτοῦ διαπαντὸς γενήσεται σκέπην.

«Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.» Καὶ τίς ἡ κληρονομία ἢ ἡ βασιλεία τῶν οὐρανῶν; «Δεῦτε» γάρ, φησίν, «οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην

1. Ἡσ. 58, 9.

ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου[1]», καὶ τὰ ἑξῆς· ὥστε κληρονομεῖν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ λέγεσθαι ἐπὶ τῆς γῆς Χριστιανούς.

«Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις.» Σημαίνει ὁ λόγος, ὡς καὶ τοῦτο μέρος τῆς κληρονομίας ἐστίν, ἡ ζωὴ ἡ αἰώνιος. Τοῦτο γάρ ἐστι τὸ ἡμέρας ἡμερῶν τοῖς ἔτεσι τοῦ βασιλέως προσθεῖναι. Σημαίνει γὰρ διὰ τῶν ἡμερῶν χρόνους τινὰς καὶ αἰῶνας. «Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ· ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;» Ἐξ ἀναστροφῆς ὁ λόγος, ἵνα ᾖ τοιοῦτος. Εἴ τις ἐκζητήσει τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, οὗτος ἐν τοῖς ἀτελευτήτοις αἰῶσι διαμένει ἐνώπιον τοῦ Θεοῦ.

«Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας.» «Οὕτως», πῶς; ἢ διαμείνας ἐνώπιόν σου ἐν τῷ μέλλοντι αἰῶνι; Τότε γὰρ τῆς μακαρίας ἐκείνης στάσεως ἀξιωθείς, ἀδιαλείπτως ἀναπέμψω τοὺς ὕμνους. Οὕτως, καὶ οὐκ ἄλλως δοξολογῶν ὁ ἄνθρωπος, οὐ παύσεται εἰς τὸν αἰῶνα τοῦ ἀποδοῦναι Κυρίῳ τὰς εὐχάς. Οἱ πιστοὶ γὰρ οὐ παύονται ἡμέραν ἐξ ἡμέρας ἐπιτελοῦντες τὰ θεῖα μυστήρια.

Εἰς τὸ τέλος. Ὑπὸ τοῦ Ἰδιθούμ, ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ΞΑ'.

Ὑπόθεσις.

Ὁ Ἰδιθοὺμ εἷς ἦν τῶν χοροστατῶν τῶν ἐν τῷ θείῳ ναῷ. Οὗτος εἰς ἁμαρτίαν καταπεσὼν δέχεται παρὰ τῷ Δαυὶδ τὸν ψαλμόν, ἀνάκλησιν αὐτῷ παρασκευάζοντα τῆς ἀρετῆς. Προφητεύει δὲ ἐν αὐτῷ καὶ τὴν διὰ τῆς τοῦ Σωτῆρος οἰκονομίας παντὶ τῷ τῶν ἀνθρώπων γένει ἐσομένην λύτρωσιν, καὶ τῶν νοητῶν ἐχθρῶν τὴν ἀνατροπήν· καὶ παραίνεσιν ἀποτροπὴν κακίας περιέχουσαν τοῖς ἀνθρώποις εἰσάγει, τὰ περὶ τῆς κρίσεως αὐτοῖς ὑποτιθέμενος τοῦ Θεοῦ.

«Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου;» Εἰ καὶ σεσάλευσαι, φησί, ὦ ψυχή, καὶ τῆς κατ' ἀρετὴν ἐξέπεσας στάσεως, ἀλλ' ὑποτάγηθι τῷ Κυρίῳ. Ὅτι δὴ αὐτός σου καὶ ἀντιλήψεται, καὶ σώσει τοῦ μὴ ἐπὶ πλεῖον σαλεύεσθαι. «Καὶ γὰρ αὐτὸς Θεός μου.» Καὶ γὰρ αὐτὸς παρέξει τὴν σωτηρίαν ἀδικουμένῳ παρ' ὑμῶν, καὶ ἀπαλλάξει πάντως ὑμῶν τῆς μοχθηρίας.

«Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον;» Τῶν ἀντικειμένων δυνάμεων καταβοᾷ· ὅτι δὴ νενευκυίᾳ τῇ τοῦ ἀνθρώπου φύσει ἐπὶ τὰ πονηρὰ ἐπιτίθενται, καὶ ὁμοίᾳ πως οὔσῃ διὰ τὴν φυσικὴν ἀσθένειαν «κλίναντι τοίχῳ καὶ καταπίπτειν μέλλοντι, καὶ φραγμῷ ἀνατετραμμένῳ.»

1. Ματθ. 25, 34.

«Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι.» Μόνον οὐχὶ γὰρ καὶ αὐτοῦ τοῦ λογικοῦ ἡμᾶς ἀπεστέρησαν, ξύλα καὶ λίθους ἀναγκάσαντες προσκυνεῖν, ὡς καὶ λέγεσθαι περὶ ἡμῶν, ὅτι «Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν.[1]» «Ἔδραμον ἐν δίψει.» Τοῦτον, φησί, τὸν δρόμον ἔτρεχον αἱ ἀντικείμεναι δυνάμεις, διψῶσαι τοῦ ἀποστερῆσαι με τῆς τιμῆς. «Τῷ στόματι αὐτῶν ηὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.» Τοῦτό φησιν, ἐπειδή, τὰ ἡδέα ἡμῖν ὑποβάλλοντες, δι' αὐτῶν κατάρας ἡμᾶς ἀποφαίνουσι τέκνα.

«Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου.» Πάλιν τῇ ψυχῇ διαλέγεται, τὴν ὑποταγὴν αὐτῆς τὴν πρὸς τὸν Θεὸν ἐπιτείνων. Ἐνδείκνυται δὲ τὸ μέγεθος τῶν πειρασμῶν, καὶ τὸ τοῦ Ἀποστόλου λέγει· «Ὅτι οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε ὑπενεγκεῖν.[2]» «Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου.» Ἐπὶ αὐτῷ τῆς σωτηρίας καὶ τῆς δόξης ἔχω τὴν ἐλπίδα. Τουτέστιν, αὐτός με καὶ περισώσει καὶ ἐπίδοξον ποιήσει, νικητὴν τούτων ἐργασάμενος.

[«Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου.» Μονονουχὶ γὰρ καὶ αὐτοῦ τοῦ λογικοῦ ἡμᾶς ἀπεστέρησαν, ξύλα καὶ λίθους ἀναγκάσαντες προσκυνεῖν, ὡς καὶ λέγεσθαι περὶ ἡμῶν· «Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν.» Ἀλλ' ἐκεῖνοι μέν, ὦ ψυχή, τοιοῦτοι· σὺ δὲ «ὑποτάγηθι» τῆς δουλείας αὐτοῦ. Εἶτα ἐπάγει, ὅτι Αὐτὸ τοῦτο παρ' αὐτοῦ ἐλπίζω, τὸ σωτηρίας τυχεῖν, ἀντιλαμβανομένου, καὶ μὴ συγχωροῦντος μετανάστην γενέσθαι καὶ φυγάδα ἀπ' αὐτοῦ, ἤτοι δεσποτείαν ἑτέραν ἀλλάξασθαι. Ἐκεῖθεν γὰρ προσδοκῶ καὶ σῴζεσθαι, καὶ τὸ βοηθεῖσθαι, ἐκ τοῦ ἐπ' αὐτὸν ἐλπίζειν.]

«Ἐλπίσατε ἐπ' αὐτόν, πᾶσα συναγωγὴ λαῶν.» Ἐν αὐτῷ πρώτῳ παρασκευάσας τὸν εἰς μετάνοιαν δρόμον, καὶ τοὺς ἄλλους εἰς τοῦτο παρακαλεῖ, ἅμα δὲ καὶ προφητικώτερον τὴν τῶν ἐθνῶν πάντων προαναφωνεῖ κλῆσιν. «Ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν.» Ὅμοιον ὡσεὶ λέγοι· Μὴ προσέλθητε αὐτῷ ἐν καρδίᾳ δισσῇ· ἀλλ' ὡς γέγραπται· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου.[3]»

«Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων.» Εἰδώς, ὅτι πάντες δέξονται τὴν διὰ τοῦ Εὐαγγελίου κλῆσιν, ταλανίζει τοὺς μὴ πιστεύοντας, καὶ μάλιστα τοὺς τῶν Ἰουδαίων καθηγητάς, οἳ καὶ ψευδεῖς ἦσαν, ἅτε δὴ τὴν ἀλήθειαν ἀπωθούμενοι· καὶ οὐ μόνον ζυγῷ καὶ σταθμοῖς τὴν ἀδικίαν ἐπετήδευον, ἀλλὰ καὶ συνήγοντο ἐπὶ ματαιότητι. Μάταιος γὰρ ἀληθῶς ἡ παρ' αὐτῶν κατὰ τοῦ Σωτῆρος ἐπιβουλή. «Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε.» Τοῦτό φησι πρὸς αὐτούς, ἐπειδὴ πλεονεξίας ἕνεκεν ἐπεβούλευσαν αὐτῷ, ἐλπίζοντες τὰς ἐκ τοῦ νόμου καρποφορίας παρ' αὐτῶν λαμβάνειν.

«Ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα· ὅτι τὸ κράτος τοῦ

1. Ψαλμ. 48, 21. 2. Α' Κορ. 10, 13. 3. Ματθ. 22, 37.

Θεοῦ.» 'Απεφήνατο, φησί, λόγον περὶ τῆς κρίσεως ὁ Θεός, δι' οὗ ταῦτα τὰ δύο ἀκήκοα· ἓν μέν, ὅτι τοῖς μὲν δεηθεῖσιν ὀργῆς διὰ τὴν τῶν ἁμαρτημάτων ὑπερβολὴν ὀργὴν ἀποδώσει· τοῖς δὲ ἄξια πεποιηκόσιν ἐλέου, ἀπονέμοι ἔλεον. Τὸ γὰρ «κράτος» τὴν ὀργὴν ὑποσημαίνει, καὶ τὴν ἀποτομίαν τὴν κατὰ τῶν ἀξίων αὐτῆς γενομένην.

Τῷ Δαυὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς 'Ιουδαίας.

ΨΑΛΜΟΣ ΞΒ'.

'Υπόθεσις.

Καὶ τοῦτον μὲν ᾄδει τὸν ψαλμόν, φεύγων ἀπὸ προσώπου Σαούλ, καὶ διὰ τῆς κατὰ τὸν βίον ἀρετῆς ἐπικαλούμενος εἰς βοήθειαν τὸν Θεόν. 'Αναφέρεται δὲ καὶ εἰς τὴν ψυχὴν τὴν πάλαι ἐν ἐρημίᾳ γεγονυῖαν παντὸς ἀγαθοῦ, εἶτα ἐπιστραφεῖσαν τῇ Χριστοῦ χάριτι.

«'Ο Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.» Τὸ σπουδαῖον τῆς προσεδρίας διὰ τῶν παρόντων κατασημαίνει. Πρὸς σέ, φησί, διανίσταμαι ὄρθρου, εἰς τὸ σοὶ τούς τε ὕμνους καὶ τὰς εὐχὰς ἀναπέμψαι. «'Εδίψησέ σε ἡ ψυχή μου.» Οὐ μόνον, φησίν, ἡ ψυχὴ τοῦ ἔρωτος ἐμπέπλησται τοῦ θείου· ἀλλὰ γὰρ «πλέον τι καὶ ἡ σάρξ.» Οὐ γὰρ μόνον τὴν εὐσέβειαν ἡμᾶς ἐπιτηδεύειν δεῖ, ἀλλὰ καὶ διὰ τοῦ σώματος ἀρέσκειν Θεῷ, οἷον διὰ νηστείας, διὰ συνεχοῦς προσευχῆς, διὰ χαμευνίας, διὰ τῆς ἐργασίας τῶν χειρῶν, εἰς τὸ δεομένοις χορηγεῖν. «'Εν γῇ ἐρήμῳ καὶ ἀβάτῳ.» Οὐδεμίαν ἀπὸ τῆς ἐρημίας βλάβην εἰσεδεξάμην, φησίν, ἀλλ' ὡς παρ' αὐτὴν ἑστηκὼς τὴν ἱεράν σου σκηνήν, ὑμνῳδίαν προσφέρω. Τὸ γάρ, «ἐν τῷ ἁγίῳ», τὴν σκηνὴν λέγει. Οὔπω γὰρ ὁ θεῖος νεὼς ᾠκοδόμητο. «Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι.» «Οὕτως», πῶς ἢ διψῶν καὶ ἐπιποθῶν τὴν περὶ σὲ τὸν ἅγιον συνάφειαν; Τίς δ' ἂν εἴη ἅγιος ἢ ὁ Μονογενής;

«"Οτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς.» "Οτι οἱ τῷ ἐλέει προσελθόντες τοῦ Θεοῦ, τουτέστι Χριστῷ, οὐδὲν ἡγοῦνται τοῦ παρόντος βίου τὴν ζωήν, τὴν τοιαύτην ἀναφθέγγονται φωνήν· ὑπὲρ πλήθους ζωῆς, τῆς παρούσης δηλονότι, λέγοντες εἶναι τὸ δεδομένον αὐτοῖς διὰ τοῦ Μονογενοῦς ἔλεος. «Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου.» Τοῦτο δὲ παρὰ πάντα μου τὸν βίον διατελέσω ποιῶν, ὑμνῶν μὲν τῇ γλώττῃ, τὰς δὲ χεῖρας ἐκτείνων, καὶ τὴν σὴν φιλανθρωπίαν αἰτῶν. «'Εν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.» Οὐκέτι φησίν, ὡς καὶ πρώην, πρὸς Θεὸν ἀλλότριον τὰς χεῖρας ἐκτενῶ, ἀλλ' ἢ σοὶ μόνῳ, καὶ τὸ σὸν ἐν προσευχαῖς ἐπικαλούμενος ὄνομα.

«'Ως ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου.» Δείκνυσι πόσον τὸ κέρδος τῶν ἐπ' αὐτῷ μόνῳ τὰς ἐλπίδας ἔχειν ἠρημένων. «Καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.» "Οταν, φησί, τοῦ

σοῦ ἐν μνήμῃ ὀνόματος γίνωμαι, τότε δὴ τότε χαρᾶς πληροῦται τὰ χείλη μου.

«Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου.» Τό, «Εἰ ἐμνημόνευον», ἀντὶ τοῦ, «μνημονεύων», τέθειται· ἵνα ᾖ, μνημονεύων σου, φησίν, ἄυπνος ἐγενόμην περὶ τὰς σὰς αἰνέσεις, καὶ τὰς φωτεινάς σου χορηγίας, ἃς τοῖς ἐπικαλουμένοις σε δίδως. «Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.» Ἐπειδὴ αὐτός μοι βοηθεῖς τῇ φυλακῇ τῆς σῆς βοηθείας, τὴν εὐφροσύνην δέχομαι. Σκέπην γὰρ πτερύγων καλεῖ τὴν ἀπὸ τῆς βοηθείας φυλακήν. Σκεπόμενος, φησί, παρὰ σοῦ χαρᾷ χαρήσομαι.

«Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου.» Οὐδὲ πρὸς βραχὺ τὸν ἐμὸν λογισμόν, φησί, τῆς σῆς ἀποστῆσαι δύναμαι μνήμης. Ἀλλὰ φίλτρῳ θερμῷ πυρσευόμενος οἷόν τινι κόλλῃ τῇ μνήμῃ, τῷ σῷ πόθῳ προσδέδεμαι. Εἶτα δείκνυσι τὸν τοῦ πόθου καρπόν. «Ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.» Καὶ τίς ἂν εἴη δεξιὰ τοῦ Πατρὸς ἢ ὁ μονογενὴς αὐτοῦ Υἱός;

«Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου.» Κατακράζει λοιπὸν τῶν ἀντικειμένων δυνάμεων, ἣν ὑπέμεινε προβαλλόμενος βίαν, εὐχόμενος ταῖς αἰωνίοις αὐτοὺς παραδοθῆναι κολάσεσιν.

«Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ.» Τὸ τέλος τῶν εἰς Χριστὸν ἀσεβησάντων διεξελθών, καὶ δείξας, ὡς μερὶς καὶ κλῆρος αὐτοῖς γενήσεται τὰ κατώτατα μέρη τῆς γῆς, ἐπὶ τὸ ἕτερον τάγμα τὸν λόγον μεθίστησι· τοῦτο δὲ ἦν τὸ τῶν πιστευσάντων εἰς Χριστόν, οἵ, καὶ βασιλείας ἠξιωμένοι τῶν οὐρανῶν, εἰκότως καὶ βασιλεῖς ὀνομάζονται, κατὰ τὸ εἰρημένον παρὰ τῷ Ἀποστόλῳ· «Καὶ ὤφελόν γε ἐβασιλεύσατε.[1]» Οὗτος δὲ ἦν ὁ βασιλεύων λαός, ὃς εὐφραίνεται τὴν νοητὴν εὐφροσύνην, ἣν αὐτὸς αὐτῷ κεχάρισται ὁ Θεός. Ἐγώ, φησίν, ὁ παρὰ σοῦ τὴν βασιλείαν λαβών, τῇ σῇ ἐπικουρίᾳ, οὐ τῷ θανάτῳ ἐκείνων, ἐφήδομαι. «Ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ.» Οὕτως, φησί, καὶ καύχημα αὐτῶν ἔσται Χριστός, τῶν βασιλευσάντων δηλονότι· ὡς καὶ ὅρκιον αὐτὸν ποιουμένους ἐπαινεῖσθαι δικαίως. Ὀμοῦνται γὰρ Θεὸν ἀληθινόν, κατὰ τὸ γεγραμμένον· «Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.» Καὶ τίνες οὗτοι ἢ οἱ τολμήσαντες εἰπεῖν, «Αἶρε ἐκ τῆς γῆς τὸν τοιοῦτον· οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν; [2]» Τούτων δὴ οὖν ἐνεφράγη τὸ στόμα, πατήσαντος τοῦ Κυρίου τὸν θάνατον, καὶ τριημέρου ἀναστάντος. Καὶ αὐτῶν δὲ τῶν ἀντικειμένων δυνάμεων ἐνεφράγη τὸ στόμα, ἀνῃρημένης τῆς ἁμαρτίας διὰ τῆς χάριτος, κατὰ τὸ εἰρημένον ἀλλαχοῦ· «Καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς·[3] Θεὸς γὰρ ὁ δικαιῶν, καὶ τίς ὁ κατακρίνων; [4]»

---

1. Α' Κορ. 4, 8. 2. Πράξ. 22, 22. 3. Ψαλμ. 106, 42. 4. Ῥωμ. 8, 33.

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ΞΓ'.

Ὑπόθεσις.

Τοῦτον ᾄδει τὸν ψαλμὸν ἐκ προσώπου τῶν ἁγίων ἀποστόλων, εὐχομένων ἀπαλλαγῆναι τῶν ἐχθρῶν τοῦ εὐαγγελικοῦ κηρύγματος, διηγουμένων τε σαφῶς τὰ κατασκευασθέντα αὐτοῖς παρὰ τῶν ἀρχόντων τοῦ λαοῦ τῶν Ἰουδαίων, ἅ τε ὑπομεμενήκασιν αὐτοί, δῆλον δέ, ὅτι οἱ προλεχθέντες ἄρχοντες, τῆς εἰς Χριστὸν ἀσεβείας ἕνεκεν.

«Εἰσάκουσον, ὁ Θεός, φωνῆς μου ἐν τῷ δέεσθαί με.» Δέξαι μου, φησί, Δέσποτα, τὴν ἱκετείαν, καὶ ῥῶσόν μου τὴν διάνοιαν, ὥστε μὴ δεδιέναι τὰς προσβολάς. «Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.» Ὅμοιον τῷ· «Καὶ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας λαλεῖν τὸν λόγον σου.[1]»

«Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν.» Ταῦτά φησι, διὰ τὸ βλασφημοῦντας αὐτοὺς τὸν Ἰησοῦν λέγειν τοῖς ἀποστόλοις· «Παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μηδενὶ λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ.[2]»—«Ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρόν.» Τόξου βολῇ τὰ θανατοποιὰ τῆς γλώσσης αὐτῶν παραβάλλει ῥήματα. Πῶς γὰρ οὐ θανατοποιὰ τὰ πείθειν ἐπιχειροῦντα μὴ Θεὸν πιστεύειν εἶναι τὸν Ἰησοῦν;

«Ἐξάπινα κατατοξεύσουσιν αὐτόν, καὶ οὐ φοβηθήσονται.» Λοχῶντες, φησίν, ἐξαίφνης ἐπίασιν, οὐ δεδιότες τὸν ἐφορῶντα Θεόν. «Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν·» τὸ διαβεβαιοῦσθαι· Οὐκ ἀνέστη ὁ Κύριος ἐκ νεκρῶν. «Διηγήσαντο τοῦ κρύψαι παγίδα.» Ἄνω καὶ κάτω, φησίν, ἐβουλεύοντο ἀποκτεῖναι λάθρα τῶν εὐαγγελικῶν δογμάτων τοὺς κήρυκας. «Τίς, εἶπαν, ὄψεται αὐτούς;» Ταῦτα ἔπραττον, φησί, νομίζοντες μὴ ἀπαιτεῖν αὐτοὺς τὸν Θεὸν τῆς τοιαύτης ἀσεβείας τὰς δίκας.

«Προσελεύσεται ἄνθρωπος καὶ καρδία βαθεῖα.» Οἱ μὲν παράνομοι, φησίν, οὐ διέλιπον πονηρὰ κατὰ τοῦ Κυρίου βουλευόμενοι· τοῦτο γάρ ἐστι τό· «Ἐξηρεύνησαν ἀνομίαν·» ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος ὁ συνετὰ βουλευόμενος (τοῦτο γὰρ ἡ βαθεῖα καρδία δηλοῖ), ἅτε ἀκριβῶς νοήσας τὸ μυστήριον, τοῖς προσήκουσιν ὕμνοις κεχρημένος, ὑψώσει τὸν Θεόν, κατὰ τὸ εἰρημένον ἀλλαχοῦ· «Ὑψώσω σε, Κύριε ὁ Θεός μου[3], ὁ βασιλεύς μου. Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν.» Εἰπὼν αὐτῶν τὸ κατὰ τῶν ἁγίων κηρύκων ἔπαρμα, διεξέρχεται καὶ τὴν ἔκπτωσιν.

«Καὶ ἐφοβήθη πᾶς ἄνθρωπος» Τίς γὰρ οὐκ ἂν φοβηθείη, ἐπισκοπὴν ἐκ Θεοῦ ὁρῶν γινομένην κατὰ τῶν ἀσεβῶν;

---

1. Πράξ. 4, 29. 2. Πράξ. 5, 28. 3. Ψαλμ. 29, 2.

«Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτῷ.» Διαφερόντως οἱ τῶν θείων νόμων ἐπιμελούμενοι θυμηδίας ἐμφορηθέντες, τὴν εἰς τὸν Θεὸν ἐλπίδα βεβαίαν ἐργάσονται. «Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.» Καὶ τὴν παρὰ ἀνθρώπων καρπώσονται εὔκλειαν οἱ πρὸς Θεὸν διευθύνοντες, καὶ τῆς ὁδοῦ τῆς εὐθείας ἔξω βαδίζειν οὐκ ἀνεχόμενοι.

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαυίδ. Ὠδὴ Ἱερεμίου καὶ Ἰεζεκιὴλ τοῦ λαοῦ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι.

ΞΔ'.

Ὑπόθεσις.

Ἐν τούτῳ τῷ ψαλμῷ εἰσάγει τὸ πρόσωπον τῶν ἐθνῶν τῶν πιστευσάντων εἰς Χριστόν, καταβοώντων τῶν σοφῶν τοῦ αἰῶνος τούτου, αἰτούντων τε τῆς προτέρας ἀσεβείας ἄφεσιν. Ἔτι τε εὐχὴν ἀναπέμπει ὑπὲρ αὐτῶν, ὄντων μὲν πάλαι ἀκάρπων, γενομένων δὲ εὐφόρων διὰ τῆς εἰς Χριστὸν πίστεως.

«Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών.» Οὐκέτι φησίν, οἷς ἐνομίζομεν θεοῖς τοὺς ὕμνους ἀναπέμψομεν, εἰδότες ὡς ἐκείνους μὲν οὐ πρέπει ἀνυμνεῖν, ξύλοις καὶ λίθοις καὶ δαιμονίοις οὖσιν· σοὶ δὲ μόνῳ τὸ τοιοῦτον ὀφείλημα πρεπωδέστατον. «Καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.» Ἢ τῇ ἐπὶ γῆς φησιν, ἥτις ἐστὶν ἡ Ἐκκλησία, ἢ τῇ ἐπουρανίῳ, ὅπου παραγενόμενοι τὰς αἰνέσεις ἀναπέμψομεν.

«Εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει.» Εὐαγγελίζεται διὰ τούτων τὴν κλῆσιν ἁπάντων τῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον παρὰ τοῦ Ἰωήλ· «Ἐκχεῶ ἀπὸ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα.[1]»

«Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς.» Λόγους ἀνόμων φησὶ τὴν σοφίαν τῶν σοφῶν τοῦ αἰῶνος τούτου, δι' ἧς καὶ ἐξησθένησαν, τῆς ἀληθοῦς ἐκπεσόντες γνώσεως. «Καὶ ταῖς ἀσεβείαις ἡμῶν ἱλάσῃ.» Εὔχονται τῆς συμβάσης ἐν τῇ πλάνῃ ἀσεβείας ἀπαλλαγῆναι.

«Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου.» Τοὺς τελειωθέντας κατ' ἀρετήν, καὶ εἰς τὸ βραβεῖον τῆς ἄνω φθάσαντας κλήσεως, μακαρίους ἀποκαλοῦσι. «Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου.» Ἀγαθὰ τοῦ οἴκου τὰ διάφορα τοῦ Πνεύματος λέγει χαρίσματα. «Ὧ μὲν» γάρ, φησί, «δίδοται διὰ τοῦ Πνεύματος λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως[2]», καὶ τὰ ἕτερα τῶν χαρισμάτων. «Ἅγιος ὁ ναός σου·» ἢ ὁ ἐπουράνιος, ἢ ὁ ἐπίγειος, κατὰ τὸ εἰρημένον· «Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.[3]»

[Πλήρεις ἁγιασμοῦ· καὶ τὴν σὴν δικαιοσύνην διὰ τῶν σῶν λογίων τοὺς προσιόντας παιδεύει.]

1. Ἰωὴλ 3, 1. 2. Α' Κορ. 12, 8. 3. Α' Κορ. 3, 17.

«'Επάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς.» Οὐκοῦν ἐπάκουσον ἡμῶν, καὶ ταῦτα παράσχου. Εἰς σέ, φησί, τὰ πέρατα τῆς οἰκουμένης ἐλπιοῦσι, καὶ οἱ μακρὰν τῆς θαλάσσης οἰκοῦντες. Δηλοῦται δὲ πάλιν διὰ τούτων τῆς οἰκουμένης τὰ πέρατα.

«Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ.» 'Ενταῦθα τὰς ἀντικειμένας δυνάμεις φησίν. «Ἑτοιμάζων» δὲ εἰς τιμωρίαν· ἡτοίμασε γὰρ αὐτοῖς τὴν ἄβυσσον. Τοῦτο δὲ ποιήσεις δυνατὸς ὤν. «Ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης.» Θάλασσαν ἐνταῦθα τὸ πλῆθος τῶν ἀκαθάρτων πνευμάτων φησίν, ὃ καὶ συνταράττεται τῇ τοῦ Χριστοῦ παρουσίᾳ. Διὸ καὶ φοβούμενοι ἔλεγον· «Ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς.[1]»

«Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα, ἀπὸ τῶν σημείων σου.» Ὅτε, φησί, τὰ ἔθνη ταραχθήσονται, τουτέστι τῶν δαιμόνων τὰ συστήματα, τότε δὴ τότε καὶ οἱ ἐν τοῖς πέρασι τῆς οἰκουμένης ἄνθρωποι φοβηθήσονταί σε, τὰ μεγάλα σημεῖα θεωρήσαντες. Σημεῖα δὲ τὰ ἐν τῇ παρουσίᾳ γεγενημένα λέγει. «'Εξόδους πρωίας καὶ ἑσπέρας τέρψεις.» Ὅταν γὰρ τὰ μεγάλα σημεῖα θεωρήσαντες οἱ τὴν οἰκουμένην ἄνθρωποι κατοικοῦντες, φοβηθῶσι τὸν ἀγαθὸν φόβον, τότε δὴ τότε καὶ εἰς τὰς πρωίας καὶ εἰς τὰς ἑσπέρας ἐξόδους, τουτέστιν ἐν παντὶ καιρῷ, τέρψις ἔσται αὐτοῖς, ἀγαλλιωμένοις ἐφ' οἷς κατώρθωσεν ἡ σὴ παρουσία.

«'Επεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν.» Δείκνυσιν ἐπὶ τίσι τῶν ἐθνῶν ἁπάντων ἡ τέρψις. 'Επὶ τίσι δὲ ἢ ἐπὶ τῷ τῆς ἐπισκοπῆς ἀξιῶσαι τὴν γῆν, καὶ μεθῦσαι αὐτὴν τῶν παρ' αὐτοῦ δηλονότι χαρισμάτων; «Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων.» Ποταμὸν ἐνταῦθα τὸν εὐαγγελικὸν λόγον φησί· πεπληρῶσθαι δὲ αὐτὸν ὑδάτων· τίνων ἢ τῶν θείων ἐπαγγελιῶν, φησίν, ὧν τοῖς ἀξίοις τῆς βασιλείας τῶν οὐρανῶν ἐπηγγείλατο; Εἶεν δ' ἂν αἱ ἐπαγγελίαι τό· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι[2]», καὶ οἱ ἑξῆς τῶν μακαρισμῶν. «Ἡτοίμασας τὴν τροφὴν αὐτῶν.» Τροφὴν μὲν τὴν πνευματικήν φησιν. Ἡτοιμάσθαι δὲ αὐτὴν λέγει, διότι πρὸ καταβολῆς κόσμου ὥρισται τὸ περὶ Χριστοῦ μυστήριον, «ὅς ἐστιν ἄρτος ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.[4]»

«Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς.» Αὔλακάς φησι τὰ βάθη τῶν καρδιῶν, γεννήματα δὲ τοὺς εὐσεβεῖς λογισμούς. «'Εν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.» Καὶ τὰ μικρά, φησί, τῶν θείων χαρισμάτων τῶν διδομένων αὐτῇ εὐφραίνειν αὐτήν, καὶ ἀνατέλλειν παρασκευάζει, τὸν νοητὸν δηλονότι καρπόν. Νοήσεις δὲ τὰς σταγόνας αὐτῆς ἀπὸ τοῦ εἰρημένου

1. Ματθ. 8, 29. 2. Ματθ. 5, 3. 3. 'Ιω. 6, 33.

περὶ Χριστοῦ· «Καταβήσεται ὡς ὑετὸς ἐπὶ κόκκον, καὶ ὡς ἡ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.[1]»

«Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου.» Ἐνιαυτόν φησι τὸν τοῦ μέλλοντος αἰῶνος καιρόν, καὶ στέφανον χρηστότητος ἀποκαλεῖ, διὰ τὸ ἐν πολλῇ χρηστότητι τοὺς ἁγίους ἐν αὐτῷ στεφανοῦσθαι. «Καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.» Πεδία πάλιν τὰς τῶν εἰς αὐτὸν πεπιστευκότων ψυχὰς καλεῖ. «Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου.» Ὄρη μὲν τοὺς ἁγίους ἀποστόλους καὶ εὐαγγελιστάς φησι, τοὺς εὐτραφεῖς γεγενημένους τοῖς πνευματικοῖς χαρίσμασιν· ἔρημον δὲ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ἀποκαλεῖ, τὴν πάλαι ἔρημον οὖσαν τῆς περὶ Θεοῦ γνώσεως. «Καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.» Βουνοὺς τοὺς τῶν Ἐκκλησιῶν προέδρους φησίν.

«Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων.» Κριοὺς μὲν τῶν προβάτων τοὺς ἄρχοντας τῶν λαῶν φησι. Τί δὲ ἐνδύσονται ἢ τὸ τῆς ἀφθαρσίας ἱμάτιον καὶ τὸν τῆς εὐφροσύνης χιτῶνα; Κριοὺς ὀνομάζει προβάτων καὶ τοὺς ἁγίους ἀποστόλους, ὡς προκύψαντας καὶ τοὺς ἐχθροὺς κερατίζειν ἰσχύοντας, καθὼς ὁ Κύριος ἔφη· «Ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων.[2]» «Καὶ αἱ κοιλάδες πληθυνοῦσιν σῖτον.» Αἱ πάλαι, φησίν, ἀπορώτατοι καὶ ἄγονοι τῶν ἐθνῶν ψυχαὶ πνευματικῶν καρπῶν ἔσονται πλήρεις. «Κεκράξονται· καὶ γὰρ ὑμνήσουσιν.» Ἐπὶ τὸ βέλτιον μεταβαλοῦσαι, φησίν, αἱ κοιλάδες καὶ πληθυνθεῖσαι νοητῶν καρπῶν, ἐκτενῶς σοι τοὺς ὕμνους ἀναπέμψουσιν.

Εἰς τὸ τέλος ᾠδὴ ΨΑΛΜΟΥ ἀναστάσεως.

ΞΕʹ.

Ὑπόθεσις.

Τὴν κλῆσιν τῶν ἐθνῶν διὰ τοῦ παρόντος ψαλμοῦ κατασημαίνει, καὶ τὴν ἀνάστασιν τὴν γενησομένην τῶν ψυχῶν αὐτῶν εὐαγγελίζεται, κατὰ τὸ εἰρημένον· «Ὁ ἀνιστῶν ἀπὸ γῆς πτωχόν.[3]» Καὶ μὴν καὶ τῶν ἀποστόλων εἰσφέρει τὸ πρόσωπον, διδασκόντων ὅσα ὑπὲρ τοῦ κηρύγματος πεπόνθασι τοῦ εὐαγγελικοῦ, καὶ ὅσα θλίψεις εἰς αἰωνίους εὐφροσύνας ἐξήγαγον αὐτούς. Ἔτι μὴν καὶ τοῦ Ἰουδαίων λαοῦ σημαίνεται ἡ ἀποβολή.

«Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ.» Ἀλαλαγμός ἐστιν ἐπινίκιος ὕμνος, ᾀδόμενος ἐπὶ πεπτωκόσιν ἐχθροῖς. Ὡς οὖν ἀνῃρημένων τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, διὰ τῆς παρουσίας δηλονότι Χριστοῦ, πάντα τὰ ἔθνη τοὺς ἐπινικίους ὕμνους ἀναπέμπειν παρακελεύονται. «Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα

1. Ψαλμ. 71, 6. 2. Ματθ. 10, 16. 3. Ψαλμ. 112, 7.

σου.» Καὶ ποῖα ἔργα ἢ τὰς θεοσημείας φησί, καὶ τὸ ἐκποδὼν γενέσθαι τῶν ἀκαθάρτων δαιμόνων τὰ πλήθη; «Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.» Τῆς Ἰουδαίων ἀποπληξίας ἐνταῦθα κατηγορεῖ, ὡς μηδὲ τῶν θαυμάτων τῆς ὑπερβολῆς παρενεγκούσης αὐτοὺς εἰς τὸ πείθεσθαι. «Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι.» Ἐπειδὴ Ἰουδαῖοι, φησί, καίτοι ὑπερβολὰς ὁρῶντες πραττομένας σημείων, ἐψεύσθησάν σοι. Ἀλλ' οὖν ἀντ' ἐκείνων προσκυνήσει σοι πᾶσα τῶν ἐθνῶν ἡ πληθύς.

«Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ.» Τῶν ἀποστόλων ἐνταῦθα εἰσάγεται τὸ πρόσωπον, διδασκόντων τὰ ἔθνη, ὡς ἄρα αὐτὸς οὗτος ὁ ἐν τῇ κατὰ σάρκα παρουσίᾳ τὰς θεοσημείας ἐργαζόμενος αὐτός ἐστι καὶ ὁ πάλαι τὴν Ἐρυθρὰν ξηράνας θάλασσαν, καὶ μὴν καὶ εἶναι τοῦ Ἰορδάνου ποταμοῦ ἀνακόψας τὰ ῥεύματα, ὡς ποδὶ παρελθεῖν τοὺς υἱοὺς Ἰσραήλ.

«Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν.» Καὶ τούτου ἀπόδειξις τὰ ἤδη γενόμενα, ὅπως τὴν θάλασσαν μετέβαλεν εἰς ξηράν. Σύμμαχος οὕτως λέγει· «Μετέβαλε θάλασσαν εἰς ξηράν· ποταμὸν διέβησαν ποδί.» Οὗτος γάρ ἐστιν ὁ Θεός, φησίν, ὁ καὶ ἡμῖν τὴν ἐπάνοδον καὶ ἡμῖν σωτηρίαν δωρούμενος· ὁ πάλαι καὶ θάλατταν καὶ ποταμὸν διαστήσας, καὶ τοὺς ἡμετέρους προγόνους ἀκινδύνως διαβῆναι κελεύσας. «Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ.» Τὸ «ἐκεῖ» χρόνου ἐστὶ σημαντικόν. Λέγει οὖν, ὅτι κατὰ τὸν καιρὸν ἐκεῖνον καθ' ὃν τοῦ νέου αἰῶνος βασιλεύσει, ἐκεῖ σὺν αὐτῷ συμβασιλεύσομεν, καὶ τῇ χαρᾷ τῇ ἀνεκλαλήτῳ εὐφρανθησόμεθα.

«Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσι.» Πᾶσι προσέχει, καὶ πάντα ἐξετάζει τὰ γενόμενα. «Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.» Καὶ τίνες ἂν εἶεν οἱ παραπικραίνοντες ἢ περὶ ὧν εἴρηται, «Υἱὲ ἀνθρώπου, πορεύθητι πρὸς τὸν οἶκον τὸν παραπικραίνοντά με;[1]» «Καὶ μὴν παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ·[2]» καὶ πάλιν· «Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ.[3]»

«Εὐλογεῖτε, ἔθνη, τὸν Θεόν.» Πάντες δὲ κατὰ ταυτὸν γενόμενοι, μᾶλλον αὐτὸν ἐπαινεῖτε καὶ θαυμάζετε.

[«Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν.» Εὐφρανθήσομαι δὲ ἐν τοῖς τοιούτοις θαυμασίοις, καὶ τῷ ταῦτα πεποιηκότι, ὅς, ἅτε Δεσπότης καὶ πάντα ἐφορῶν, διάκρισιν ποιεῖται τῶν ἐπὶ γῆς, καὶ τιμωρίαις περιβάλλει τοὺς ἀναξίους. Ὀφθαλμοὺς τοὺς ἀποστόλους λέγει.]

«Ὅτι ἐδοκίμασας ἡμᾶς, Θεός, ἐπύρωσας ἡμᾶς.» Τὰς θλίψεις τὰς γενησομένας διὰ τὸ κήρυγμα τοῖς ἀποστόλοις προαναφωνεῖ τὸ Πνεῦμα τὸ προφητικόν· ἐκ προσώπου αὐτῶν καταλέγον καὶ τὰς

1. Πρβλ. Ἰεζ. 44, 6. 2. Ψαλμ. 77, 40. 3. Ψαλμ. 94, 8.

παγίδας, ἤτοι τὰ δεσμωτήρια, τούς τε πειρασμοὺς τοὺς διὰ πυρὸς καὶ ὕδατος κατασημαίνει.

«Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασι.» Τὸν ἐπουράνιον δηλονότι· ὅλους γὰρ ἑαυτοὺς ἀνέθηκαν τῷ Θεῷ ἐν τάξει ὁλοκαυτωμάτων. [Ὁλοκαυτώμασι δὲ νοητοῖς. Ἀλλὰ τὰ μὲν σά, φησί, Δέσποτα, τοιαῦτα· τὰ δὲ ἡμέτερα, τὰ οἷα εἰσελθεῖν εἰς τὸν ναὸν καὶ θῦσαί σοι χαριστήρια, τὸ αὐτὸ δὲ λέγει «διέστειλε» καὶ ἐλάλησε. Τοῦτο δὲ λέγει ὅσα ηὐξάμην.] «Ἀποδώσω σοι τὰς εὐχάς μου.» Ἃ ηὐξάμην, φησί, θλιβόμενος ἀποδώσω σοι. Ηὐξάμην δέ, ὡς τῆς θλίψεως τῆς παρούσης ῥυσθεὶς διαπαντὸς ἀναπέμψω σοι τὰς αἰνέσεις.

«Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι.» Ὁπόσα σοι προσφέρειν προσέταξας, ἱερεύσω προθύμως. «Μεμυαλωμένα» δὲ κέκληκε τὰ εὔτραφῆ καὶ πίονα· οὕτω γὰρ καὶ ὁ νόμος προσφέρειν ἐκέλευσεν ἄμωμά τε καὶ ἄρτια. Ἐπαρᾶται δὲ καὶ ὁ προφήτης Μαλαχίας τοῖς τὰ τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσιν.[1] Αὕτη δὲ καὶ τῷ Κάιν ἐγένετο τῶν κακῶν ἐκείνων ἡ ἀρχή. Διδασκόμεθα δὲ καὶ ἡμεῖς τοῖς τιμιωτέροις ὧν ἔχομεν τὸ θεῖον γεραίρειν. «Ἀνοίσω σοι βόας μετὰ χιμάρων.» Πνευματικὰ δὲ πάντα, ὡς ἔφην, καὶ τὰ ὁλοκαυτώματα καὶ οἱ βόες καὶ οἱ χίμαροι, οὓς ἀποδώσειν ἐπαγγέλλεται.

«Δεῦτε, καὶ ἀκούσατε, καὶ διηγήσομαι.» Καὶ τίνα ἕτερα διηγεῖται ἢ ἃ φθάσας ἐξηγήσατο, τό, ὅτι «Ἐδοκίμασας ἡμᾶς», καὶ τὰ λοιπά;

«Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος.» Ἤδειν δέ, ὅτι οὐκ ἄν, ἐμοῦ περὶ ἀδικίαν ἔχοντος, ἀκοῦσαί μου τῆς προσευχῆς ὁ Θεὸς ἀνέχοιτο. Ἀκύλας· «Ἀνωφελὲς ἰδὼν ἐν καρδίᾳ μου, οὐκ εἰσακούσεται Κύριος.» Βούλεται δὲ εἰπεῖν, ὅτι, τὰς αἰτήσεις τῷ Θεῷ προσάγων, ἐπεμελούμην τοῦ πρέποντος, εἰδώς, ὡς οὐδέν μοι τῆς αἰτήσεως ὄφελος, μὴ ποιοῦντι τὰ δέοντα. Καὶ ἕτερόν τι καύχημα προσφέρει τῷ Θεῷ τὸ ἔξω πάσης ἀδικίας γενέσθαι· διὸ καὶ εἰσακούεσθαι θαρρεῖ.

Εἰς τὸ τέλος, ἐν ὕμνοις ΨΑΛΜΟΣ, τῷ Δαυίδ.

ΞϚʹ.

Ὑπόθεσις.

Πάλιν κἀνταῦθα τῶν ἀποστόλων τὸ πρόσωπον εἰσάγεται, διδασκαλίαν ποιούμενον τῶν ἐθνῶν, ῥυσθῆναί τε εὐχόμενον τῶν ἀντιλεγόντων τῇ διδασκαλίᾳ αὐτῶν. [Ἀκόλουθος καὶ οὗτος τῷ πρὸ αὐτοῦ· ἰδίωμα γὰρ ἔχει τῆς τῶν ἱερῶν εὐλογίας, καὶ κεῖται ἐν τοῖς Κριταῖς ἡ εὐχὴ πᾶσα σχεδόν. Ὡς οὖν μέλλοντος καὶ τούτου γίνεσθαι, μετὰ τὴν ἐπάνοδον προεφητεύθη, κηρύττει δὲ καὶ τὴν θείαν ἀνθρώπησιν

1. Πρβλ. Μαλ. 1, 7.

καὶ ἐπιφάνειαν, καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν. «Ἐν ὕμνοις » δὲ ἐπιγέγραπται, ἐπεὶ Θεοῦ τὸ ὑμνεῖσθαι, ἀνθρώπων δὲ τὸ ἐπαίνων ἐγκωμιάζεσθαι.]

«Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς.» Τῶν σῶν οἰκτιρμῶν δεόμεθα, φησί, Δέσποτα, καὶ τῆς ἐπιφανείας τοῦ προσώπου σου, πρὸς τὸ δύνασθαι φανερὰν τὴν ὁδὸν τοῦ ἁγίου σου Εὐαγγελίου πᾶσι τοῖς ἔθνεσι κηρύξαι. «Σωτήριον» γὰρ πανταχοῦ τὴν παρουσίαν αὐτοῦ φησιν.

«Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός.» Πάντων τῶν ἐθνῶν τὴν εἰς Χριστὸν ὁμολογίαν προφητεύει. «Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη.» Ἡδόμενον τὸ προφητικὸν Πνεῦμα τῇ σωτηρίᾳ τῆς οἰκουμένης, πολλάκις τὰ αὐτὰ φθέγγεται, τῇ συνεχεῖ διηγήσει εὐφροσύνης ἀπολαῦον.

«Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.» Οὐχ ἁπλῶς τὴν ταυτολογίαν τέθεικεν, ἀλλὰ προθυμοτέρους τοὺς ἀκούοντας ἐργαζόμενος. «Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.» Ἡ νοητὴ δηλονότι. Καρπὸς δὲ αὐτῆς αἱ κατ' εὐσέβειαν προκοπαί.

[«Ἐξομολογησάσθωσάν σοι οἱ λαοί, ὁ Θεός.» Ὥσπερ δὶς τὰ ἔθνη πρὸς ὑμνῳδίαν διήγειρεν, οὕτω δὶς αὐτοῖς τὴν εὐλογίαν ἐζήτησεν· ἀπολαύσαντα δηλονότι καὶ αὐτῆς εὐλογίας. Ἢ ὅτι ἐπεὶ οὐκ ἀγνοοῦσιν οἱ ἐξ αὐτῆς τὸν ἐπὶ πάντων Θεόν, ἀλλὰ τὸν ἥδιστον αὐτῷ προσφέρουσι τῆς εὐσεβείας καρπόν· ὃν εἰ προσφερομέν σοι, ἤτοι τὴν τῆς ἀρετῆς ἐπιτήδευσιν, εὐλογούμεθα παρὰ σοῦ.

[«Εὐλογήσαι ἡμᾶς ὁ Θεός.» Εἰδέναι μὲν προσήκει, ὡς εὐλογοῦντες ἄνθρωποι τὸν Θεόν, λόγους αὐτῷ προσφέρουσι μόνους, ἔργῳ δὲ αὐτὸν εὐεργετῆσαι οὐ δύναται. Ὁ δὲ Θεός, εὐλογῶν, βεβαιοῖ τοὺς λόγους τῷ ἔργῳ, καὶ παντοδαπῶν ἀγαθῶν παρέχει τοῖς εὐλογουμένοις φοράν. Εἶτα διδάσκει πῶς.]

Εἰς τὸ τέλος, τῆς ᾠδῆς Δαυὶδ ΨΑΛΜΟΣ.

ΞΖʹ.

Ὑπόθεσις.

Ἐν τούτῳ τῷ ψαλμῷ τὴν παρουσίαν τοῦ Κυρίου σημαίνει, καὶ τῶν νοητῶν ἐχθρῶν καθαίρεσιν, καὶ τῆς νοητῆς αἰχμαλωσίας τὴν ἀπόλυσιν. Ἔτι γε μὴν διδάσκει, ὡς αὐτὸς εἴη ὁ καὶ πάλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου ἐξαγαγών. Πρὸς δὲ τούτοις, ὑποδεξαμένοις τὸ κήρυγμα, Πνεύματος ἁγίου δόσιν ἐπαγγέλλεται. Καὶ μὴν καὶ τοῖς ἀποστόλοις εἰσάγει παράκλησιν, ἐκ πάσης θλίψεως ῥύεσθαι ἐπαγγελλόμενος, τῆς γενομένης δηλονότι διὰ τὸ κήρυγμα. Ἀλλὰ μὴν καὶ ἐπιστρέφειν ἐκ τῶν παραπικραινόντων ὑπισχνεῖται πολλούς, καὶ μὴν καὶ ἐκ τῶν καταπεσόντων εἰς τὸ τῶν ἡδονῶν πέλαγος. Οὐδὲν δὲ

ἧττον καὶ τῶν ἀποστόλων κηρύττει τὴν ἀνάδειξιν, καὶ τίνες καὶ πόθεν ἦσαν. Πάντων τε τῶν ἐθνῶν τὴν εἰς τὸν Κύριον πίστιν εὐαγγελίζεται. Ἐφ' ἅπασι δὲ τούτοις τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ Κυρίου ἐκδιδάσκει σαφῶς. Ἔξεστι δὲ ταῦτα πάντα κατὰ μέρος τοῖς στίχοις ἐπιβαλόντα θεωρεῖν.

«Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ.» Τὴν εἰς τὸ κρίνειν τοὺς ἀκαθάρτους δαίμονας παρορμὴν τοῦ Θεοῦ ὁ λόγος σημαίνει. Τῇ γὰρ αὐτοῦ παρουσίᾳ τῆς τῶν ἀνθρώπων τυραννίδος ἐξηλάθησαν.

«Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν.» Εὐπρεπεῖς γίνεσθε, φησίν, εἰς τὸ ταῖς ὁδοῖς ἐκείνου πορεύεσθαι, τοῦ ἐπ' ἐσχάτου τῶν χρόνων ὀφθέντος ἐν σαρκὶ τοῖς ἐπὶ γῆς. Ἤ, «τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν», τῷ μέχρις ᾅδου πεποιημένῳ τὴν κάθοδον. «Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ.» Τὰ ἔθνη τῶν δαιμόνων δηλονότι. «Τοῦ πατρὸς ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν.» Ὀρφανῶν μὲν τῶν ἀπροστατεύτων λέγει, χηρῶν δὲ τῶν ψυχῶν, τῶν μὴ ἐχουσῶν τὸν νυμφίον Λόγον. Προστάτης γάρ ἐστι τῶν ἀσθενῶν καὶ τὴν ἀνθρωπίνην οὐκ ἐχόντων βοήθειαν, οἷον ἡμεῖς. Τίς δὲ οὗτος καὶ οἷος;

«Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.» Ἐπειδὴ εἶπεν αὐτὸν ἐπιβεβηκότα ταῖς δυσμαῖς, τουτέστι μέχρι τῶν ᾅδου μυχῶν, διδάσκει πάλιν, ὡς ἀνελθὼν εἰς οὐρανοὺς ἐν τοῖς ἰδίοις γέγονε τόποις· εἰ καὶ τὰ μάλιστα οὐδέποτε ἀφειστήκει αὐτῶν τῇ τῆς θεότητος φύσει. «Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ.» Μονοτρόπους φησὶ τοὺς αὐτῷ καὶ μόνῳ ἀναθέντας τὴν ἰδίαν ζωήν, καὶ πάσης διχοψυχίας καὶ κοσμικῆς ἐπιθυμίας αὐτὴν ἀλλοτριώσαντας. Τούτους δὴ οὖν καὶ ἐν τῷ οἴκῳ αὐτοῦ τῇ ἐπουρανίῳ πόλει κατοικίζειν ἐπαγγέλλεται. «Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ.» Ὅμοιον τῷ εἰρημένῳ· «Τοῖς ἐν δεσμοῖς ἐξέλθετε· καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλύφθητε.[1]» Δεσμοὺς δὲ καὶ σκότος τὴν τῶν δαιμόνων λατρείαν φησίν. «Ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις.» Τοῦτό φησιν, ὅτι, καὶ ἐν ᾅδου πορευθείς, καὶ τοῖς ἐκεῖ πνεύμασιν ἐκήρυξεν, ἀπειθήσασί ποτε. Τὸ γάρ, «παραπικραίνοντας», ἀντὶ τοῦ, παραπικράναντας, τέθεικεν.

«Ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ.» Δείκνυσιν, ὡς καὶ ὁ μέχρις ᾅδου καταβάς, αὐτός ἐστιν ὁ καὶ πάλαι διὰ Μωσέως ἐξαγαγὼν ἐξ Αἰγύπτου τὸν Ἰσραήλ. Λέγει οὖν, ὅτι, ἐν τῷ προπορεύεσθαί σε τοῦ ἐξεληλυθότος σου ἐξ Αἰγύπτου λαοῦ, γῆ ἐσείσθη, τουτέστιν εἰς πᾶσαν τὴν γῆν ἐξάκουστος ἡ ἔξοδος αὐτοῦ γεγένηται. «Γῆ ἐσείσθη· καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν.» Ἔσταξαν οἱ οὐρανοὶ τὴν πνευματικὴν τροφὴν δηλονότι· λέγει δὲ καὶ τὸ μάννα. «Ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ

1. Ἡσ. 49, 9.

Σινά.» Ἀντὶ τοῦ, ἐν ὄρει Σινὰ τὸν νόμον ὁρίσαντος. «Ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.» Ἰσραὴλ νοῦς ὁρῶν Θεόν.

«Βροχὴν ἑκουσίαν ἀφοριεῖς, ὁ Θεός, τῇ κληρονομίᾳ σου.» Βροχὴν μὲν τὸν εὐαγγελικὸν λόγον φησί, κατὰ τό· «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον.[1]» «Ἑκούσιον» δὲ πρὸς ἀντιδιαστολὴν τῆς νομικῆς λατρείας. Ἐκεῖνα γὰρ οὐκ ἦν αὐτῷ ἑκούσια κατὰ τὸ εἰρημένον· «Τίς γὰρ ἐξεζήτησεν αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν; [2]» καὶ τό· «Τὰ ὁλοκαυτώματά σου οὐκ εἰσὶ δεκτά, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν μοι.[3]»— «Καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.» Ἠσθένησε μὲν πάλαι, ὅτε εἰδωλολάτρει· κατηρτίσω δὲ αὐτήν, διὰ τοῦ εὐαγγελικοῦ καλέσας κηρύγματος.

«Τὰ ζῷα σου κοτοικοῦσιν ἐν αὐτῇ.» Ζῷα ἐνταῦθά φησι τοὺς τῆς ζωοποιοῦ τροφῆς μετειληφότας. «Ἐν αὐτῇ» δέ, τίνι ἢ τῇ κληρονομίᾳ αὐτοῦ; «Ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ Θεός.» Καὶ τί ἡτοίμασες ἢ «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε; [4]» Τίς δὲ ὁ πτωχὸς ἢ περὶ ὧν εἴρηκε, «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἡ βασιλεία τῶν οὐρανῶν; [5]»

«Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.» Αὐτός, φησί, τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ δώσει «ῥῆμα», εἰς τὸ δύνασθαι κηρύξαι τὸ Εὐαγγέλιον. Ὅμοιον δὲ τό· «Μὴ μεριμνήσητε τί εἴπητε, ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί εἴπητε. Καὶ οὐχ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρός μου τὸ λαλοῦν ἐν ὑμῖν.[6]» Τό, «δυνάμει πολλῇ», πρὸς τό, «Κύριος δώσει ῥῆμα», οὐ πρὸς τό, «εὐαγγελιζομένοις», ὥς τινες ἐνόμισαν. Βούλεται γὰρ εἰπεῖν, ὅτι μετὰ πολλῆς ὁ Θεὸς τῆς ἰσχύος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις, τουτέστι, τοῦ διαγγέλλειν τὰ ἡμέτερα ἀγαθὰ βουλομένοις, αὐτὸς παρέχει τὸν λόγον, ὁ καὶ τὴν ἀφορμὴν τοῦ εὐαγγελίσασθαι.

«Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ.» Αὐτὸς Κύριος ὁ διδοὺς ῥῆμα τοῖς μυσταγωγοῖς· αὐτὸς γάρ ἐστιν ὁ βασιλεὺς τοῦ ἀγαπητοῦ λαοῦ· αὐτὸς δέ ἐστι πάλιν ἡ δύναμις αὐτοῦ. «Τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκύλα.» Οἶκος μὲν οἱ πιστεύσαντες εἰς Χριστόν· ὡραιότης δὲ τοῦ οἴκου οἱ ἅγιοι αὐτοῦ μαθηταὶ καὶ ἀπόστολοι. Λέγει οὖν, ὅτι τῇ ὡραιότητι τοῦ οἴκου, τουτέστι τοῖς εὐαγγελισταῖς, αὐτὸς δώσει ῥῆμα, πρὸς τὸ διελέσθαι σκύλα, τουτέστιν ἑλκῦσαι τὰ ἔθνη τῇ πίστει, καὶ σκυλεῦσαι τὸν Σατανᾶν.

«Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων.» Πρὸς τοὺς ἁγίους ἀποστόλους ὁ λόγος. Ἐάν, φησί, δέξωνται ὑμᾶς οἱ κλῆροι. Κλήρους δὲ τοὺς ἐκ τῶν δύο λαῶν πιστεύσαντας ἔφη. Ἐὰν οὖν, φησίν, ἀναπαύσησθε ἐν αὐτοῖς, δοθήσονται αὐτοῖς «πτέρυγες περιστερᾶς, τὰ

---

1. Ψαλμ. 71, 6. 2. Ἡσ. 1, 12. 3. Ἱερ. 6, 20. 4. Α' Κορ. 2, 9. 5. Ματθ. 5, 3. 6. Ματθ. 10, 19-20.

μετάφρενα ἐχούσης περικεχρυσωμένα.» Λέγει δέ, ὡς Πνεύματος ἁγίου ἀξιωθήσονται οἱ τοὺς ἁγίους ἀποστόλους δεξάμενοι. Μετάφρενα δὲ τῆς περιστερᾶς κεχρυσωμένα φησί, διότι τιμίας ἤτοι σοφὰς τὰς φρένας τῶν δεξαμένων ποιεῖ.

«Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς.» Βασιλεῖς μὲν τοὺς ἄρξαντας ἀποστόλους τῆς κληρονομίας αὐτοῦ φησι. «Χιονωθήσονται» δέ, ἀντὶ τοῦ ἀποκαθαρθήσονται. «Ἐν Σελμὼν» δέ, ἐν ἀνταποδόσει, ἑρμηνεύεται. Λέγει οὖν, ὅτι οἱ δεξάμενοι τοὺς ἁγίους ἀποστόλους τὰς παρὰ τοῦ ἐπουρανίου βασιλέως ἀνταποδόσεις, ἤτοι ἀμοιβάς, δέξονται τῆς ὑποδοχῆς, τὸν καθαρμὸν τῶν ἁμαρτιῶν.

«Ὄρος τοῦ Θεοῦ ὄρος πῖον.» Ὄρος μὲν τὴν Ἐκκλησίαν ὀνομάζει, πῖον δέ, ὅτι εὐτραφεῖς καὶ λιπαρὰς τῶν ἐν αὐτῇ τὰς ψυχὰς ἀπεργάζεται. «Ὄρος τετυρωμένον; ὄρος πῖον· ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα;» Καὶ μὴν καὶ τετυρωμένον, τουτέστι γάλακτος μεστόν, ἁπλουστέρου δηλαδὴ λόγου, κατὰ τό· «Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα.[1]» Ἐπιτιμᾷ οὖν τοῖς τὰς τῶν αἱρετικῶν ἐκκλησίας ὑπολαμβάνουσιν εἶναι τετυρωμένας. Οὐδὲν γὰρ ἐν αὐταῖς τὸ δυνάμενον τρέφειν εἰς ἕξιν πνευματικήν. Ἵνα τί τοίνυν ὑπολαμβάνετε, ὦ οὗτοι, ἕτερα ὄρη εἶναι ἔξω τῆς Ἐκκλησίας τετυρωμένα, καὶ μὴ μᾶλλον τοῦτο μόνον τὸ ὄρος, «ἐν ᾧ ὁ Θεὸς ηὐδόκησεν κατοικῆσαι ἐν αὐτῷ;» Ὅτι γὰρ ἐν τῇ Ἐκκλησίᾳ κατοικεῖ, δῆλον ἐξ ὧν αὐτὸς ἔφη· «Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.[2]»

«Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων.» Ἅρμα τοῦ Θεοῦ τὰς ἐπουρανίους καὶ νοητὰς δυνάμεις φησίν, αἷς ἐποχεῖται ὁ Θεός. Ὅμοιον δὲ τῷ εἰρημένῳ· «Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ.[3]» Οὗτοι δέ εἰσι εὐθηνοῦντες, ἅτε ἀπηλλαγμένοι τῆς ἁμαρτίας. Ὁ ἐν τούτῳ οὖν τῷ ἅρματι ἐποχούμενος τῶν μυριάδων αὐτός ἐστιν ὁ Κύριος, ὁ καὶ ἐν τῷ Σινᾷ τῷ ἁγίῳ ὄρει τὸν νόμον δούς. Αὐτὸς δὲ πάλιν ὁ εἰς ὕψος ἀναβάς, λέγει δὲ τὸ τοῦ σταυροῦ, καὶ αἰχμαλωτεύσας αἰχμαλωσίαν[4], τουτέστι τὰς αἰχμαλωτισθείσας ψυχὰς παρὰ τοῦ διαβόλου ἀνταιχμαλωτεύσας. Τοῦτο γὰρ αὐτὸς ἐπηγγέλλετο λέγων· Ὅτ' ἂν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.[5] «Ἔλαβες δόματα ἐν ἀνθρώποις.» Καὶ παρὰ τίνος ἔλαβε δόματα ἀνθρώπων ἢ παρὰ τοῦ Πατρὸς τοῦ εἰρηκότος· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου;[6]»

«Καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι.» Οὗτοι, φησίν, οἱ ἄνθρωποι, οὓς ἔλαβες δόματα, πάλαι ἦσαν ἀπειθοῦντες. Ἀλλὰ καὶ τούτοις, φησί, κατεσκήνωσας. Ἔστι δὲ δι' ὑπερβατοῦ ἡ διάνοια. «Ἔλαβες δόματα ἐν ἀνθρώποις», ὥστε κατασκηνῶσαι ἐν αὐτοῖς,

---

1. Α' Κορ. 3, 2. 2. Ψαλμ. 131, 14. 3. Δαν. 7, 10. 4. Πρβλ. Ἐφεσ. 4, 8. 5. Ἰω. 12, 32. 6. Ψαλμ. 2, 8.

δηλονότι τοῖς διδομένοις. Αὐτοὶ δὲ οὗτοι, φησίν, οὓς ἔλαβες, πάλαι ἦσαν ἀπειθεῖς. Δῆλον δέ, ὅτι, ὅτε τῇ κτίσει παρὰ τὸν κτίσαντα ἐλάτρευον.[1]

«Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν.» Ἐπὶ μεγάλῳ κατορθώματι ὕμνον ἀναπέμπει τῷ Θεῷ, ὁ χορὸς δὲ δηλονότι τῶν ἀποστόλων. «Κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.» Σύ, φησίν, ὦ Δέσποτα, ἀνοίξεις θύραν τοῦ λόγου, εἰς τὸ τὴν ὁδὸν τοῦ κηρύγματος κατευοδωθῆναι ἡμῖν.

«Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῶσαι, καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.» Θαρσεῖ σαφῶς, ὡς καὶ μέχρι θανάτου ἐλθόντας διὰ τὸ κήρυγμα ἐξάξει γενναίως. Αὐτοῦ γὰρ εἶναί φησι τὰς ἐξόδους τοῦ θανάτου.

«Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ·» αὐτοῦ μὲν τοῦ ἀποστολικοῦ χοροῦ. Ῥυόμενος γὰρ αὐτοὺς ῥύσεται, τῶν ἐχθρῶν δηλονότι συνθραύων τὰς κεφαλάς. Ἐλήφθη δὲ ἡ λέξις ἐξ ὁμοιώσεως τῶν ὄφεων, οἵ, ἐπειδὰν ἀρθῶσι κατά τινος, τότε ἐπὶ τῇ κεφαλῇ πληττόμενοι ὄλλυνται. Ἔχει δὲ ὁ λόγος ἀναφορὰν καὶ εἰς τοὺς ἄρχοντας τοῦ Ἰουδαίων λαοῦ. «Κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.» Κορυφὴν μὲν τριχὸς πάλιν τὴν κεφαλήν φησι. Λέγει δέ, ὡς τούτων συνθλάσει τὰς κεφαλάς, τῶν ἀμετανόητα ἁμαρτανόντων.

«Εἶπεν Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω.» Βασὰν ἑρμηνεύεται πικρία, ἤτοι «παραπικρασμός.» Λέγει οὖν, ὡς ἐκ τοῦ οἴκου τοῦ παραπικραίνοντος, τουτέστι τοῦ Ἰσραήλ, ἐπιστρέψω πρὸς ἐμαυτόν. «Ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.» Καὶ τοὺς κατενεχθέντας, φησίν, εἰς τὸν τῶν ἡδονῶν βυθὸν ἐπιστρέψω πρὸς ἐμαυτόν.

«Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι.» Πῶς ἐπιστρέψουσι διδάσκει. Πῶς δὲ ἐπιστρέψουσιν ἢ αὐτῶν ἀναιρεθεισῶν δηλονότι τῶν πονηρῶν δυνάμεων; Κατήγαγον γὰρ αὐτῶν τὸ αἷμα εἰς γῆν, κατὰ τὴν Ἡσαΐου φωνήν, ὡς καὶ τὸν πόδα αὐτοῦ βαφῆναι ἐν αἵματι. Ἱστορικώτερον δὲ τὰ τοιάδε γράφει ὁ λόγος. «Ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.» Κύνας μὲν τοὺς τῆς νοητῆς ποίμνης φύλακάς φησι, τοὺς ἁγίους κήρυκας· ὧν δὲ καὶ ἡ γλῶσσα μονονουχὶ τοῦ αἵματος τῶν νοητῶν ἐχθρῶν ἀπογεύεται. Λέγει οὖν, ὡς μονονουχὶ θανάτου αἰτία τῶν πονηρῶν δαιμόνων γενήσεται ἡ τῶν ἀποστόλων φωνή.

«Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός.» Πορείας Θεοῦ φησι τὰς ἐν τῇ οἰκονομίᾳ πράξεις γενομένας· οἷον τὴν διὰ Παρθένου ἀπότεξιν, τήν τε τῶν σημείων ἐργασίαν, τήν τε ἀνάβασιν τὴν ἐπὶ τοῦ σταυροῦ, τόν τε θάνατον τὸν γενόμενον οἰκονομικῶς, τήν τε ἐκ νεκρῶν ἀναβίωσιν, καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον. Ταύτας τὰς πορείας

1. Πρβλ. Ῥωμ. 1, 25.

φανερὰς γεγενῆσθαί φησιν· «Αἱ πορεῖαι τοῦ Θεοῦ μου, τοῦ βασιλέως μου τοῦ ἐν τῷ ἁγίῳ.» Ὅρα, ὡς σαφῶς τοῦτον τὸν τὰς πορείας πεποιημένον καὶ Θεὸν εἶναί φησι, καὶ βασιλέα ἑαυτοῦ. Καὶ αὐτὸν κηρύττει ὄντα τὸν ἐν τῷ ἁγίῳ, τουτέστιν ἐν τῷ ὄρει Σινᾷ, κατὰ τὸ ὀπίσω εἰρημένον· «Κύριος ἐν αὐτοῖς, ἐν Σινᾷ, ἐν ἁγίῳ.»

«Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων.» Ἄρχοντας μὲν τοὺς ἁγίους ἀποστόλους φησί, περὶ ὧν εἴρηται. «Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν·[1]» ψάλλοντας δὲ τοὺς τὰς δι' αἰνέσεως ἀναπέμποντας λογικὰς θυσίας. Λέγει οὖν ὡς «οἱ ἄρχοντες ἔφθασαν», ἤτοι ἤρξαντο πρῶτοι τῆς ἐν πνεύματί καὶ ἀληθείᾳ λατρείας[2], τῆς εὐαγγελικῆς δηλονότι. «Ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.» Νεάνιδάς φησι τὰς διὰ τοῦ ἁγίου Πνεύματος ἰσχυρὰς γενομένας τῶν πιστευσάντων ψυχάς, τὰς κατακτυπούσας τῷ εὐαγγελικῷ κηρύγματι τὴν ὑπ' αὐρανόν. Ὧν ἐν μέσῳ γεγόνασιν οἱ ἅγιοι ἀπόστολοι, δηλονότι τῆς λατρείας ἐξάρχοντες.

«Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ.» Πηγαὶ μὲν τοῦ Ἰσραὴλ εἶεν ἂν οἱ μακάριοι προφῆται, καὶ πρό γε τούτων ὁ νόμος. Λέγει οὖν, ὡς ἄλλοθεν οὐ προσῆκεν ἡμῖν τὸν Θεὸν ἢ ἐκ τούτων αὐτῶν ἀρυομένους ὑμνολογεῖν. Τοῦτο δέ φησι διὰ τὰ ἑτερόδοξα τῶν αἱρετικῶν συγγράμματα. Ἐκ γὰρ τῶν νομικῶν καὶ προφητικῶν Γραφῶν ὁ Κύριος εὐλογεῖται πρὸς τῶν δυναμένων ἀντλεῖν ἐξ αὐτῶν σωτηρίου πηγὴν οὐσῶν μετ' εὐφροσύνης ὕδωρ, περὶ οὗ ἔλεγεν ὁ Σωτήρ· «Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δίδωμι αὐτῷ, ἕξει ἐν ἑαυτῷ πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.[3]» Ἐλεγκτέον δὲ τοὺς διαιροῦντας τὴν Παλαιὰν καὶ Νέαν Γραφήν, ὡς οὐ δύνανται ἐν ἐκκλησίαις εὐλογεῖν τὸν Θεόν, οὐκ ἔχοντες τὰς τοῦ Ἰσραὴλ πηγάς, οὐδὲ τὸν Κύριον αὐτῶν· ἅτε καὶ τὴν θεότητα διαιρεῖν τολμῶντες.

«Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει.» «Ἐκεῖ», ποῦ, ἢ ἐν μέσῳ τῶν ψαλλόντων; Τίς δὲ Βενιαμὶν ἢ ὁ μακάριος ἀπόστολος Παῦλος, ὁ ἐκ φυλῆς Βενιαμίν; Τὸ δὲ «νεώτερος», διὰ τὸ ὕστερον αὐτῷ τῶν ἀποστόλων ὀφθῆναι τὸν Κύριον. «Ἐν ἐκστάσει» δὲ διὰ τὰς ὑπερβολὰς τῶν ἀποκαλύψεών φησι, κατὰ τὸ παρ' αὐτοῦ εἰρημένον. «Εἴτε ἐξέστημεν Θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν.[4]» Εἰκότως δὲ αὐτοῦ πρώτου τῶν ἄλλων ἐμνημόνευσεν, ἅτε περισσότερον τῶν ἄλλων κοπιάσαντος. «Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν.» Ἄρχοντες Ἰούδα αὐτῶν τῶν ψαλλόντων ἡγεμόνες, φησί, καὶ ἄρχοντες ἐχειροτονήθησαν. Ἔκ τε τῆς Ἰούδα φυλῆς, ἔκ τε τῆς Ζαβουλών, ἔκ τε τῆς Νεφθαλείμ. Καὶ ἐκ μὲν Ζαβουλὼν καὶ Νεφθαλεὶμ Πέτρος καὶ Ἀνδρέας καὶ Ἰάκωβος καὶ Ἰωάννης, καθὸ τὸ Εὐαγγέλιον δηλοῖ·[5]

1. Ψαλμ. 44, 17. 2. Πρβλ. Ἰω. 4, 24. 3. Ἰω. 4, 14. 4. Β' Κορ. 5, 13. 5. Πρβλ. Ματθ. 4, 15.

ἐκ δὲ Ἰούδα ὁ Λευΐ, ἤτοι Ματθαῖος, καὶ οἱ ἕτεροι τῶν ἀποστόλων.

«Ἔντειλαι, ὁ Θεός, τῇ δυνάμει σου.» Δύναμιν τοῦ Πατρὸς τὸν Υἱόν φησι, κατὰ τό· «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.[1]» Παρακαλεῖ τοίνυν τὸν Πατέρα ὁ ἀποστολικὸς χορός, ἵνα δυναμώσῃ αὐτοῖς, «ὃ κατήρτισεν αὐτοῖς.» Τί δὲ κατήρτισεν αὐτοῖς ἢ τὸ σῶμα; Αἰτοῦσιν οὖν τῆς φθορᾶς ἀπαλλάξαντα τὴν ἀφθαρσίαν ἐνδῦσαι, ὃ καὶ ποιήσει ὁ Κύριος ὅτε καταβήσεται ἐξ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι.[2]

«Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἱερουσαλὴμ σοι οἴσουσι βασιλεῖς δῶρα.» Ναὸν μὲν αὐτοῦ τὴν Ἐκκλησίαν φησί, βασιλέας δὲ τοὺς πιστεύσαντας εἰς Χριστὸν λέγει, κατὰ τὸ εἰρημένον αὐτοῖς· «Ὑμεῖς δὲ βασίλειον ἱεράτευμα.[3]» Φησὶν οὖν, ὡς οἱ κεκλημένοι διὰ τῆς πίστεως ἀπὸ τοῦ ἐπιγείου ναοῦ, τουτέστι τῆς Ἐκκλησίας, εἰς τὴν ἄνω Ἱερουσαλὴμ δῶρα αὐτῷ προσκομίσουσι· δῆλον δέ, ὅτι νοητά.

«Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου.» Ἐπειδὴ πολλοὶ οἱ τῇ κατὰ Θεὸν πολιτείᾳ τῶν ἁγίων δυσμεναίνοντες, καὶ μάλιστα οἱ ἀκάθαρτοι δαίμονες, τούτου χάριν εὔχεται ἐπιτιμηθῆναι αὐτοὺς θηρία ὄντας καλάμου. Κάλαμος δὲ τόπος ἐστὶν ἐν τῇ Παλαιστίνῃ, ὃν διώδευον οἱ ἀνιόντες εἰς Ἱερουσαλήμ. Οὗτος δὲ δὴ ὁ κάλαμος καὶ μεστὸς λεόντων ἐστὶν ἐμφωλευόντων παρὰ τὸ ἕλος· οἳ καὶ ἐπεβούλευον τοῖς ἀνιοῦσιν εἰς Ἱερουσαλήμ. Ὥσπερ οὖν τοῖς ἐν τῇ Ἱερουσαλὴμ ἀνιοῦσιν ἐπεβούλευον οἱ λέοντες, οὕτως καὶ τοῖς ἐν τῇ νοητῇ Ἱερουσαλὴμ ἀνιοῦσιν ἐπιβουλεύουσιν οἱ νοητοὶ λέοντες. «Ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν.» Ἑτέρους ἐναντίους τῷ κηρύγματί φησι. Τίνες δὲ οὗτοι, ἢ οἱ ἄρχοντες τοῦ τῶν Ἰουδαίων δήμου, οἳ καὶ ταῦροι προσηγορεύθησαν; δαμάλεων ὠνομασμένων τοῦ λαοῦ. Ὅτι δὲ ταῦροι προσηγορεύθησαν, δῆλον ἐκ τοῦ· «Περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με[4]», οἵτινες καὶ τὸ πλῆθος εἰς τὸν κατὰ τῶν κηρύκων ἔγειραν πόλεμον. «Τοῦ ἐκκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ.» Ἀργύριον μὲν τὰ θεῖα λόγια. Λέγει δέ· Διὰ τοῦτο ἐπιτίμησον τοῖς νοητοῖς καὶ αἰσθητοῖς ἐχθροῖς, ὅπως ἂν μὴ οἱ τοῦ Εὐαγγελίου κήρυκες συγκλεισθῶσι τοῦ μὴ κηρύττειν ἔτι. Ἢ καὶ οὕτως· Ἐπιτίμησον, φησί, τούτοις τε κἀκείνοις· ὅπως ἂν μὴ ἐκκλεισθῶσι τοῦ κηρύττειν οἱ κήρυκες. «Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.» Τὰ νοητὰ δηλονότι· «πολέμους» δὲ τοὺς κατὰ τῶν ἁγίων.

«Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.» Ὡς διασκορπισθέντων καὶ δεθέντων τῶν ἐχθρῶν τῶν νοητῶν, λοιπὸν ἐπὶ τὸ κήρυγμα δραμοῦνται Αἰγύπτιοί τε καὶ Αἰθίοπες. Σημαίνει δὲ διὰ μὲν τῶν Αἰγυπτίων τοὺς ἄγαν εἰδωλολάτρας

1. Α΄ Κορ. 1, 24. 2. Πρβλ. Α΄ Κορ. 15, 52. 3. Α΄ Πέτρ. 2, 9.
4. Ψαλμ. 21, 13.

καὶ ἐναντίους τῇ πολιτείᾳ τοῦ Ἰσραήλ, διὰ δὲ τῶν Αἰθιόπων τὰ πέρατα τῆς γῆς. Πῶς δὲ προσέδραμεν ἡ Αἰθιοπία εἰς τὸ κήρυγμα, ἔξεστιν ἀπὸ τοῦ εὐνούχου Αἰθίοπος ἰδεῖν.[1]

«Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ.» Δηλοῖ, ὡς καὶ τὰ ἄλλα ἅπαντα ἔθνη μετὰ τῶν ἰδίων βασιλέων πιστεύσουσιν εἰς Χριστόν.

«Ψάλατε τῷ Κυρίῳ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ.» Ἐπειδὴ τὸ πάθος ἐκήρυξεν ἐν τοῖς ὀπίσω τοῦ Χριστοῦ καὶ τὴν μέχρις ᾅδου κατάβασιν, τούτου χάριν καὶ τὴν εἰς οὐρανοὺς αὐτοῦ κηρύττει ἀναφοίτησιν. Τὸ δέ, «κατ' ἀνατολάς», παραβολικόν ἐστιν. Ὥσπερ γὰρ ὁ ἥλιος ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς ἄνεισι, τὸν αὐτὸν τρόπον καὶ ὁ Κύριος οἱονεὶ ἀπὸ τῶν τοῦ ᾅδου μυχῶν ἐπέβη τοῦ οὐρανοῦ τὸν οὐρανόν. «Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.» Φωνὴν δυνάμεώς φησι τὴν ἐγείρουσαν πάντας τοὺς νεκρούς· καθὸ ἐν κελεύσματι αὐτοῦ ἀναστήσονται.

«Δότε δόξαν τῷ Θεῷ.» Οὕτω καὶ Παῦλος· «Δοξάσατε», φησί, «τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν[2], καὶ τῷ πνεύματι ὑμῶν·» ἅτινά ἐστιν αὐτοῦ. Δίκαιον γὰρ τὸν εὐεργέτην διὰ πάντων δοξάζειν. «Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ, εὐλογητὸς ὁ Θεός.» Ἐπειδὴ τῆς δευτέρας αὐτοῦ παρουσίας μνήμην ὁ λόγος πεποίηται, καθ' ἣν πάντας ἀναστήσει τοὺς νεκρούς, τούτου χάριν καὶ τὰς διαφόρως ἀποδοθησομένας τοῖς ἁγίοις τιμὰς ἡμᾶς διδάσκει, καὶ τὰ διάφορα τῶν ἁγίων τάγματα. Καὶ τὰ μὲν τάγματα διά τε τοῦ Ἰσραήλ, διά τε τῶν νεφελῶν, διά τε τῶν ἁγίων, διά τε τοῦ λαοῦ κατασημαίνει· τὰς δὲ τιμὰς διά τε τῆς μεγαλοπρεπείας, διά τε τῆς δυνάμεως, διά τε τοῦ θαύματος, διά τε τοῦ κράτους διαδείκνυσιν. Ἐπὶ πᾶσι δὲ τούτοις εὐλογητὸν τὸν Θεόν φησιν εἶναι. Δῆλον γάρ, ὅτι ἐν ἐκείναις γενόμενοι οἱ ἅγιοι ταῖς μοναῖς, ταῖς ἐπουρανίοις δὲ δηλονότι, ἀδιαλείπτως εὐλογήσουσι τὸν Θεόν, τὴν τῶν ἄνω πνευμάτων τάξιν μιμούμενοι.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων, τῷ Δαυΐδ.

ΨΑΛΜΟΣ ΞΗ'.

Ὑπόθεσις.

Περιέχει ὁ ψαλμὸς προσευχὴν παρὰ τοῦ Σωτῆρος ἐκ προσώπου τῆς ἀνθρωπότητος προσφερομένην, τάς τε αἰτίας δι' ἃς αὐτῷ τὸν ἐπὶ τοῦ σταυροῦ προσήνεγκαν θάνατον. Ἔτι τε αὐτὸ τὸ πάθος διηγεῖται σαφῶς, καὶ τὰς μετὰ τὸ πάθος τοῖς Ἰουδαίοις συμβησομένας συμ-

---

1. Πρβλ. Πράξ. 8, 26 ἑξ. 2. Α' Κορ. 6, 20.

φοράς· πρὸς δὲ τούτοις καὶ εἰσαγωγὴν τῆς εὐαγγελικῆς πολιτείας, τῆς τε ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείας τὴν διδασκαλίαν, εἰς ἣν καὶ περιγράφει τὸν ψαλμόν. Ὅτι δὲ πᾶσαν ἣν ηὔξατο ὁ Σωτὴρ προσευχήν, ἐκ προσώπου τῆς ἀνθρώπου φύσεως ηὔξατο, τοῦτο ἐπισημαίνει ἐπὶ τῷ τέλει τοῦ ψαλμοῦ, καί φησιν, «Ὅτι ἐξήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.»

«Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.» Ἐπειδὴ τὰς ἁμαρτίας ἡμῶν ἀνέλαβε, περὶ ἡμῶν ὀδυνᾶται·[1] εἰκότως καὶ προσεύχεται ῥυσθῆναι ἐκ τῶν πειρασμῶν, χειμάρρου δίκην κυκλωσάντων αὐτοῦ τὴν ψυχήν.

«Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις.» Ταῦτα γὰρ ἡ ἀνθρωπεία φύσις ἐπεπόνθει, κατενεχθεῖσα ὑπὸ τῆς ἁμαρτίας εἰς θάνατον, καὶ εἰς αὐτὸν τὸν τοῦ ᾅδου χῶρον· ὃν καὶ ὕλην βυθοῦ καὶ θαλάσσης βάθος ἐν τοῖς παροῦσιν ὀνομάζει.

«Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου.» Τίνα ἦν ἃ ἔκραξε, καὶ ἐπὶ τίσιν, ἐν τοῖς ἑξῆς σαφῶς ἐδίδαξεν, εἰπών· «Ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τοῦ βάθους τῶν ὑδάτων», καί, «Μή με καταποντισάτω καταιγὶς ὕδατος», καὶ τὰ ἑξῆς ἐπιλεγόμενα. Ηὔχετο γάρ, ὡς ἔφην, ὑπὲρ τῆς ἀνθρώπου φύσεως· ὅπως καταργηθῇ τοῦ θανάτου τὸ κράτος, μὴ συγκλείοντος κατ' αὐτῆς τὸ στόμα τοῦ ᾅδου· διὸ καὶ λέγει· «Μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.»

«Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν». Πολλοὶ γὰρ οἱ τῆς ἀνθρωπείας φύσεως ἐπίβουλοι δαίμονες, οἱ μηδὲν ἠδικημένοι παρ' ἡμῶν, καὶ σπεύδοντες ἀνελεῖν. «Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως.» Δείκνυσιν, ὡς ἀδίκως ἡ κατ' αὐτοῦ ψῆφος ἐξενήνεκται.

«Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου.» Ἀφροσύνην φησὶ τὴν νομισθεῖσαν παρὰ τοῖς ἀνθρώποις μωρίαν, τὴν τοῦ πάθους φημί. Γέγονε γάρ, κατὰ τὸν ἱερὸν Ἀπόστολον, ὁ τοῦ Κυρίου σταυρὸς Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρία.[2] Σὺ οὖν, ὦ Πάτερ, φησίν, ἔγνως τὴν διὰ τοῦ σταυροῦ οἰκονομίαν. Τοῦτο δὲ λέγει, ἐπειδὴ γέγονεν ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. «Καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν.» Ὅμοιον τῷ· «Τὸν μὴ γνόντα ἁμαρτίαν ἁμαρτίαν ὑπὲρ ἡμῶν ἐποίησε.[3]» Καὶ τοῦτό ἐστι τό· «Ἀπὸ σοῦ οὐκ ἐκρύβησαν.»

«Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων.» Τὸ μέν, «ἐπ' ἐμέ», ἀντὶ τοῦ, δι' ἐμέ, ἤτοι διὰ τοῦ ἐμοῦ ὑπὲρ αὐτῶν πάθους· τὸ δέ, «Μὴ αἰσχυνθείησαν», ἀντὶ τοῦ, μηκέτι αἰσχυνθείησαν, ὡς πάλαι αὐτῶν αἰσχυνομένων δι' ἣν ὑπέμειναν φθοράν. Ὁ δὲ νοῦς οὗτος· Ἐπειδὴ ἐγώ, φησί, κατεδεξάμην ὑπὲρ αὐτῶν γεύσασθαι θανάτου, ἀναιρεθείη ἡ πάλαι κατ' αὐτῶν γενομένη διὰ τὸν

1. Ἠσ. 53, 4. 2. Πρβλ. Α΄ Κορ. 1, 24. 3. Β΄ Κορ. 5, 21.

θάνατον αἰσχύνη. Αἰσχύνη γὰρ ἦν τοῦ κατ' εἰκόνα Θεοῦ κτισθέντος ἀνθρώπου βασιλεύων ὁ θάνατος. Σημαίνει οὖν, ὡς διὰ τῆς αὐτοῦ ἀναστάσεως ἐκ μέσου γενήσεται ὁ θάνατος. Συνῆπται οὖν ἐν ταύτῃ τῇ ἑρμηνείᾳ καὶ ὁ ἕτερος στίχος, ὁ τούτου παρόμοιος· «Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε.» Καλῶς καὶ ἄνω εἶπε τό, «ἐπ' ἐμέ», καὶ ὧδε. Ἐπειδὴ γὰρ αὐτὸς ἦν ὁ προτρέψας, ἡττηθεὶς αἰσχύνην ἔφερε τοῖς πεισθεῖσιν, ὡς ἀπάτῃ καὶ εὐκολίᾳ τὸν κίνδυνον ἑλομένοις.

«Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν.» Αἰτῶ, φησίν, ἐκποδὼν γενέσθαι τὸν θάνατον· ἐπειδὴ καί σοι γεγονὼς ὑπήκοος, αὐτὸν ἀναδέδειγμαι. «Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου.» Τοῦτό φησι διὰ τὴν γενομένην αὐτῷ ἐπὶ τοῦ πάθους παρὰ πάντων ἐγκατάλειψιν.

«Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.» Ἠρνήσαντό με, φησίν, ἐπειδὴ ἤλεγχον ἀσεβεῖς αὐτοὺς γενομένους περὶ τὸν οἶκον τὸν σόν. Διηγεῖται δὲ τὴν ἱστορίαν σαφῶς ὁ Ἰωάννης· ὅτε ἐξέβαλε μετὰ φραγγελίου ἐκ τοῦ ἱεροῦ.[1] «Καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.» Οὐ μόνον ξένος ἐγενήθην, φησί, καὶ ἀπηλλοτριωμένος, ἀλλὰ καὶ ὠνειδιζόμην ἐξ ἐκείνων τῶν ἀπὸ πονηρῶν πράξεων ὀνειδιζόντων σε. Δι' οὐδὲν δὲ ἕτερον τὰ τοιαῦτα ἔπασχον ἢ διὰ τὸν ζῆλον τοῦ οἴκου σου.

«Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου.» Ἀλγῶν, φησί, διὰ τὴν ἐσομένην αὐτῶν ἀπώλειαν τῶν ψυχῶν, τὸ καὶ τὸ ἐποίουν. Οἱ δὲ ὑπὲρ ὧν τὰ τοιαῦτα ἔδρων, ἐν παντὶ καιρῷ καὶ τόπῳ ἐπὶ στόματος ἐμὲ ἔφερον, ἃς ὑπὲρ αὐτῶν ἐποιούμην κακοπαθείας ὀνειδίζοντές με.

«Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε.» Εἰ καὶ πονηρά, φησίν, ἀνταπεδίδοσάν μοι ἀντὶ ἀγαθῶν, ἀλλ' οὖν τὰς ὑπὲρ αὐτῶν ἐγὼ οὐ παύομαι ποιούμενος προσευχάς. Καὶ τοῦτο δῆλον ἐξ ὧν παρέθηκεν αὐτὸν ὁ εὐαγγελιστής, καὶ παρὰ τῷ σταυρῷ ὑπὲρ τῶν σταυρούντων εὐχόμενον. «Καιρὸς εὐδοκίας. Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ.[2]» Ὁ εἰς τοῦτο ἐλθών φησι· «Καιρὸς εὐδοκίας, ὁ Θεός.»

«Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ.» Ταῦτα ἦν ἃ καὶ προσευχόμενος ὑπὲρ τῆς ἀνθρωπότητος ἔκραζεν, ὡς καὶ λέγειν αὐτόν· «Ἐβραγχίασεν ὁ λάρυγξ μου.» Τὸ δέ, «ἐβραγχίασε», τὸ ἐκτενὲς τῆς προσευχῆς κατασημαίνει.

«Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός.» Ὅρου καὶ κατάρας φρικτῆς προκειμένης, ἵνα κἂν ἄγγελος εὐαγγελίσηται, ἢ διδάξῃ ἡμᾶς παρ' ὃ ὁ Παῦλος ἐδίδαξεν, ἀνάθεμα ἔστω. Τίς ἐστιν ὁ ὑπερκεφαλῆσαι Παῦλον, μᾶλλον δὲ τὸν ἐν αὐτῷ λαλοῦντα Χριστὸν δυνάμενος; Οὐκοῦν καὶ εἰς ἑαυτὸν τὴν τοιαύτην

1. Πρβλ. Ἰω. 2, 15. 2. Γαλ. 4, 5.

εὐχὴν ἀναφέρει, καὶ μαρτυρεῖ λέγων, ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ, ὅτι «ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ», τουτέστιν ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, «δεήσεις τε καὶ ἱκετηρίας» πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου, τουτέστι πρὸς τὸν Πατέρα, «μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων» προσήνεγκε, «καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας·[1]» καίπερ ὢν Υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν. Ἐνταῦθα Παῦλος, μᾶλλον δὲ ὁ ἐν αὐτῷ λαλῶν Χριστός, καὶ τὰ σεσιγημένα καὶ λείποντα τοῖς εὐαγγελισταῖς ἡμᾶς ἐδίδαξε, «μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων» λέγων γενέσθαι τὴν προσευχήν, τοῦ, «Πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο[2]», οὐκ ἐν ὑποκρίσει, οὐκ ἐπὶ τὸ δελεάσαι τὸν Σατανᾶν, οὐ τὸ τοῦ κόσμου οἰκειούμενος θέλημα· ἀλλ' ἐξ οἰκείου προσώπου ὁ Χριστὸς οἰκονομικῶς ἑκουσίως προσεύχεται μετὰ κραυγῆς, μετὰ δακρύων, μετὰ ἱδρώτων καὶ θρόμβου αἵματος, μετὰ ἀγγέλου ἐνισχύοντος, καὶ οἱονεὶ παρακαλοῦντος καὶ παρηγοροῦντος αὐτόν, καίπερ Υἱὸς Θεοῦ ἀληθῶς ὑπάρχων. Ἀλλὰ καὶ «ἐν ἀγωνίᾳ γενόμενος» προσηύχετο[3], ὥς φησιν ὁ εὐαγγελιστής, ἀλλὰ καὶ «ἐκτενέστερον» ἀλλὰ καὶ δίς, καὶ τρὶς τὴν εὐχὴν τῷ Πατρὶ προσάγει. Τοῦ οὖν Παύλου, μᾶλλον δὲ πάλιν λέγω τοῦ Χριστοῦ, τοῦ ἐν αὐτῷ τῷ Παύλῳ λαλοῦντος, εἰς ἑαυτὸν ἀναφέροντος τὴν τοιαύτην προσευχήν· τίς ἐστιν ὁ παραχαράξαι δυνάμενος, ἃ αὐτὸς ὁ Χριστὸς περὶ ἑαυτοῦ ἐμαρτύρησεν;

«Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου.» Ἐπειδὴ ἀποστραφεὶς ἦν ὁ Θεὸς καὶ Πατὴρ διὰ τὴν ἐν Ἀδὰμ παράβασιν τὴν ἀνθρώπου φύσιν, τούτου χάριν πάλιν αὐτὸν ἐπιστρέψαι πρὸς αὐτὴν τὸ πρόσωπον παρακαλεῖ.

«Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν·» ἐκ τοῦ κατασχόντος, δηλονότι τοῦ θανάτου. «Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.» Ἐξ ἧς πεπόνθαμεν ἀδικίας παρὰ τῶν νοητῶν ἐχθρῶν, ἀπὸ ταύτης ἐπὶ τὸν ἔλεον τὸν ἡμέτερον διεγείρει τὸν Πατέρα.

«Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου.» Ὅμοιον τῷ εἰρημένῳ· «Ὅτι ἕνεκέν σου ὑπήνεγκα ὀνειδισμόν. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου.» Ἐντεῦθεν ἡμῖν τὸ πάθος διηγεῖται· ὃ σαφῶς καὶ οἱ εὐαγγελισταὶ διηγήσαντο.

«Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα.» Ἐντεῦθεν τὰ συμβησόμενα τοῖς Ἰουδαίοις μετὰ τὸ πάθος κατασημαίνει. Ὅμοιον δὲ ὡσεὶ λέγοι· Τὰ παραπλήσια ὑπομείνοιεν ὧν πεῖραν παρεσκεύασάν με λαβεῖν. Οὐαὶ γὰρ πονηρῷ, ὅτι πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ. «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν.» Πῶς γὰρ οὐκ ἐσκοτίσθησαν, μὴ δεξάμενοι τὸν τῆς δικαιοσύνης ἥλιον; «Καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.» Οὐ γὰρ πρόσκαιρος αὐτοῖς, ὥσπερ ἐπὶ Βαβυλωνίων, γέγονεν ἡ αἰχμαλωσία.

---

1. Ἑβρ. 5, 7. 2. Ματθ. 26, 39. 3. Λουκ. 22, 44.

«Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη.» Τοῦτό φησι διὰ τὴν πόρθησιν τὴν συμβᾶσαν τῇ Ἱερουσαλήμ. «Καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.» Ἐξ αὐτῶν δηλονότι· οὐ γάρ τις τῶν Ἰουδαίων ἔτι τὰς ἐν Ἱερουσαλὴμ κατοικεῖ σκηνάς.

«Ὅτι ὃν σὺ ἐπάταξας αὐτοὶ κατεδίωξαν.» Αἰτίας παράθεσις δι' ἣν τὰ τοιαῦτα πείσονται. Ὅμοιον δὲ τῷ· «Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα.[1]» Τοῦτον οὖν, φησί, τὸν κατὰ σὴν εὐδοκίαν ἐν παταγμῷ διὰ τὸ πάθος γενόμενον αὐτοὶ οὐ παραδεξάμενοι, ἔξω που τῆς ἑαυτῶν σωτηρίας ἀπήλασαν. «Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου παρέθηκαν.» Τοῦτό φησιν, ἐπειδὴ αὐτὸς μὲν ἐταπείνωσεν ἑαυτόν, οἱ δὲ καὶ θανάτῳ περιέβαλον.

«Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν.» Καὶ τοῦτο λέγει, ἐπειδὴ μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν αὐτὸν ἐσυκοφάντησαν. «Καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου.» Πόρρω γενήσονται, φησί, τῆς τοῖς δικαίοις ἀποδοθησομένης τρυφῆς.

«Ἐξαλειφθήτωσαν ἐκ βιβλίου ζώντων.» Εἰ καὶ ἐνεγράφησαν, φησί, κατὰ τὸ αὐτῶν εἶναι τὰς ἐπαγγελίας, ἀλλ' ἐπειδὴ τὰ καὶ τὰ ἐποίησαν, εἰκότως ἐξαλειφθήσονται.

«Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ, ἡ σωτηρία σου, ὁ Θεός, ἀντελάβετό μου», κ.τ.λ. Ἐντεῦθεν ἡ εὐαγγελικὴ πολιτεία κηρύττεται, ἧς ἦρξεν ὁ κατὰ Θεὸν πτωχός· ᾧ καὶ εἴρηται. «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.[2]» Εἰσέρχεται δὲ οὗτος ὁ πτωχὸς χορὸς εὐχαριστῶν ἐπὶ τῇ γενομένῃ αὐτῷ σωτηρίᾳ παρὰ τοῦ Μονογενοῦς. Αὐτὸς γάρ ἐστι τὸ πρόσωπον τοῦ Πατρός. Ἐπαγγέλλεται δὲ μηκέτι τὰς δι' αἱμάτων προσφέρειν θυσίας· τὰς δι' αἰνέσεως δὲ μᾶλλον καὶ πνευματικῆς ᾠδῆς.

«Ἰδέτωσαν πτωχοί, καὶ εὐφρανθήτωσαν» κ.τ.λ. Ταῦτα γνόντες, φησίν, οἱ τῷ πνεύματι πτωχοί, ἀγαλλιασθήσονται. Λέγουσι δὲ ταῦτα οἱ ἀπόστολοι διὰ τοὺς δι' αὐτῶν πιστεύσαντας εἰς Χριστόν.

«Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος.» Καὶ ποίας εὐχῆς, ἢ ἧς ὑπὲρ αὐτῶν ηὔχετο ὁ Μονογενής; Περὶ τίνος δὲ ηὔχετο, ἢ ῥυσθῆναι αὐτοὺς ἐκ τῶν τοῦ θανάτου δεσμῶν; Διό φησι· «Καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσε.» Διέρρηξε γὰρ πάντων τὰ δεσμά, εἰρηκὼς «τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε· καὶ τοῖς ἐν τῷ σκότει, Ἀνακαλύφθητε.[3]» «Καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσε.» Καὶ οὐ διέπτυσεν ἡμᾶς ἐν συμφοραῖς ὄντας, καλῶς δὲ αὐτοὺς πεπεδημένους εἶπε δι' ὧν ἔπασχον ταῦτα.

«Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ.» Εἰ χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, πολλῷ πλέον χαρήσονται συμπάσης ἐλευθερωθείσης τῆς γῆς. Εἰ δὲ οὐρανὸς ἐπὶ τῇ τῶν ἀνθρώπων χαίρει σωτηρίᾳ, καὶ αἰνεῖ ἐπὶ τούτῳ τὸν Θεόν· πολλῷ μᾶλλον καὶ αὐτοὶ οἱ σωθέντες ἐπὶ τῆς γῆς αἰνέσουσι τὸν σώσαντα·

---

1. Ζαχ. 13, 7. Ματθ. 26 31. 2. Ματθ. 5, 3. 3. Ἡσ. 49, 9.

διὸ προσέθηκε· «Θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτοῖς.» Τοῦτό φησιν, ἐπειδὴ καὶ ἐν ταῖς νήσοις ἔμελλον τὸ σωτήριον τοῦ Θεοῦ παραδέχεσθαι. Τὸ δέ, «ἐν αὐτοῖς», καὶ ἐν τῇ γῇ καὶ ἐν τῇ θαλάσσῃ.

«Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας.» Τίνα φησὶν εἶναι τὴν Σιὼν ἢ τὴν ἁγίαν Ἐκκλησίαν, ἧς καὶ αἱ πόλεις ᾠκοδομήθησαν, αἱ διηγηγερμέναι δηλονότι τῶν ἀνθρώπων ψυχαί; Πεσοῦσαι γὰρ ἦσαν ὅτε ἠγνόουν τὸν Θεόν. Αὗται δέ εἰσιν αἱ διὰ τῆς ἐξομολογήσεως ἀνεγερθεῖσαι. Ἰουδαία γὰρ ἐξομολόγησις ἑρμηνεύεται.

«Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν.» Οἱ νῦν, φησίν, αἰχμάλωτοι, τῆς ἐπανόδου τυχόντες, καὶ τὰς οἰκείας οἰκοδομήσουσι πόλεις, καὶ κατοικήσουσιν αὐτάς. Οὐκ αὐτοὶ δὲ μόνοι, ἀλλὰ καὶ οἱ τούτων παῖδες καὶ οἱ ἔκγονοι· τοῦτο γὰρ ἐπήγαγεν.

«Καὶ τὸ σπέρμα τῶν δούλων αὐτοῦ καθέξουσιν αὐτήν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.» Δοῦλοι μὲν αὐτοῦ οἱ ἅγιοι ἀπόστολοι, ὡς Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ· σπέρμα δὲ αὐτῶν οἱ δι' αὐτῶν εἰς Χριστὸν πιστεύσαντες.

Εἰς τέλος, ΨΑΛΜΟΣ, τῷ Δαυίδ, ΞΘ'.

Εἰς ἀνάμνησιν εἰς τὸ σῶσαί με Κύριον.

Ὑπόθεσις.

Τοῦτον ᾄδει τὸν ψαλμὸν ἐκ προσώπου τῆς ἀνθρωπότητος, ἀξιούσης εἰς τὸ βοηθεῖν αὐτῇ διαναστῆναι τὸν Θεόν. Οὕτω γὰρ συνέβαινεν ἐντραπῆναι μὲν τοὺς ἀντικειμένους αὐτῇ πολεμίους δαίμονας, εὐφρανθῆναι δὲ τοὺς ὅσοι χαίρουσιν ἐπὶ τῇ σωτηρίᾳ αὐτῆς. «Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες», κ.τ.λ.

«Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν.» Διαμάρτοιεν, φησίν, οἱ τῆς ἐμῆς σφαγῆς ἐφιέμενοι, καὶ τὴν ἐντεῦθεν αἰσχύνην καρπώσαιντο.

«Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω», κ.τ.λ. Καὶ πάλιν κἀνταῦθα ἐν τοῖς παροῦσι στίχοις ἐπαρᾶται μὲν τοῖς αὐτὸν ἐπιβουλεύουσι, καὶ θέλουσιν αὐτὸν κακῶς παθεῖν· καὶ λέγει πρὸς αὐτούς· Οἱ τοῖς ἐμοῖς κακοῖς ἐφηδόμενοι τράποιντο εἰς φυγὴν μετὰ αἰσχύνης, τὴν ἐμὴν ὁρῶντες μεταβολήν. «Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι.» Οἱ ἐπὶ τῷ γενομένῳ μοι πάλαι πτώματι διὰ τὴν τοῦ θανάτου κατάραν ἐπιχαρέντες.

«Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης.» Ἀντὶ τοῦ, Τῆς τῶν προειρημένων δικαιοσύνης ἐστέρημαι, καὶ πτωχίᾳ συζῶν, τῆς δικαιοσύνης οὐκ ἔχω τὸν πλοῦτον· διὸ τῆς σῆς ἐπικουρίας ἱκετεύω τυχεῖν. «Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς.» Τῆς σῆς γὰρ προμηθείας τετύχηκα. Ἐπάκουσον ὅτι τάχιστα, καὶ μὴ ἀναβάλῃ τὴν αἴτησιν.

Τῷ Δαυὶδ ΨΑΛΜΟΣ, εἰς τὸ τέλος, τῶν υἱῶν Ἰωναδάβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων. Ἀνεπίγραφος παρ' Εβραίοις.

Ο'.

Ὑπόθεσις.

Οἱ υἱοὶ τοῦ Ἰωναδὰβ γεγόνασιν ἄνδρες εὐλαβεῖς τε καὶ δίκαιοι, καὶ τῶν τοῦ πατρὸς ἐντολῶν φύλακες ἀκριβεῖς, καὶ οὕτω θεοσεβεῖς καὶ τὸ ἦθος χρηστοί, ὡς καὶ μάρτυρα τῆς αὐτῶν ἀρετῆς γενέσθαι Θεὸν τῷ προφήτῃ διαλεγόμενον Ἱερεμίᾳ.[1] Ἐπὶ τούτων δὲ καὶ ἡ πρώτη τῆς Ἱερουσαλὴμ ὑπὸ Χαλδαίων αἰχμαλωσία γεγένηται. Σχοῖεν δ' ἂν οὗτοι πρόσωπον τοῦ ἀποστολικοῦ χοροῦ, τοῦ καὶ σφόδρα τὰς τοῦ ἐπουρανίου Πατρὸς φυλάξαντος ἐντολάς, καὶ τοὺς ἐπαίνους εἰληφότος διὰ τῶν πρὸς αὐτοὺς εἰρημένων μακαρισμῶν. Ὁμοίως γοῦν καὶ ἐπὶ τούτων τῶν ἀποστόλων, φημί, ἡ πρώτη τῆς Ἱερουσαλὴμ αἰχμαλωσία ὑπὸ Ῥωμαίων ἐγένετο. Εἰσάγονται οὖν οὗτοι οἱ θεοφιλεῖς, τουτέστιν ὁ ἀποστολικὸς χορός, διὰ τοῦ προκειμένου ψαλμοῦ εὐχήν τε καὶ εὐχαριστίαν ὑπὲρ ἑαυτῶν ἀναφέροντες τῷ Θεῷ, ἐφ' οἷς θλιβομένους αὐτοὺς ἀπό τε τῶν διωκόντων διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, ἀπό τε τῶν νοητῶν ἐπιβούλων τῆς αὐτῶν ψυχῆς δαιμόνων διέσωσεν· ἔτι τε ὑπισχνούμενοι μόνας τὰς δι' αἰνέσεως ἀναπέμπειν θυσίας, ἀπηλλαγμένοι δηλονότι τῆς κατὰ νόμον λατρείας.

«Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.» Μέγα θάρσος τῆς πεποιθήσεως αὐτῷ προβάλλεται, τὴν ἐπὶ τῷ Θεῷ ἐλπίδα. «Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με.» Δικαιοσύνη τοῦ Πατρὸς ὁ Υἱός, δι' οὗ ἐρρύσθημεν τῆς κατεχούσης ἡμᾶς ἁμαρτίας εἰς φθοράν. «Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν.» Εἰδὼς ὁ ἀποστολικὸς χορός, ὡς αὐτὸς ἐπήγγελται τοῖς εἰς αὐτὸν πιστεύουσιν ἔσεσθαι τεῖχος πυρὸς κυκλόθεν, τὴν τοιαύτην ὑπόσχεσιν ἔργῳ εἰς ἑαυτὸν πληροῦσθαι παρακαλεῖ. «Ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.» Αὐτὸς γάρ ἐστιν ἡ πέτρα, ἐφ' ἣν οἱ οἰκοδομηθέντες τὸν θεμέλιον ἔχομεν· καὶ αὐτὸς τὸ τεῖχος τὸ συνέχον ἡμᾶς, πρὸς τὸ μηδὲν παθεῖν ἐξ ἐπιδρομῆς κακῶν. Ἀπάλλαξόν με, φησί, τούτων τῶν κρατούντων, καὶ ὑπὸ τὴν δουλείαν ὥσπερ χειρί τινι ἀγόντων ἀνδρῶν, ἁμαρτίας πεπληρωμένων, ἀνόμων τε καὶ ἀδίκων.

«Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, καὶ ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος.» Τοῦ ἁμαρτωλοῦ, τῶν Ἰουδαίων φησιν· αὐτὸς γὰρ ἦν ὁ καὶ παράνομος καὶ ἄδικος· παράνομος μέν, ὅτι τοὺς ἀθώους κατέκρινεν· ἄδικος δέ, ὅτι οὐδεμίαν εἰς αὐτοὺς εἶχεν εὔλογον πρόφασιν.

«Ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε, Κύριε, ἡ ἐλπίς μου ἐκ νεό-

1. Πρβλ. Ἱερ. 42, 5-19.

τητός μου.» Ῥῦσαί με, φησίν, ἐξ αὐτοῦ τοῦ παρανόμου λαοῦ, διότι καὶ διὰ σὲ τὰ τοιαῦτα ὑπομένω καὶ διὰ τὴν εἰς σὲ ἐλπίδα, ἣν ἐδεξάμην ἐκ τῆς πρώτης καὶ ἐξ ἀρχῆς μου διὰ σοῦ γεννήσεως, κατὰ τὸ εἰρημένον· «Ὅσοι ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι.[1]»

«Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός.» Δείκνυσιν, ὡς ὁ Χριστὸς δι' ὃν τὰ τοιαῦτα ὑπέμενον, αὐτός ἐστιν ὁ καὶ ἔτι κυομένους αὐτοὺς ἐν γαστρὶ τῇ δημιουργικῇ ἑαυτοῦ προνοίᾳ ἐξαγαγὼν εἰς φῶς. «Ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής.» Ἐπειδή, φησί, σὺ αὐτὸς ὁ Κύριος, καὶ ἐν τῇ κοιλίᾳ τῆς μητρός μου ἔτι ὄντα ἔσκεπες τῇ θείᾳ σου δυνάμει, καὶ ἐρρύσω ἐκ τοῦ παρανομοῦντος λαοῦ· τούτου χάριν καὶ αὐτὸς ἐγώ, ἅτε τῆς οὕτω συνεχοῦς ᾐσθημένος εὐεργεσίας, οὐ παύομαι τοὺς εἰς σὲ ὕμνους ἀναπέμπων διηνεκῶς.

«Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός.» Σὲ ὑμνῶν καὶ δοξάζων διατελῶ, καὶ διὰ τῆς σῆς προνοίας ἐγενόμην περίβλεπτος. «Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς.» Τέρας μὲν τὸ παράδοξον καὶ μέγα τι φησίν· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Εἰ καὶ ἤρθην ὑψοῦ, φησί, καὶ μέγας τις καὶ ἐξαίρετος ἐν τοῖς πολλοῖς τεθάρσημαι ἔθνεσιν· ἀλλ' οὐκ οἰκείᾳ δυνάμει τὸ τοιοῦτον ἔσχον ἀγαθόν. Σὺ γὰρ ἧς αὐτὸς ὁ κράτιστόν με καὶ γενναῖον διὰ τῆς σαυτοῦ βοηθείας ποιῶν.

«Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου.» Ἐπειδὴ τῶν τοιούτων ὑπαρχθεισῶν μοι εὐεργεσιῶν, ἄνθρωπος ὤν, οὐ δύναμαι τὰς ἀξίας ἀποδοῦναι ἀμοιβάς· τούτου χάριν ἐκ τῆς σῆς σοφίας αἰνέσεώς μου τὸ στόμα πληρωθῆναι ἀξιῶ· οὕτω γὰρ καὶ μόλις τὴν σὴν δόξαν ὑμνῆσαι δυνήσομαι. «Ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.» Ἐπειδάν, πληρωθέντος μου τοῦ στόματος αἰνέσεως, φησί, τὴν σὴν δόξαν ἄρξωμαι ὑμνεῖν, ὑμνήσω καὶ διὰ πάσης ἡμέρας τὴν μεγαλοπρέπειάν σου. Δόξαν δὲ ἣν ἐπὶ γῆς ἐποιήσατο οἰκονομίαν φησί, δι' ἧς ἐπλήρωσε τὴν γῆν τῆς δόξης αὐτοῦ. Μεγαλοπρέπειαν δὲ τὴν θεότητα λέγει, δι' ἧς πάντα ἐκεῖνα ἀνομαλῶς εἰργάσατο.

[«Πληρωθήτω τὸ στόμα μου αἰνέσεως.» Δυνατὸν μὲν διαπαντὸς αἰνεῖν τὸν Θεόν, καὶ διαπαντὸς εὐλογεῖν, καὶ διαπαντὸς σωφρονεῖν· πῶς δὲ δυνατὸν διαπαντὸς ἐλπίζειν; Ὁ γὰρ ἐλπίζων διαπαντός, οὐδέποτε τυγχάνει τοῦ πράγματος ἐκείνου, οὗ ἐλπίζει τυχεῖν. Καὶ ὁ μὲν ἐρεῖ, τό, «διαπαντός», οὐ κατὰ τοῦ πλάτους τῶν αἰώνων τεθεῖσθαι, ἀλλὰ κατὰ τῆς ζωῆς τῆς αἰσθητῆς· ἕτερος δὲ καὶ κατὰ τοῦ πλάτους τῶν αἰώνων τὸ διαπαντὸς ἐκλήψεται, ἵνα ᾖ τὸ πέρας τῆς ἐλπίδος ἡ γνῶσις τῆς ἁγίας Τριάδος.]

«Μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως.» Γῆρας ἐνταῦθα τὴν ἀσθένειάν φησι. Λέγει οὖν, ὅτι Μὴ γένοιτο, ὦ Δέσποτα, καιρὸς καθ'

1. Ἰω. 1, 12.

ὃν ἀσθενὴς ὢν ἐπιδειχθείην! Εὔχεται οὖν μηδέποτε τῆς εἰς Χριστὸν ἐλπίδος ἐκπεσεῖν. Αὐτὸς γάρ ἐστιν ἡ ἰσχὺς ἡμῶν. «Ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.» Εἰ καὶ συνέβη ἄνθρωπον ὄντα, φησί, ποτὲ ἁμαρτεῖν, μὴ διὰ τὴν ἁμαρτίαν ἐγκαταλίπῃς με, Κύριε· ἀλλὰ ἀνακάλεσαι πάλιν ὡς φιλάνθρωπος.

«Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί.» Τό, «Ὅτι εἶπον», ἀντὶ τοῦ· Μήποτε εἴποιεν οἱ ἐχθροί μου, Ἐπιθώμεθα αὐτῷ· ἔσται γὰρ ἡμῖν εἰς προνομήν, μὴ ἐπικουροῦντος Θεοῦ.

«Ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ᾽ ἐμοῦ.» Ἐπειδὴ τοίνυν ἐκεῖνοι ταῦτά φασι, μὴ ἐπιμήκιστον ὑπερθῇς τὴν βοήθειαν. «Ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.»

«Αἰσχυνθήτωσαν καὶ ἐκλειπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου.» Ἐπειδάν, ἐκείνων ἐπιτιθεμένων, φησί, διὰ τὸ δόξαι με ἐγκαταλειφθῆναι παρὰ σοῦ, εἰ βοηθήσῃς αὐτός, αὐτοὶ εἰς αἰσχύνην ἀποστραφήσονται, ἅτε ματαίας εὑρόντες, ἃς κατὰ τῆς ψυχῆς μου ἐποιήσαντο διαβολάς. Τίνες δὲ αἱ διαβολαὶ ἢ αἱ λέγουσαι· «Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν;»

«Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σέ.» Οὐ παύονται γὰρ διὰ τῶν ἰδίων συγγραμμάτων ὁμολογοῦντες τὴν ἐλπίδα τὴν εἰς Χριστόν. «Καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.» Διὰ τῆς ὑμνολογίας τῶν δι᾽ αὐτῶν σωζομένων.

«Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου.» Ἐπὶ στόματος ἀεί, φησίν, ὦ Δέσποτα, τὴν σὴν φέρειν δικαιοσύνην οὐ παύομαι. Δικαιοσύνη γὰρ τοῦ Πατρὸς ὁ Μονογενὴς αὐτοῦ. Ἐγεννήθη γὰρ ἡμῖν δικαιοσύνη ἀπὸ Θεοῦ κατὰ τὸν ἱερὸν Ἀπόστολον·[1] «Ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου.» Διαπαντὸς μνησθήσομαι, φησί, τῆς οἰκονομίας δι᾽ ἧς ἡμῖν τὴν σωτηρίαν ἐχαρίσω. «Ὅτι οὐκ ἔγνων γραμματείας.» Γραμματείας ἢ τοὺς ματαίους καὶ πολυπλόκους τοῦ βίου περισπασμούς φησιν, ἢ τὰς διὰ τοῦ νόμου κεκελευσμένας πολυτρόπους προσάγεσθαι θυσίας. Ἐπειδὴ ταύτας συμπάσας, φησίν, ἐπεβαλόμην, εἰς τὰς ἄνω εἰσελεύσομαι μονάς, εἰ τοῦτο δύναμίν μοι τοῦ Κυρίου παρέχοντος. Ὅμοιον δὲ τῷ εἰρημένῳ· «Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἡμῖν ἔσται;[2]» Ὅτε καὶ τῆς τῶν οὐρανῶν βασιλείας τὴν ὑπόσχεσιν διὰ ταῦτα ἐδέχοντο.

«Εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου.» Τῇ σῇ δυνάμει καὶ βοηθείᾳ τεύξομαι τῆς εἰσόδου τῆς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. «Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.» Πάντα τὰ εἰρημένα ἀφείς, φησί, μόνης μνημονεύσω τῆς δικαιοσύνης, δι᾽ ἧς ἡμᾶς τῆς ἁμαρτίας ἠλευθέρωσας.

«Ὁ Θεός μου, ἃ ἐδίδαξάς μοι ἐκ νεότητός μου.» Ἀπὸ γὰρ πρώτης, ὡς εἰπεῖν, ἡμέρας, ἧς αὐτοὺς ἐξελέξατο, παρέδωκεν αὐτοῖς τὰ

1. Πρβλ. Α' Κορ. 1, 30. 2. Ματθ. 19, 27.

περὶ τῆς βασιλείας τῶν οὐρανῶν. «Καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου.» Οὐκ ἀμνήμων, φησίν, ὧν ἐδιδάχθην γεγένημαι. ἀλλ' ἅπερ αὐτὸς ἔμαθον, ταῦτα καὶ τοῖς ἄλλοις ἀπήγγειλα.

«Καὶ ἕως γήρως καὶ πρεσβείου.» Ἐπειδὴ αὐτὸς ὁ Χριστὸς μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ὑπέσχετο λέγων αὐτοῖς· «Ἰδοὺ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος·[1]» τούτου χάριν αἰτεῖ ταύτην αὐτῷ πληρωθῆναι τὴν ὑπόσχεσιν. «Ὁ Θεός μου, μὴ ἐγκαταλείπῃς με, ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά σου.» Ἐὰν μὴ ἐγκαταλείπῃς με, φησί, κατὰ τὴν σὴν ὑπόσχεσιν, ὦ Δέσποτα, τότε γενήσεται δυνατὸν τὸν σὸν ἀπαγγεῖλαι βραχίονα τῇ ἐξ ἐθνῶν ἐσομένῃ πιστῇ γενεᾷ. Τίς δὲ ὁ βραχίων ἐπιφέρει λέγων· «Τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου.» Καὶ δυναστείαν μέν, διὰ τὸ δῆσαι τὸν ἰσχυρόν φησι, καὶ διαρπάσαι τὰ σκεύη αὐτοῦ· δικαιοσύνην δέ, ὅτι ἀδίκως ἡμᾶς αἰχμαλωσίᾳ κατεχομένους λελύτρωται. «Ὁ Θεὸς ἕως τῶν ὑψίστων.» Ἀπαγγελῶ, φησίν, ὅτι οὐ μόνον τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ ἐν οὐρανοῖς διὰ τοῦ ἰδίου ἐλυτρώσω αἵματος. Ὅμοιον δὲ τῷ· «Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς.[2]» «Ὁ Θεός, τίς ὅμοιός σοι;» Εὐχαριστεῖ ἐφ' οἷς, καίτοι πάλαι διὰ τὴν ἁμαρτίαν δικαίως καταδεδικασμένος θανάτῳ, οὐκ ἐναπέμεινεν τῷ θανάτῳ· ἀλλὰ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ ἀπολέλυται διὰ Χριστοῦ τῆς φθορᾶς.

«Ὅσας ἔδειξάς μοι θλίψεις πολλάς;» Οἵων γάρ με καὶ ὅσων πεῖραν λαβεῖν ἐποίησας κακῶν; «Καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με. Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλοσύνην σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με.» Ὁ διπλασιασμὸς ἔοικε σημαίνειν τὴν ἐπὶ τοῖς μετὰ τὸ βάπτισμα πλημμελήμασι γινομένην μετάνοιαν δεκτὴν ὑπάρχειν τῷ, ὡς εἴρηται, πλεονάσαντι ἐφ' ἡμᾶς τὴν αὐτοῦ ἀγαθότητά τε καὶ δικαιοσύνην. Διὸ πρότερον μὲν τό, «ἐζωοποίησάς με», ὡς ἐπὶ ἀναγεννήσεως εἴρηται· δεύτερον δὲ τό, «παρεκάλεσας», ὡς ἐπὶ καταπονουμένου τῇ τῶν ἁμαρτημάτων ἀθυμίᾳ. Ἔστι μέντοι καὶ ἐπὶ τῆς ἐξ Αἰγύπτου μὲν λυτρώσεως τὰ πρότερα μὲν ἐκδέξασθαι, ἐπὶ τῆς τοῦ Κυρίου δὲ παρουσίας τὰ δεύτερα νοῆσαι, ὅτε καὶ ἡ παντελὴς ἡμῖν γέγονε παράκλησις. Οἱ γὰρ ἐξ Αἰγύπτου ἐξεληλυθότες, εἰ καὶ ἐρρύσθησαν τοῦ προσκαίρου θανάτου, ἀλλ' ὑπέπιπτον τῷ αἰωνίῳ, ὡς μηδέπω τῆς ἀναστάσεως δεδωρημένης.

«Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός.» Οὕτω, φησίν, ἐμαυτὸν παρασκευάσω διὰ τῆς ἐξομολογήσεως ἐπιτήδειον γενηθῆναι πρὸς τὸ σκεῦος ὑμνολογίας κληθῆναι. Εἰ δὲ σκεῦος κληθῆναι ἐκλογῆς λέλεκται, δηλονότι καὶ σκεῦος ὑμνολογίας. «Ψαλῶ σοι ἐν κιθάρᾳ.» Τῇ τῆς ψυχῆς ἁρμονίᾳ φησίν· Ὅταν γὰρ μηδὲν ἐναντίον ἑαυτῇ μήτε κατὰ τὸν βίον μήτε περὶ τὰ

1. Ματθ. 28, 20. 2. Ῥωμ. 8, 21.

δόγματα ποιῇ ἢ πάσχῃ ἡ ψυχή, τότε δὴ τότε νοητὴ κιθάρα κληθείη δικαίως.

«Ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψαλῶ σοι.» Τοῦτο πρὸς ἀντιδιαστολὴν τοῦ νόμου λέλεκται· ὅτι ἐκεῖνα μὲν τὰ ἐπιτάγματα ἦν φορτικά, ὡς δυσκατόρθωτα, ταῦτα δὲ χρηστά τε καὶ ἐλαφρά, ὡς καὶ ἡδονῆς ἀποπληροῦντα τοὺς ἀξιωθέντας αὐτῶν. «Καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω», τῆς ἁμαρτίας τῆς φθορᾶς, τῆς δουλείας τοῦ Σατανᾶ, τοῦ θανάτου αὐτοῦ.

«Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν αἰσχυνθῶσι, καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.» Ὅταν ἐκ μέσου γένωνται, φησίν, οἱ νοητοί μου ἐχθροί, καὶ τὴν ἄβυσσον οἰκοῦντες περιβάλωνται αἰσχύνην· τότε δή, ὡς μηδενὸς ἔτι παρεμποδίζοντος, ἀκαταλήκτοις ὕμνοις αἰνέσω σε, Δέσποτα.

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαυὶδ εἰς Σαλομῶνα.

ΟΑ'.

Ὑπόθεσις.

Παρουσία Χριστοῦ διὰ τῶν παρόντων κατασημαίνεται, καὶ κλῆσις ἐθνῶν. Εἰς Σαλομὼν δὲ ἐπιγέγραπται ὁ ψαλμός. Οὗτος γάρ ἐστιν ἀληθὴς Σαλομὼν ὁ εἰρηναῖος, διότι καὶ πεποίηκεν ἓν ἀμφότερα, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ ἔλυσεν.[1]

«Ὁ Θεὸς τὸ κρῖμά σου τῷ βασιλεῖ δός.» Κέκριταί σοι, φησίν, ὦ Πάτερ, τὸν μονογενῆ σου Υἱὸν ἐπιλάμψαι τοῖς ἐπὶ γῆς. Τοῦτο οὖν, φησί, τὸ πάλαι κριθέν, εἰς πέρας ἀγέσθω. «Καὶ τὴν δικαιοσύνην τῷ υἱῷ τοῦ βασιλέως.» Αὐτὸς ὢν ἡ δικαιοσύνη τοῦ Πατρός, δικαιοσύνην λέγεται εἰληφέναι διὰ τὸ ἀνθρώπινον. Αὐτὸς δέ ἐστιν ὁ Χριστὸς καὶ ὁ βασιλεύς, καὶ ὁ υἱὸς τοῦ βασιλέως. «Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ.» Αὕτη τῆς ἐνανθρωπήσεως ἡ αἰτία τὸ κρῖναι τὴν καθ' ἡμῶν πλεονεξίαν τοῦ Σατανᾶ· διὸ καὶ μέλλων σταυροῦσθαι ἔφασκε· «Νῦν ἡ κρίσις ἐστὶ τοῦ κόσμου τούτου· ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω.[2]»

«Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην.» Ὄρη καὶ βουνοὺς ἐνταῦθα τὰς εὐαγγελικὰς δυνάμεις φησί, τὰς πάλαι μέν, διὰ τὴν κεχυμένην ἀσέβειαν, μὴ ἐπιχωριαζούσας τῇ γῇ, νῦν δὲ εἰρήνην πρὸς πάντας ἀνθρώπους ἀναλαμβάνειν κελευομένας.

«Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ.» Πένητας τῶν ἐξ εἰδωλολατρῶν πατέρων φησὶ τῶν πτωχευόντων ἀπὸ παντὸς καλοῦ, καὶ καθόλου πάντων ἀνθρώπων τὸ γένος. Πάντες γὰρ ἐκκεκλίκασι κατὰ τὴν τοῦ ψαλμοῦ φωνήν.[3] «Καὶ ταπεινώσει συκοφάντην.» Τὸν διάβολόν

1. Πρβλ. Ἐφ. 2, 14. 2. Ἰω. 12, 31. 3. Ψαλμ. 13, 3.

φησιν. «Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ.» Εἰς αἰῶνας, φησίν, ἡ βασιλεία αὐτοῦ ἐκταθήσεται. «Καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.» Οὗτος, φησίν, ὁ βασιλεύσας ἐν τῇ παρουσίᾳ τῶν ἐπὶ τῆς γῆς, αὐτός ἐστιν ὁ καὶ πρὸ αἰώνων τῶν ὅλων δημιουργός. «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον.» Ἀψοφητί, φησί· τοῦτο δὲ εἶπε διὰ τὴν λαθραίαν αὐτοῦ παρουσίαν.

«Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη.» Κατὰ γὰρ τὸν καιρὸν τῆς παρουσίας αὐτοῦ ἅπας πόλεμος ἀνῄρηται τῶν ἐθνῶν. «Καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.» Τοσοῦτον ἔσται, φησί, τῆς εἰρήνης τὸ πλῆθος ὃ γενήσεται ἐν τῇ αὐτοῦ παρουσίᾳ, ὡς καὶ εἰς τοὺς μέλλοντας ἐκταθῆναι χρόνους, καθ' οὓς ὁ «ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς.[1]»

«Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης.» Τοῦτό φησι διὰ τὸ πάντα τὰ ἔθνη παραδέξασθαι τὴν εἰς αὐτὸν πίστιν· ἀντί τοῦ, Πάντων κρατήσει τῶν τερμάτων τῆς οἰκουμένης. Ἐπειδὴ γὰρ πέραν τῆς γῆς τὰ μεγάλα καὶ ἄπλετα πελάγη, ἅτινά τινες Ἀτλαντικὰ καλοῦσιν, Ὠκεανόν, ἑσπέριον καὶ ἑῷον· εἰκότως τῆς οἰκουμένης τὸ κράτος ταῖς ἔξωθεν κυκλούσαις θαλάσσαις ἐδήλωσε· καὶ τοῦτο σαφέστερον ὁ μετὰ τούτων ἐποίησε στίχος.

«Καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι» Σφόδρα ὑποταγήσονται οἱ πολέμιοι, ὡς μὴ ὁρᾶσθαι μάχην πρὸς αὐτόν, ἐκ μεταφορᾶς τῶν ἐπὶ γῆς πιπτόντων καὶ τὴν ὑποταγὴν σημαινόντων.

«Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου.» Ἀπ' ἄκρων, φησί, περάτων τῆς οἰκουμένης ἕως ἄκρων προσκυνήσουσιν αὐτῷ τά τε ἔθνη καὶ οἱ βασιλεῖς, εὐχαριστοῦντες ἐφ' οἷς τῆς καταδυναστείας αὐτοὺς ἐλυτρώσατο τοῦ Σατανᾶ. «Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν.» Ἐξαλείφων τὸ κατ' αὐτῶν χειρόγραφον καὶ χαριζόμενος καὶ τῷ τὰ πεντακόσια καὶ τῷ τὰ πεντήκοντα ὀφείλοντι. «Καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ.» Σεβάσμιος, φησίν, ἔσται παρὰ πᾶσι καὶ ἔνδοξος.

«Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας.» Ταῦτά φησι διὰ τὸν ἀποστείλαντα Ἡρώδην ἀνελεῖν τὰ βρέφη. Λέγει οὖν, ὡς οὐ συμπεριληφθήσεται τοῖς ἀναιρουμένοις παιδίοις. Τὸ δέ, «Καὶ δοθήσεται αὐτῷ χρυσίον Ἀραβικόν», δηλοῖ σαφῶς ἃ προσήνεγκαν οἱ μάγοι δῶρα.[2] «Καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός.» Αὐτὸν ὀνομάζοντες ἐν προσευχαῖς, καὶ δι' αὐτοῦ δοῦναι τὸν Πατέρα αὐτοῖς ἀξιοῦντες τῶν ἀγαθῶν τὴν δόσιν.

«Ἔσται στήριγμα ἐν τῇ γῇ.» Τῆς Ἐκκλησίας, φησί, καὶ τῆς οἰκουμένης. «Ἐπ' ἄκρων τῶν ὀρέων», τῶν ἀποστόλων καὶ προφητῶν. «Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ.» Λίβανος μὲν ἡ Ἱερουσαλήμ· καρπὸς δὲ αὐτοῦ ὁ εὐαγγελικὸς λόγος. Λέγει οὖν, ὡς

1. Ματθ. 24, 29. 2. Πρβλ. Ματθ. 2, 11.

ὑπὲρ τὴν κατὰ νόμον λατρείαν ἔσται τὸ κήρυγμα τὸ εὐαγγελικόν. «Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.» Πόλιν τὴν Ἐκκλησίαν σημαίνει, περὶ ἧς γέγραπται· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.[1]»

«Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ.» Δείκνυσιν, ὡς οὗτος ὁ μὴ ἀποκτανθεὶς μετὰ τῶν βρεφῶν ἐστιν ὁ πρὸ καταβολῆς κόσμου ὑπάρχων μετὰ τοῦ Πατρός.

«Εὐλογητὸς ὁ Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.» Διεξελθὼν πάντα ἃ κατορθώσει ἐν τῇ οἰκονομίᾳ τοῖς ἐπὶ τῆς γῆς, ὕμνον ἀναπέμπει αὐτῷ λέγων, ὡς αὐτὸς εἴη ὁ Θεὸς Ἰσραήλ, ὁ μόνος δυνηθεὶς ταῦτα ποιῆσαι τὰ θαυμάσια. Ποῖα δὲ θαυμάσια, ἢ τὸ καταργῆσαι τὴν δυναστείαν τοῦ Σατανᾶ, καὶ ἐξελέσθαι τοὺς ἐπιβουλευομένους τῆς τῶν δαιμόνων τυραννίδος; Σκόπει δέ, ὡς οὐχ ἁρμόσει τῷ Σολομῶντι τῷ ἐκ τῆς τοῦ Οὐρίου οὐδὲν τῶν εἰρημένων ἐν τῷ ψαλμῷ· οὔτε τό· «Πρὸ τοῦ ἡλίου τὸ ὄνομα αὐτοῦ·» οὔτε τό· «Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ·» οὐδὲ τό· «Πρὸ τῆς σελήνης γενεὰς γενεῶν.» Ἐκ πάντων οὖν τούτων δῆλον, ὅτι εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέλεκται.

«Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης.» Διὸ προσήκει παρὰ πάντων αὐτὸν ὑμνεῖσθαι. Εἰ γὰρ καὶ τὴν φύσιν αὐτοῦ ὡς ἀνέφικτον ἀγνοοῦμεν, ἀλλὰ τὸ σωτήριον αὐτοῦ ἐδιδάχθημεν ὄνομα.

Ἐξέλιπον οἱ ὕμνοι Δαυὶδ τοῦ υἱοῦ Ἰεσσαί.

ΨΑΛΜΟΣ τῷ Ἀσάφ.

ΟΒ′.

Ὑπόθεσις.

Ἐν τούτῳ τῷ ψαλμῷ τὴν ἀνωμαλίαν τῶν ἀνθρώπων ἣν ἔχουσι περὶ τὰ τοῦ Θεοῦ κρίματα ἐξηγεῖται. Αὐτὰ μὲν γάρ ἐστι βαθέα τε καὶ ἀνεξερεύνητα, καὶ ἀκαταληψίας γέμοντα πολλῆς·[2] οἱ δὲ τοὺς λόγους τῆς ἐν ἑκάστῳ γιγνομένης οἰκονομίας ἀγνοοῦντες εἰς ἀμηχάνους ἐκπίπτουσι λογισμούς. Διὸ δή, πρότερον αὐτοὺς προθεὶς ἡμῖν τοὺς λογισμούς, οὗτοι δὲ ἦσαν οἱ διὰ τὴν εὐπραγίαν τῶν ἀσεβῶν ἀνθρώπων ἐπισυμβαίνοντες· «Ἰδοὺ» γὰρ «ἁμαρτωλοί», φησί, «καὶ εὐθηνοῦντες», διδάσκει μετὰ τοῦτο καὶ ποῖον αὐτῶν τῶν ἀσεβῶν ἔσται τὸ τέλος· ὅπως ἄν, τὰ τοιαῦτα γνόντες σαφῶς, μὴ ἀπορῶμεν ἐν ταῖς ἀνωμαλίαις τῶν ἐν τῷδε τῷ βίῳ πραγμάτων.

«Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ.» Μέλλων διηγεῖσθαι τὴν τῶν ἐν ἀσεβείᾳ διαγόντων ἀνθρώπων γινομένην εὐημερίαν, καὶ τὴν μετὰ ταῦτα αὐτοῖς ἀποκειμένην κόλασιν πικράν,

1. Ψαλμ. 86, 3. 2. Πρβλ. Ῥωμ. 11, 33.

προτάττει τὸ τοῖς εὐθέσιν ἀγαθὸν εἶναι τὸν Θεόν· ὅπως ἂν γνοῖεν οἱ τὴν εὐσεβῆ αἱρούμενοι μερίδα, ὡς μόνοις τοῖς εὐθέσι τῇ καρδίᾳ ἔσται ἀγαθὸς ὁ Θεός· οὐ μὴν ἔτι καὶ τοῖς φαυλότατα ἁμαρτάνουσιν. Ὥστε, εἰ καὶ δοκοῦσιν εὐημερεῖν, φησί, ταραττέσθω μηδείς, τὸ μικρὸν ὕστερον αὐτοὺς ἐκδεξόμενον κολαστήριον ἐννοῶν.

[«Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες.» Διηγεῖται τοιοῦτον τοὺς εὐσεβεῖς ὑπομένειν τὸν θάνατον, ὡς μή τινα ἀνανεύειν εἴ τις αὐτὸν ἔροιτο, εἰ βούλοιτο τοιούτου θανάτου τυχεῖν.]

«Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν ὁρῶν», κ.τ.λ. Τὰ τὸν κλόνον αὐτῷ ποιήσαντα τῆς ψυχῆς ἀφηγεῖται. Ταῦτα δέ ἐστι, τὸ πρῶτον μὲν ἐν εἰρήνῃ αὐτοὺς βαθείᾳ διατελεῖν· ἔπειτα διαπαντὸς εὐημερεῖν τοῦ βίου, ὡς καὶ μέχρι θανάτου τὴν εὐημερίαν συνεκτείνεσθαι, καὶ τοιοῦτον τοὺς ἀσεβεῖς ὑπομένειν αὐτόν, ὡς μή τινα ἀνανεύειν εἴ τις αὐτὸν ἔροιτο, εἰ βούλοιτο τοῦ τοιούτου θανάτου τυχεῖν· πρὸς δὲ τοῦτο καὶ εἰ ἄρα συνέβη ἐπὶ τῇ ἁμαρτίᾳ αὐτῶν μάστιξ ἐπιστρεπτική, ταύτην μὴ εἶναι χαλεπήν, ἀλλ' ἐλαφράν τε καὶ εὐπαρακόμιστον· ἐφ' ἅπασι δὲ τούτοις τὸ μὴ τῶν ἀνθρωπίνων συναπολαύειν κόπων, μηδὲ δέεσθαι τῆς καθ' ἡμέραν ἐργασίας εἰς διατροφὴν ἀναγκαίων τροφῶν. Οὗτος γὰρ αὐτῶν ὁ διὰ χειρῶν κόπος οἷον ἀντὶ μαστίγων τοῖς ἀνθρώποις δέδοται.

«Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία», εἰς τέλος. Ἐπειδὴ πάντων μὲν ἀπολαύουσι τῶν ἀγαθῶν, κακοῦ δὲ οὐδενός, τούτου χάριν περισσῶς ἐπετήδευσαν τὴν ὑπερηφανίαν· ἥτις καὶ ἀδίκους καὶ ἀσεβεῖς αὐτοὺς ἀπετέλεσε, καὶ ἐπὶ τοσοῦτον, ὡς καὶ τὰς ἀσεβείας αὐτῶν παχεῖς εἶναι καὶ οἱονεὶ εὐτραφεῖς.

«Διήλθοσαν εἰς διάθεσιν καρδίας.» Ἡ παράνομος εὐημερία, φησίν, ἕξιν αὐτοῖς πονηρὰν εἰργάσατο περὶ τὴν ψυχήν. Καὶ πόθεν δῆλον ἢ ἐκ τοῦ διανοεῖσθαι αὐτοὺς καὶ λαλεῖν πονηρίαν;

«Ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.» Ἐπίτασιν τῆς πονηρίας αὐτῶν σημαίνει, ὡς λοιπὸν καὶ εἰς αὐτὸν τὸν Θεὸν ἀναφέρειν τὴν βλασφημίαν. «Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν.» Βλάσφημα, φησί, προέφερον κατὰ τοῦ Θεοῦ ῥήματα, καὶ ταῦτα ταπεινοὶ ὄντες καὶ τὴν γλῶσσαν ἐπὶ γῆς ἔχοντες.

«Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου.» Διὰ τοῦτο μέντοι ἐπαρθέντας αὐτοὺς καταβληθῆναι. Ὁ δὲ νοῦς οὕτως· Ὠφέλειά τις, φησί, καὶ ἐπιστροφὴ τῷ ἐμῷ λαῷ γενήσεται, ἡ τούτων τιμωρία. Ἑωρακότες γὰρ οἷον τοὺς ἀσεβεῖς διαδέξεται τέλος, οὐκ ἄν ποτε εἰς τοῦτο ἔλθοιεν, ἐφορᾶν τὰ ἀνθρώπινα σαφῶς ἐγνωκότες Θεόν. «Καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.» Ὅταν, φησί, τὴν τοιαύτην κτήσωνται γνώμην, τότε δὴ τότε τῆς ζωῆς αὐτῶν τὸν χρόνον καλῶς ἀναπληρώσουσι, κατὰ τὸ εἰρημένον ὅτι· «Ἐκοιμήθη πλήρης ἡμερῶν·[1]»

1. Γεν. 25, 8.

τουτέστι πλήρεις αἱ ἡμέραι αὐτῶν παντὸς γεγόνασιν ἀγαθοῦ.

«Καὶ εἶπαν, πῶς ἔγνω ὁ Θεός;» Ὁ μὲν ἐμὸς λαός, φησίν, ἐκ τοῦ καταβληθῆναι τοὺς ἀσεβεῖς ὠφεληθήσεται. Οἱ δὲ προλεχθέντες δυσσεβεῖς καὶ ἄθεοι οὕτως ἠσέβουν, ὡς σκάνδαλον γενέσθαι τοῖς ὁρῶσι τὸν βίον αὐτῶν, καὶ ἀμηχανεῖν καὶ λέγειν· Εἰ ἄρα ἐφορᾷ τὰ ἀνθρώπινα ὁ Θεός; Τὸ γάρ, «Πῶς ἔγνω», ἀντὶ τοῦ, Πῶς γινώσκειν τὰ καθ' ἡμᾶς καὶ διοικεῖν λέγεται, καὶ πῶς γνῶσιν ἔχει τῶν ἡμετέρων;

«Ἰδοὺ οὗτοι ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέσχον πλούτου.» Τὸ αἴτιον τοῦ σκανδάλου τῶν ὁρώντων εὐθηνουμένους τοὺς ἀσεβεῖς παρατίθεται. Τοῦτο δέ ἐστι τὸ διαιωνίζειν αὐτοὺς κατὰ τὸν παρόντα βίον τῇ εὐημερίᾳ. «Καὶ εἶπα· ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου.» Κἀγώ, φησί, ταῦτα ὁρῶν, ἐθορυβούμην τοῖς λογισμοῖς, κατ' ἐμαυτὸν ἐννοῶν, μήπως ἄρα ὁ ὑπὲρ ἀρετῆς πόνος ἔσται μοι μάταιος. Ἦν δὲ ὁ πόνος τὸ δικαιοσύνην ἀσκεῖν, καὶ τὸ καθαρεύειν ἀδίκου πράξεως, καὶ τὸ ὑπὲρ τῶν προτέρων ἁμαρτημάτων ἑαυτὸν μαστίζειν τῇ ἐξομολογήσει, καὶ εἰς τοῦτο ὥσπερ ἐκ κοίτης διανίστασθαι εἰς τὸ ὑπὲρ τῶν ἁμαρτημάτων κακοῦν ἑαυτόν.

«Εἰ ἔλεγον· διηγήσομαι οὕτως· ἰδοὺ τῇ γενεᾷ υἱῶν σου ἠσυνθέτηκα.» Ταῦτα, φησίν, ἐνενόουν κατ' ἐμαυτόν, ὡς, εἰ τούτους τοὺς ὑπεισελθόντας μοι λογισμοὺς ἑτέροις ἐπαγγείλω (οὗτοι δὲ ἦσαν τό· «Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου»), παντὸς σκανδάλου αὐτοῖς γενοίμην αἴτιος. Τοῦτο δὲ ποιῶν παρέβαινον τῶν σῶν υἱῶν τὰς συνθήκας, τῶν δικαίων ἀνδρῶν δηλαδή. Αὗται δὲ ἦσαν τῶν ἁγίων αἱ συνθῆκαι, τὸ μὴ ἀλλήλοις σκανδάλου αἴτιος γίνεσθαι.

«Καὶ ὑπέλαβον τοῦ γνῶναι τοῦτο, κόπος ἐστὶν ἐνώπιόν μου.» Ὑπονοήσας, φησί, τὰ οὕτω βαθέα γνῶναι κρίματα, ἐν κόπῳ ἐνέβαλλον ἐμαυτόν, ἅτε βαθέων ὄντων καὶ ἀνεξερευνήτων. Πλὴν τὸν δέοντα εἰς τὴν τούτων γνῶσιν πεπόρισμαι ἐμαυτῷ καιρόν· οὗτος δὲ ἦν ὁ τοῦ θείου δικαστηρίου καιρός, ὅτε ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.[1]

«Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά», κ.τ.λ. Ἐγὼ μέν, φησίν, ἐπιτήδειον τῆς ἀκριβοῦς περὶ τούτων γνώσεως ἐθέμην ἐμαυτῷ τὸν μέλλοντα καιρόν· ὅπως, τῷ προφητικῷ πνεύματι γνοὺς τὰ ἐσόμενα, φημί, ὡς αἰτία πικρῶν κολάσεων αὐτοῖς ἡ τοῦ τρόπου δολιότης γενήσεται. Ἔσται γὰρ αὐτῶν εἰς πτῶσιν τὸ ὕψωμα. Καὶ οὗτος ὁ παρὼν αὐτοῖς κριθείη πλοῦτος ὥσπερ ἂν καὶ τῶν ὀνειρωττόντων τὰ φάσματα ἀνυπόστατα καὶ πάσης σκιᾶς ἀσθενέστερα.

«Καὶ ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.» Πόλις μὲν τοῦ Κυρίου ἡ ἄνω Ἱερουσαλήμ, «εἰκὼν» δὲ «αὐτῶν» ἡ τοῦ χοϊκοῦ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ἐπειδὴ τὴν τοῦ χοϊκοῦ, φησί, πεφορήκασιν εἰκόνα, καὶ οὐ τὴν τοῦ ἐπουρανίου [2], ταύτῃ τοι καὶ ἐξουδενω-

1. Ῥωμ. 2, 6. 2. Πρβλ. Α' Κορ. 15, 49.

θήσονται· ἀκούσονται γὰρ κατ' ἐκεῖνο καιροῦ· «Οὐκ οἶδα ὑμᾶς·[1]» ἅτε μὴ φοροῦντες τὴν αὐτοῦ τοῦ ἐπουρανίου εἰκόνα.

«Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν, κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων», κ.τ.λ. Ἐπειδὴ «ζηλῶν ἐζήλωκα τῷ Κυρίῳ[2]», ὡς καὶ τὴν καρδίαν καὶ τοὺς νεφροὺς πληρωθῆναι ζήλῳ πυρός, τούτου χάριν ἠξιώθην φωτισθῆναι καὶ γνῶναι τὰ περὶ τῆς σῆς πόλεως πεποιημένα, καὶ τὰ περὶ τῆς εἰκόνος τῶν ἀσεβῶν. Ἀλλὰ δίκην κτήνους ἀλόγου διετέλεσα πρότερον, μὴ δυνάμενος ἐπιβαλεῖν τοῖς τῆς Προνοίας λόγοις. Ὅμως οὐκ ἀπελιπόμην σοῦ τοῦ Θεοῦ, οὐδὲ ἐξέπιπτον τῆς ἐπὶ σὲ ἐλπίδος, συνήμην δὲ «σοι διαπαντός.[3]» Καὶ τοῦτο ἔπραττον οὐκ ἐξ ἐμῆς δυνάμεως, ἀλλ' ἐκ τῆς σῆς χάριτος. Σὺ γὰρ αὐτός, τῇ σαυτοῦ φιλανθρωπίᾳ τῆς ἐμῆς δεξιᾶς ἐπιλαβόμενος, συνεῖχες καὶ συνεκράτεις πρὸς τὸ μὴ διασεισθῆναί μου τὰ διαβήματα, μηδὲ τοὺς πόδας μου σαλεύεσθαι τῆς παρὰ σοὶ στάσεως.

«Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ γῆς», κ.τ.λ. Ἐπειδὴ οὐδέν μοι, φησίν, ὑπάρχει ἐν τῷ οὐρανῷ, πλὴν σοῦ μόνου, ἀναγκαίως οὐδέ τι τῶν ἐπὶ γῆς ἠθέλησα δέξασθαι ἅτε φθαρτῶν ὄντων ἁπάντων καὶ προσκαίρων. Ἑνὸς δὲ μόνου ηὐχόμην τυχεῖν, καὶ τῷ τούτου πόθῳ κατέτρυχον ἐμαυτὸν ἐπὶ τῆς γῆς· τοῦτο δέ ἐστι τὸ σὲ μερίδα μοι καὶ μόνην γενέσθαι.

«Ἰδοὺ ὅτι οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται», κ.τ.λ. Τῆς σῆς ἀντεχόμην, ὦ Δέσποτα, συναφείας, φησί· καὶ τοῦτο καλῶ, εἰδώς, ὡς τῶν ἔξω σοῦ τυγχανόντων ὄλεθρος ἔσται τὸ πέρας. Οἱ δὲ συνόντες ἀγαθὴν ἕξουσι μερίδα. Συμβήσεται γὰρ αὐτοῖς, ἐν τῇ ἐπουρανίῳ γενομένοις Ἱερουσαλήμ, τὴν καλὴν μερίδα κληρονομεῖν. Αὕτη δέ ἐστι τὸ τοῖς σοῖς ὕμνοις ἐντρυφᾶν ἀεί.

Συνέσεως τῷ Ἀσάφ.

ΟΓ'.

Ὑπόθεσις.

Ἱκετηρίαν ἐν τούτοις ὁ προφήτης ᾄδει, τὴν ἔσχατον ὁρῶν αἰχμαλωσίαν τοῦ Ἰσραήλ· ὅπως ἂν μὴ εἰς τὸ παντελὲς αὐτοὺς ἐξέλῃ τῆς πρὸς αὐτὸν οἰκειώσεως, καταλείπῃ δέ τινα αὐτοῖς εἰς σωτηρίαν ἀφορμήν. Διαγράφει δὲ καὶ τὴν ἅλωσιν τὴν συμβᾶσαν αὐτῇ τε τῇ πόλει καὶ τῷ θείῳ ναῷ.

«Ἵνα τί, ὁ Θεός, ἀπώσω εἰς τέλος;» Ὅμοιον τῷ· Ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ ἤδη εἰς τέλος. Οὐ γὰρ ἔτι ἀνάπαυλαν ἕξονται τῶν κακῶν.

«Μνήσθητι τῆς συναγωγῆς σοι ἧς ἐκτήσω ἀπ' ἀρχῆς.» Διὰ τῶν

1. Ματθ. 25, 13. 2. Γ' Βασ. 19, 10. 3. Ψαλμ. 72, 23.

Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. «Ἐλυτρώσω ῥάβδῳ τὴν κληρονομίαν σου.» Ἀπὸ κοινοῦ τό· Μνήσθητι ἧς ἐλυτρώσω ῥάβδῳ κληρονομίας σου· τουτέστι κληρονομίας εἰς βασίλειον ηὐτρεπισμένης, καθ' ὃ πρὸς αὐτοὺς εἴρηται. Ἔσεσθέ μοι ἐξ ἁπάντων τῶν ἐθνῶν γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα.[1] «Ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ.» Διὰ τὸ ἐπιφαίνεσθαι ἐν τῷ θείῳ ναῷ τὸν Θεόν.

«Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος.» Τῶν καταστρατευσαμένων κατὰ τοῦ θείου ναοῦ.

«Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.» Ἐπειδὴ ἐν τῷ Πάσχᾳ τῇ ἑορτῇ τὸν κατὰ τοῦ Κυρίου ἤραντο πόλεμον, τούτου χάριν ἐν αὐτῷ τῷ καιρῷ τοῖς πολεμίοις παρεδόθησαν. Τῷ γὰρ Πάσχα συνηγμένων κατὰ τὸν νόμον τῶν Ἰουδαίων ἁπάντων, ἡ πολιορκία γεγένηται δικαίως ἐν ᾧ καιρῷ καὶ τῷ σταυρῷ τὸν Σωτῆρα προσήλωσαν.

«Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα.» Τὰ σύμβολά φησι τοῦ πολέμου· λέγει δὲ τὰ καλούμενα παρὰ τοῖς στρατεύμασι σίγνα, ὅτι ἔθεντο εἰς τὴν ὁδὸν τῆς πόλεως. Καὶ οὐ μέχρι τούτων ἔστησαν· ἀλλὰ καὶ ὑπερήλαντο, φησί, τουτέστι καὶ εἰς αὐτὸν τὸν θεῖον ναὸν εἰσεπήδησαν, οὐ γινώσκοντες, ὅτι Θεὸς ἦν ὁ παραδιδοὺς τὴν πόλιν αὐτοῖς διὰ τὴν τῶν ἐνοικούντων ἀσέβειαν. Ἅτε δὴ τοῦτο ἀγνοήσαντες, τὴν μὲν οἰκείαν ἀπεθαύμασαν δύναμιν, ἀσθένειαν δὲ κατεψηφίζοντο τοῦ ἐν τῷ θείῳ ναῷ προσκυνουμένου Θεοῦ. Διὸ προϊών φησιν· «Ἕως πότε, Κύριε, ὀνειδιεῖ ὁ ἐχθρός;» Τὸ δὲ ἀναδιπλασιάσαι ἐν τῷ κατονομάζειν τὰ σημεῖα ἀποθαυμάζοντος εἴη πῶς ὁ θεῖος ναὸς ταῖς τῶν πολεμίων παρεδόθη χερσίν.

«Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς», κ.τ.λ. Διαγράφει ἐν τοῖς προκειμένοις τῆς τε πόλεως τοῦ τε θείου ναοῦ τὴν καταστροφήν. Ὑλοτομικοῖς καὶ τεκτονικοῖς ὀργάνοις χρώμενοι, καὶ τοὺς περιβόλους κατέλυον, καὶ τῶν οἰκιῶν τὰς θύρας συνέκοπτον, τὰ εὖ καὶ καλῶς ἠσκημένα ὡς δρυμὸν διαφθείροντες.

«Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου», κ.τ.λ. Μετὰ πολλῆς ἐπελθόντες ἡμῖν τῆς συμφορᾶς, ἕνα σκοπὸν εἶχον, τὸν ὑπὸ σοῦ δεδομένον καταλῦσαι νόμον. Διὰ γὰρ «τῶν ἑορτῶν» τὴν κατὰ νόμον λατρείαν ἐδήλωσε. Ταῦτα δέ, φησίν, ἐτόλμων, μήτε τὰς ἐπὶ τῶν προγόνων ἡμῶν ὁρῶντες θαυματουργίας, μήτε ὑπὸ προφητικῆς ἐλεγχόμενοι χάριτος. Τούτων γὰρ ἁπάντων ἐξαίφνης κατέστησαν ἔρημοι. Πάλαι γὰρ καὶ μετὰ τὴν ἐπάνοδον ἔσχον προφήτας, τὸν Ἀγγαῖον, τὸν Ζαχαρίαν, τὸν Μαλαχίαν. Καὶ οἱ τούτων δὲ πρεσβύτεροι προφῆται τῷ λαῷ καὶ τοῖς βασιλεῦσι προὔλεγον τὰ ἐσόμενα, καὶ τῶν πολεμίων τὰς ἐπιβουλὰς καταδήλους ἐποίουν. Καὶ τοῦτο ἐκ τῆς ἱστορίας καταμαθεῖν εὐπετές.

1. Α' Πέτρ. 2, 9.

«Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν.» Ἐκεῖνοι μὲν παρώξυνον ἀλλήλους, εἰς τὸ παύσειν ἔτι τελουμένας τὰς ἑορτὰς τοῦ Κυρίου, καὶ δὴ τοῖς λόγοις προσήγαγον τὰ ἔργα· ἡμεῖς δὲ καθ' ὃν ταῦτα ἐπράττετο, οὐ γεγόναμεν θεαταὶ τῶν σημείων ἐκείνων ὧν πολλάκις ἐπὶ προτέροις πολέμοις αὐτόπται γεγενήμεθα. Ταῦτα δὲ ἦν τὰ σημεῖα, ἐπικουρία τῶν συνεχόντων δεινῶν. Διὸ δὴ ὡς τούτων μὴ γενόμενοι θεαταί φαμεν· «Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος; Οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.» Καὶ τοῦτο ἡμᾶς μάλιστα ἀπευδοκεῖν τῆς σωτηρίας ποιεῖ, τὸ μηκέτι ἐν τῷ ἔθνει προφήτην ὁρᾶν τὸν δυνάμενον ὑπὲρ ἡμῶν ἐκδυσωπεῖν τὸν Θεόν.

«Ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός;» Πληρώσας τὴν διαγραφὴν τῆς ἁλώσεως ἀπὸ τοῦ προσώπου τῶν ἐχθρῶν, εἰς ἔλεος ἐκκαλεῖται τὸν Θεόν, καὶ θέαν, πῶς τὰ γινόμενα πάντα εἰς ὕβριν τοῦ Θεοῦ· τῷ τε εἰπεῖν· «Ἐν μέσῳ τῆς ἑορτῆς σου», καὶ τό, «Ἁγιαστήριόν σου», καὶ τό, «Σκήνωμα τοῦ ὀνόματός σου», καί, «Τὰς ἑορτὰς τοῦ Κυρίου», καί, «Τὸ ὄνομά σου εἰς τέλος.»

«Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου», κ.τ.λ.; Ἵνα τί, φησίν, ἀνακόπτεις τῶν ἀγαθῶν τὴν δόσιν, ὧν πάλαι ὥσπερ ἐκ κόλπου παρεῖχες ἡμῖν.

«Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος.» Νῦν μέν, φησίν, ἀνακόπτεις ἐξ ἡμῶν τῶν ἀγαθῶν τὴν ἀναφοράν· πάλαι δέ, καὶ Θεὸς ἡμῶν ἀξιῶν προσαγορεύεσθαι καὶ βασιλεύς, τοιαύτην ἡμῶν ἐποιήσω τὴν σωτηρίαν ὡς μηδένα λαθεῖν τῶν ἐπὶ γῆς. «Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.» Ἐντεῦθεν λαβόντες τινὲς ἀπεφήναντο τὰ Ἱεροσόλυμα ὀφθαλμὸν εἶναι τῆς γῆς.

«Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.» Διαγράφει τῷ λόγῳ τίνι τρόπῳ τὴν πάλαι αὐτῶν σωτηρίαν εἰργάσατο. Καὶ πρῶτον μὲν τὸ παγῆναι ὡσεὶ τεῖχος τῆς θαλάσσης τὰ ὕδατα, ὅτε ἐξ Αἰγύπτου ἐξήεσαν· καὶ τοῦτό ἐστι τό, «Ἐκραταίωσας τὴν θάλασσαν·» δεύτερον δέ, τὸ συντριβῆναι τὴν Αἰγυπτίων ἐπὶ τῶν ὑδάτων κεφαλήν, οὓς καὶ δράκοντας διὰ τὸ πονηρὸν τῆς γλώσσης ὀνομάζει· εἶτα μετ' αὐτῶν καὶ αὐτοῦ τοῦ ἐξάρχοντος αὐτῶν βασιλέως, ὃν καὶ αὐτὸν ὁμοίως δράκοντα προσαγορεύει.

[«Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν.» Τὸν Φαραὼ σὺν τριστάταις καὶ ἅρμασι συντρίψας ὡς δρακοντείας κεφαλάς, διὰ τὸ πονηρὸν τῆς γνώμης, ἐπὶ τοῦ ὕδατος· ὡς τοὺς Αἰγυπτίους πλησιοχώρους Αἰθίοψιν ὄντας παρέδωκας αὐτοῖς εἰς κατάβρωμα, αὐτοὺς καὶ τὸν βασιλέα αὐτῶν ἥττησας ἀπὸ προσώπου Αἰθιόπων].

«Ἔδωκας αὐτὸν βρῶμα λαοῖς Αἰθίοψιν.» Αὐτὸν τὸν Φαραώ, μετὰ τῆς στρατείας δὲ δηλονότι. Λαοὺς δὲ ἐνταῦθα τὰς τῶν παρὰ Ἰνδοῖς ὀρνέων ἀγέλας φησίν· αἳ καὶ τῶν Αἰγυπτίων κατήσθιον τὰ σκηνώματα ἐκριφέντα ἀπὸ τῆς θαλάσσης ἐν τῇ γῇ,

«Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους.» Τὰ ἐν τῇ ἐρήμῳ φησίν, ὅτε ἐπότισε τὸν λαὸν ἐκ πέτρας. «Σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.» Ἠθὰμ ἑρμηνεύεται «νότος·» εἰς νότον γὰρ τῆς Ἰουδαίων χώρας ὁ Ἰορδάνης κεῖται.

«Σή ἐστιν ἡ ἡμέρα καὶ σὴ ἡ νύξ.» Οὐ μόνον, φησί, τῶν ἐν Ἐρυθρᾷ θαλάσσῃ καὶ τῶν ἐν τῇ ἐρήμῳ γέγονας ἡμῶν χορηγός· ἀλλὰ καὶ σύμπαντι τῶν ἀνθρώπων γένει ἀγαθῶν γεγένησαι πρόξενος· τοῦτο μὲν ἡμέραν καὶ νύκτα δημιουργήσας, τοῦτο δὲ ἥλιον καὶ σελήνην, τοῦτο δὲ θέρος καὶ ἔαρ, τοῦτο δὲ πήξας ὅρια ἐν τῇ γῇ. Ταῦτα δὲ νῦν φησι καὶ εἰς τὴν νῦν ἐπικουρίαν αὐτὸν ἐπικαλούμενος. Διό φησι· Μνήσθητι ταύτης τῆς κτίσεως σου. Εἰ διὰ τοὺς ἀνθρώπους, φησί, τὴν κτίσιν ἐποίησας, παράσχου τὴν ἐπικουρίαν δι' οὓς ἡ κτίσις ἐγένετο.

«Μνήσθητι ταύτης, ὁ ἐχθρὸς ὠνείδισέ σε, Κύριε.» Ἐπικαλεσαμένου διὰ τῆς κτίσεως εἰς οἶκτον τοῦ λαοῦ τὸν Θεόν· πάλιν ἑτέρῳ τρόπῳ αὐτὸν εἰς οἶκτον ἐπικαλεῖται. Οὗτος δέ ἐστιν ὁ τρόπος τὸ μέγα φρονεῖν τὸν ἐχθρόν. «Καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.» Ὅρα πάλιν ἕτερον οἰκτιρμοῦ τρόπον, διὰ τὸ τοὺς ἐχθροὺς παροξῦναι τὸ ὄνομα αὐτοῦ.

«Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι.» Ἐπανέτεινε τὸν τρόπον τῶν οἰκτιρμῶν, θηρία τοὺς ἐχθροὺς ἀποκαλέσας· ὡς ἔχοντάς τι τοὺς ἡμαρτηκότας συγγνώμης διὰ τῆς ἐξομολογήσεως. Τοῦτο δὲ εὔχεται μὴ ὁμοτρόπως ἀπολέσθαι τὸν Ἰσραήλ, ὃ γέγονε Πολλαὶ γὰρ καὶ τῶν σταυρωσάντων μυριάδες ἐπίστευσαν, καὶ ἐσώθησαν.

«Ἐπίβλεψον εἰς τὴν διαθήκην σου.» Ἕτερος πάλιν οἰκτιρμοῦ τρόπος· ἀφ' ὧν γὰρ ἀγαθὸς περὶ αὐτοὺς ἐγένετο διαθέμενος διαθήκην αὐτοῖς, ἀπὸ τούτων ἐπισπῶνται τὸν ἔλεον. «Ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.» Ὃ λέγει τοιοῦτόν ἐστιν· Εἰ καὶ πλήρεις σκότους γεγόνασιν οἶκοι πολλοὶ διὰ τὰς εἰς σέ, Κύριε, γεγενημένας παρ' αὐτῶν ἀνομίας· ἀλλὰ μὴ πᾶς ὁ λαὸς ἀποστραφῇ, μηδὲ αἰσχύνῃ παραδοθῇ. Εἶχον γάρ τινες ἐν αὐτοῖς σωτηρίας ἐλπίδα, οἳ καὶ διὰ τῶν ἀποστόλων ἐσώθησαν, καὶ μάλιστα διὰ Πέτρου ἐν ταῖς πρώταις δημηγορίαις, ὡς κατὰ τρισχιλίους καὶ πεντακισχιλίους καὶ μυριάδας αὐτοὺς γενέσθαι.

[«Πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.» Σωθέντων, φησί, τῶν σωτηρίας ἀξίων, ὁ πτωχὸς πνεύματι, τουτέστιν ὁ τῶν ἀποστόλων χορός, κατὰ τό, «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι», τάς σοι πρεπούσας ἀναπέμπουσι δοξολογίας.]

«Ἀνάστα, ὁ Θεός, δίκασον τὴν δίκην σου.» Εἰς τὴν τῶν ἀπατησάντων τὸν λαὸν τιμωρίαν ἱκετεύων διανίστησι τὸν Θεόν. «Μνήσθητι τοῦ ὀνειδισμοῦ σου.» Πάλιν διὰ τοῦ αὐτὸν ὀνειδίζεσθαι εἰς οἶκτον ἐπικαλεῖται τὸν Θεόν.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Ἀσάφ.

ΨΑΛΜΟΣ ΟΔ'.

Ὑπόθεσις.

Ἐν τούτῳ πρόσωπον τῶν ἀποστόλων εἰσφέρεται, παραινοῦν τοὺς ἀνθρώπους τῆς ἀσεβείας παύεσθαι, ὑποτιθέμενον αὐτοῖς τὸ φοβερὸν ἐκεῖνο καὶ θεῖον δικαστήριον.

«Ἐξομολογησόμεθά σοι, ὁ Θεός.... Διηγήσομαι πάντα τὰ θαυμάσιά σου.» Διηγεῖσθαι τοῦ Θεοῦ τὰ θαυμάσια ὑπισχνεῖται ὁ ἀποστολικὸς χορός, τῶν διωκόντων ἀπαλλαγείς. «Ἐγὼ εὐθύτητας κρινῶ.» Ταῦτα ὁ Σωτήρ φησιν ὑπακούων αὐτῶν τῇ ὑποσχέσει.

«Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ οἰκοῦντες ἐν αὐτῇ.» Δίκαια, φησί, κρίνων κατέτηξας τὴν γῆν, δηλαδὴ τὴν Ἱερουσαλήμ, «καὶ πάντας τοὺς ἐν αὐτῇ κατοικοῦντας.» Δύναται δὲ τοῦτο διττῶς νοεῖσθαι καὶ ἐπὶ ἀγαθοῦ, τό, «ἐτάκη», ἀντὶ τοῦ, ὑπενδέδωκε τῇ πονηρίᾳ· καὶ ἐπὶ κακοῦ, ἵνα δηλώσῃ τὴν τιμωρίαν τὴν γενομένην κατ' αὐτῶν. «Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς.» Στῦλοι τῆς Ἱερουσαλὴμ οἱ ἅγιοι ἀπόστολοι, κατὰ τὸ εἰρημένον· «Στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας.[1]» [Φησὶν ὁ Ἀπόστολος· «Καὶ γνόντες τὴν δοθεῖσάν μοι Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι.[2]»]

«Εἶπα τοῖς παρανομοῦσι· Μὴ παρανομεῖτε.» Ἐντεῦθεν τῶν ἀποστόλων τὸ πρόσωπον παραινοῦν τῆς ἀσεβείας τοῖς ἀνθρώποις παύσασθαι. [Ταπεινοῖ δὲ Ἰουδαϊκὸν λαὸν διὰ τὴν ὑπερηφανίαν αὐτοῦ· ὑψοῖ δὲ τὸν ἐξ ἐθνῶν διὰ τὴν ταπεινοφροσύνην αὐτοῦ.]

«Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν.» Καὶ γὰρ τὰ κερασφόρα ζῷα σφόδρα ἐπὶ τοῖς κέρασι γαυριᾷ. Παρεγγυᾷ δὲ αὐτοῖς ὁ λόγος μὴ αὔξειν τῇ ἀλαζονείᾳ τὴν ἀνομίαν, μηδὲ κατὰ τοῦ Θεοῦ γλῶτταν κινεῖν.

«Ὅτι οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων.» Διὰ τούτων τὸν πάντα κόσμον τῆς οἰκουμένης δηλοῖ· ἔξοδον μὲν τὴν ἀνατολήν, ἀφ' ἧς ὁ ἥλιος ἔξεισι, δυσμὰς δὲ τὴν ἑσπέραν· ὄρη δὲ ἔρημα τά τε ἀρκτῷα καὶ τὰ νότια· ταῦτα γὰρ δι' ἀμετρίαν κρύους τε καὶ καύσωνος ἀοίκητά ἐστι. Μὴ παρανομεῖτε τοίνυν, φησίν, ὅτι οὐδεὶς ἐν πάσῃ τῇ οἰκουμένῃ λάθοι τὸν Θεὸν βλάσφημόν τι λέγων κατ' αὐτοῦ. «τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ.» Κριτής, φησίν, ὑπάρχων ἀγαθός, ταπεινοῖ μὲν τοὺς ἀσεβεῖς, ὑψοῖ δὲ τοὺς ταπεινοὺς τὴν καρδίαν. Ἐκληπτέον δὲ ταῦτα καὶ ἐπὶ τοὺς δύο λαούς, τῶν Ἰουδαίων τέ φημι καὶ τῶν ἐξ ἐθνῶν· ὁ μὲν γὰρ τεταπείνωται διὰ τὴν ἀλαζονείαν· ὁ δὲ ὑψοῦται διὰ τὴν ταπεινοφροσύνην. Αὐτὸς γὰρ καθιστᾷ βασιλεῖς, καὶ μεθιστᾷ, ἐγείρει ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνίστησι πέ-

1. Α' Τιμ. 3, 15. 2. Γαλ. 2, 9.

νητα. Ἀλλὰ καὶ ταπεινώσας τοὺς ἐκ περιτομῆς, τοὺς ἀπὸ τῶν ἐθνῶν ὕψωσεν.

«Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος.» Ποτήριον, φησίν, ἐστὶν ἐν τῇ τοῦ Κυρίου χειρί, εἰς ὃ ἑκάστου ἀνθρώπου τοὺς καρποὺς καὶ τοὺς ἀγαθοὺς καὶ τοὺς πονηροὺς οἱονεὶ ἐκπιέζων, καὶ τὰ ἀγαθὰ τοῖς πονηροῖς ἀνακιρνῶν, πλῆρες αὐτὸ ἀποτελεῖ. Εἶτα ὧν οὐκ ἐκχεῖται ὁ τρυγίας, τουτέστιν ὧν ἐναπομένουσιν αἱ ἁμαρτίαι, οὗτοι αὐτὸ ἐκπίονται· τουτέστι τοῖς ἰδίοις μεθυσθήσονται κακοῖς· ὥσπερ ἀμέλει καὶ οἱ ἅγιοι πίονται τὸ ποτήριον τῆς ζωῆς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μετὰ τοῦ Κυρίου Ἰησοῦ κατὰ τὴν τοῦ Κυρίου αὐτοῦ φωνήν· «Ἕως οὗ πίω αὐτὸ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μεθ' ὑμῶν.[1]»

«Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ.» Ἐπειδὴ ἄν, φησί, τοῦ ποτηρίου μεταλάβω τῆς ζωῆς, εὐφροσύνη μοι γενήσεται ἐξ αὐτοῦ.

«Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω.» Εἰ, ταπεινουμένων τῶν ἁμαρτωλῶν εἰς ὕψος αἴρεται τὸ κέρας, δηλονότι καὶ ὑψουμένων ἁγίων, συντριβήσονται τῶν ἁμαρτωλῶν τὰ κέρατα. Τίνες δὲ ἂν εἶεν οἱ ἁμαρτωλοὶ ἢ οἱ ἀντικείμενοι τοῖς τοῦ Θεοῦ ἀνθρώποις πονηροὶ δαίμονες; «Καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου.» Κέρας μὲν τὴν βασιλείαν φησίν, ἤτοι τὴν δυναστείαν. Ἐπειδὴ ἂν οὖν, φησί, τὴν ἰσχὺν λάβωσιν οἱ δίκαιοι, ἀνῃρημένων δηλαδὴ τῶν πονηρῶν δυνάμεων, τότε δὴ τότε καὶ τοῦ Θεοῦ δειχθήσονται τὰ θαυμάσια. Διὸ καὶ ἀρχόμενος τοῦ ψαλμοῦ ἔλεγεν· «Διηγήσομαι τὰ θαυμάσιά σου, ὅτ' ἂν λάβω καιρόν.»

Εἰς τὸ τέλος, ἐν ὕμνοις, ΨΑΛΜΟΣ τῷ Ἀσάφ, ᾠδὴ πρὸς τὸν Ἀσσύριον.

ΟΕ'.

Ὑπόθεσις.

Καὶ οὗτος ὁ ψαλμὸς τῆς αὐτῆς ἔχεται ὑποθέσεως τῷ ὀπίσω· καὶ αὐτὸς γὰρ τὰ περὶ τοῦ θείου δικαστηρίου διηγεῖται.

«Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, καὶ ἐν Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.» Ἰουδαίαν ἐνταῦθα καὶ Ἰσραὴλ τὴν ἐγνωκυῖαν τὸν Θεὸν ψυχήν φησιν· αὕτη γάρ ἐστιν ἡ ἀληθὴς Ἰουδαία καὶ ὁ ἀληθὴς Ἰσραήλ.

«Ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ.» Εἰ γὰρ περὶ τῆς ἄνω Ἰουδαίας γέγραπται, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός, δηλονότι εἰρήνης ἔσται τόπος. «Καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών. » Τῇ νοητῇ φησιν, ἤτοι τῇ ἄνω, ἢ τῇ τῶν ἁγίων ψυχῇ.

[«Ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ.» Τῇ τῶν ἁγίων ψυχῇ. Τὸ Ἑβραϊκὸν «Σαλὴμ» ἔχει, καὶ οἱ λοιποὶ οὕτως ἡρμήνευσαν· ὅ ἐστιν

---

1. Ματθ. 26, 29.

«εἰρήνη.» Ἐν ταύτῃ οὖν ἢ τῇ ψυχῇ, ἢ τῇ Ἐκκλησίᾳ τὰ πεπυρωμένα βέλη, ἃ ὁ πονηρὸς πέμπει, συντρίβονται, ἢ τῇ ἄνω Ἱερουσαλήμ.]

«Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων.» Σημαίνει διὰ τούτων τὰς ἀντικειμένας δυνάμεις· αἳ συντρίβονται, ἐπειδὴ ἂν οἱ ἅγιοι τὰς ἐκεῖ λάχωσι κατοικεῖν μονάς.

«Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων.» Ὄρη αἰώνια τοὺς οὐρανούς φησι. Φωτίζει δὲ ἡμᾶς ἄνωθεν ὁ Θεός, τὸ Πνεῦμα ἡμῖν καταπέμψας ἐξ οὐρανῶν. «Φωτισμὸς σὺ ὑπερμεγέθης ἀπὸ ὀρέων ἁλώσεως. Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων θήρας. Φοβερὸς εἶ θαυμαστῶς ἀπὸ ὀρέων καρπίμων.»

[«Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων.» Ἐκεῖθεν καταπέμπει τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ ὀρέων αἰωνίων· τὴν Σιὼν λέγει, ἀφ' ἧς ᾤοντο τὸν Θεὸν ὁρμώμενον ταῦτα ποιεῖν· οὗ καὶ ναὸς αὐτῷ ᾠκοδόμητο.]

«Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ.» Οἱ μὴ δεξάμενοι τὸν φωτισμὸν τὸν διὰ τοῦ Πνεύματος, ἐν ταράχῳ καὶ σάλῳ γενήσονται, τοῦ θείου ἐπιφανέντος δικαστηρίου. «Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν.» Ἀμελείᾳ, φησί, καὶ ῥαθυμίᾳ παραδεδωκότες τὸν βίον κατὰ τὸν καιρὸν τῆς θείας κρίσεως, ὡς οὐδὲν εὗρον ἑαυτοὺς εἰς τὰς χεῖρας κατέχοντας, οἱ πάλιν ἐν τῷ θνητῷ βίῳ πλούσιοι. Πῶς γὰρ καὶ εἶχον εὑρεῖν ἃ οὐκ εἰργάσαντο; «Πάντες οἱ ἄνδρες τοῦ πλούτου χερσὶν αὐτῶν.» Ὁ δὲ Σύμμαχος οὕτως· «Πάντες οἱ ἄνδρες οἱ ἰσχυροὶ τὰς χεῖρας αὐτῶν» Οὐδὲν αὐτούς, φησίν, ὤνησε τῶν χειρῶν ἡ ῥώμη, δι' ἧς τῶν ἁπάντων ἁρπάσειν προσεδόκησαν πλοῦτον. Καὶ διδάσκων τί δήποτε οὐδὲν ἐντεῦθεν ἀπώναντο, ἐπήγαγεν·

«Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις.» Ἐξενεχθείσης, φησί, τῆς κατ' αὐτῶν δικαίας ψήφου, οἱονεὶ ὕπνῳ καὶ κάρῳ παραδέδονται· τουτέστιν ἀνανεύειν οὐκ ἴσχυσαν. Τίνες δὲ οὗτοι ἢ οἱ ἐπιβεβηκότες τοῖς ἵπποις; Ἵππους δὲ ἡ θεία Γραφὴ ἐξ ἔθους καλεῖ τοὺς ἀσχέτως ἐκκεκλικότας πρὸς ἡδονάς· κατὰ τό, «Ἵπποι θηλυμανεῖς ἐγενήθησαν· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν.[1]»

«Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι;» Ἐὰν γὰρ κλείσῃ κατὰ ἀνθρώπου, τίς ἀνοίξει; κατὰ τὴν Ἡσαΐου φωνήν.[2]

«Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν.» Οὐδεμίαν, φησίν, ἀπολογίαν ἕξουσι κολαζόμενοι· προεκήρυξε γὰρ αὐτοῖς τὰ περὶ τοῦ θείου δικαστηρίου. «Γῆ ἐφοβήθη, καὶ ἡσύχασε.» Γῆν ἐνταῦθα πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν φησίν, ἣ καὶ δειλιάσει τότε. Οὐδεὶς γὰρ ἔσται τότε ὃς οὐ φοβηθείη, ἐκείνης ἐπιστάσης τῆς ἡμέρας.

[Οὐράνιος γάρ, φησί, Θεὸς ὤν, ἔκρινας, καὶ τὴν κρίσιν ἐποίησας ἔνδηλον, τιμωρήσας τοὺς πολεμίους τῆς Ἱερουσαλήμ.]

---

1. Ἱερ. 5, 8. 2. Πρβλ. Ἡσ. 22, 22.

«Εἰς τὸ ἀναστῆναι εἰς κρίσιν τὸν Θεόν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς.» Τὸ θεῖον, φησί, δικαστήριον τοῖς πραέσιν ἀποδώσει τὴν σωτηρίαν· ὥσπερ ἀμέλει καὶ τοῖς ἁμαρτωλοῖς τὰς κολάσεις ἀποδίδωσιν.

«Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι.» Παραστησόμεθα ἐν ἐκείνῳ τῷ φοβερῷ βήματι, οὐ μόνον ὧν ἐπράξαμεν, ἀλλὰ καὶ ὧν βεβουλεύμεθα εὐθύνας ἀπαιτούμενοι. «Καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.» Ἐγκατάλειμμα ἐνθυμίου ὁ κεκαθαρμένος ἐστὶ λογισμός, κατὰ τὸ λεῖμμα κατ' ἐκλογὴν χάριτος. Ἐπειδὴ ἂν οὖν, φησίν, ἐν ἐκείνῳ τῷ καιρῷ καθαρὸς εὑρέθη λογισμός, τότε δὴ τότε καὶ τῆς σῆς μεταλάβοι ἑορτῆς.

[Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι. Ὅτι πᾶσα γλῶσσα, καὶ πᾶς λογισμὸς καὶ ἐνθύμημα ἐξομολογήσεται τῷ Κυρίῳ ἐν τῷ τῆς κρίσεως καιρῷ, ὅτε καὶ τὰ κρυπτὰ θριαμβεύονται.]

«Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ὑμῶν.» Ἐπὶ παραίνεσιν ὁ λόγος τρέπεται. Ἐπειδὴ τὰ εἰρημένα, φησίν, ἔσται ἐν τῷ θείῳ δικαστηρίῳ, τούτου χάριν ἕως ἐστὲ ἐν τῷ παρόντι βίῳ, εὔξασθε τῷ Κυρίῳ ἀγαθῶν ἔργων εἶναι ἐπιμεληταί, καὶ τούτων μὴ βραδύνητε ποιήσασθαι τὴν ἀπόδοσιν. Κομιοῦσι δὲ τὰ δῶρα, ὑπὸ τῶν γεγενημένων ἐκδειματωθέντες θαυμάτων.

«Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων.» Ἐπαγγείλασθε, φησίν, ἀγαθοεργεῖν, εἰδότες, ὡς δεῖ ὑμᾶς ἐν ἐκείνῳ γενομένους τῷ τόπῳ, οἱονεὶ δῶρα τὰς ἑαυτῶν πράξεις προσαγαγεῖν τῷ Θεῷ. Οὕτως δὲ ὁ Θεὸς φοβερός ἐστιν, ὡς καὶ ἀπὸ τῶν πάλαι ἀρξάντων καὶ γενομένων πονηρῶν τὸ πνεῦμα ἀφαιρεθήσεται. Ἐν γὰρ ἐκείνῳ τῷ θείῳ καὶ φοβερῷ βήματι ἐξ ἑκάστου τῶν ἡμαρτηκότων ἀφαιρεῖται τὸ δοθὲν διὰ τοῦ βαπτίσματος. Καὶ τοῦτό ἐστιν ὃ ὁ Κύριος ἔλεγε· «Διχοτομήσει τὸν δοῦλον τὸν πονηρὸν ἐλθὼν ὁ κύριος αὐτοῦ, καὶ τὸ μέρος αὐτοῦ μετὰ τὸν ἄπιστον θήσει.[1]»

Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούμ, ΨΑΛΜΟΣ τῷ Ἀσάφ.

ΟϚ'.

Ὑπόθεσις.

Ἀκούσας Ἰδιθοὺμ τὰ λεγόμενα περὶ τοῦ λαοῦ τῶν Ἑβραίων· ταῦτα δὲ ἦν τάδε· «Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος;» ὑπερήλγει καὶ ἐταράττετο, τὴν παντελῆ αὐτῶν ἀποβολὴν θρηνῶν. Εἶτα συντίθησιν αὐτῷ ὁ Ἀσὰφ ψαλμόν, διδάσκων αὐτόν, ὡς ἐν τοῖς περὶ τούτων πράγμασι πρὸς μόνον τὸν Θεὸν καταφεύγειν δεῖ, κἀκεῖθεν τὴν παραμυθίαν εὑρίσκεσθαι· διὸ καὶ ἀρχόμενός φησι·

1. Λουκ. 12, 46.

«Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μου.» Διδάσκει ἀρχόμενος τοῦ ψαλμοῦ τῷ Ἰδιθούμ, ὡς ἐγγὺς Κύριος τοῖς ἐπικαλουμένοις αὐτόν.

«Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην.» Τοσαύτη, φησί, περιέκλυσε θλῖψις τὴν ψυχήν μου, ὡς οὐ μόνον μεθ' ἡμέραν τὰς ἱκετείας ποιεῖσθαι, ἀλλὰ γὰρ καὶ αὐτὸν τὸν καιρὸν τῶν νυκτῶν καταναλίσκειν εἰς προσευχάς. Ἀλλὰ ταῦτα πράττων, οὐκ εἰς κενὸν ἔδραμον, οὐκ εἰς κενὸν ἐκοπίασα καὶ τοῦτό ἐστι τό, «Οὐκ ἠπατήθην.»

«Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην.» Ἀνθρώπων μὲν παραμυθίας, φησίν, οὐδὲ μιᾶς ἠνεσχόμην· μόνη δέ μοι ἡ τοῦ Θεοῦ μνήμη εὐφροσύνη καρδίας ἐγένετο. «Ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου.» Ὅτε, φησί, λογισμοῖς ἀνθρωπίνοις ἐχρώμην· τοῦτο γάρ ἐστι τό, «Ἠδολέσχησα», τότε δὴ τότε καὶ εἰς ὀλιγωρίαν κατεφερόμην.

«Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου, ἐταράχθην καὶ οὐκ ἐλάλησα.» Τοῦτο γάρ, φησί, ταράττεσθαι ποιεῖ τῶν ἐχθρῶν προκαταλαβόντων τῶν ἡμετέρων φυλακῶν τοὺς τόπους· τουτέστι τῶν τειχῶν τὰς ἐπάλξεις.

«Διελογισάμην ἡμέρας ἀρχαίας.» Ἐκεῖνα, φησίν, ἐνενόουν κατ' ἐμαυτόν, καὶ ἐταραττόμην πῶς πάλαι μὲν ὁ Θεὸς ἐβοήθει τῷ λαῷ, νυνὶ δὲ ἀπώσατο. Καὶ τοῦτό μοι τὴν ἀθυμίαν ἐκίνει, τὸ μὴ ἄρα εἰς τὸ διηνεκὲς αὐτῶν ἡ ἀποστροφὴ γένηται. Ὑπεμιμνησκόμην ἐκείνων τῶν παλαιῶν ἡμερῶν.

«Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.» Κινῶν, φησί, τοὺς περὶ τῆς ἀποβολῆς τοῦ ἔθνους λογισμούς, ὀψέ ποτε συνῆκα, ὡς ἡ μεταβολὴ αὕτη ἡ ἐξ ἀγαθῶν εἰς κακὰ γεγενημένη τῷ ἔθνει δι' οὐδὲν ἕτερον γεγένηται ἢ διὰ τὴν τοῦ Ὑψίστου δεξιάν. Ὡς εἰ σαφέστερον ἔλεγεν· Διὰ τὰ κατὰ τοῦ Σωτῆρος Χριστοῦ πεπραγμένα, ὅς ἐστι δεξιὰ τοῦ Πατρός.

«Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου.» Ἐνενόησα, φησίν, ὅσα αὐτὸς αὐτοῖς ἐνεδείξατο ἀγαθά, οἷα δὲ αὐτῷ ἀνταπέδωκαν κακά.

«Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου.» Εἰ καὶ οὕτως, φησίν, ἐκεῖνοι, ἀλλ' ἐγὼ ἀπὸ τῆς ἀρχῆς ὧν εἰς ἡμᾶς ἤρξω εὐεργεσιῶν, μέχρι τέλους διεξέλθοιμι· τουτέστιν, οὐδὲν τῶν ἐν ἡμῖν γεγενημένων καλῶν λήθῃ παραδῶ.

«Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου.» Ἅγιόν φησιν ἢ τὸν ἡγιασμένον τῶν ἀποστόλων χορόν, μεθ' ὃν ἦν ἐπιτελῶν τὰς παραδόξους θεοσημείας· ἢ ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρὸς τὸν Πατέρα εἰ μὴ διὰ Χριστοῦ, ὅς ἐστι κατὰ ἀλήθειαν ἅγιος ὡς Θεός. «Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν;» Πάντων ὑπερέχεις, Δέσποτα· μόνος γὰρ ἅπερ θέλεις «θαυματουργεῖς.»

«Ἐλυτρώσω ἐν τῷ βροχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ.» Αὐτοῖς γὰρ πρώτοις ἐκήρυξε τὸ Εὐαγγέλιον τῆς βασιλείας τῶν οὐρανῶν. Ὁ βραχίων Κυρίου, τουτέστιν ὁ Χριστός.

«Εἴδοσάν σε ὕδατα, ὁ Θεός, καὶ ἐφοβήθησαν.» Καὶ πότε αὐτὸν ἰδόντα ἐφοβήθη τὰ ὕδατα, ἢ ὅτε ἐπετίμησε τῇ θαλάσσῃ καὶ πεφίμωτο;

«Φωνὴν ἔδωκαν αἱ νεφέλαι. Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται.» Νεφέλας ἐν τούτοις τοὺς ἁγίους ἀποστόλους φησὶ τοὺς τὸν οὐράνιον καὶ εὐαγγελικὸν διακονοῦντας λόγον· βέλη δὲ τὰς ἐνεργείας τοῦ ἁγίου Πνεύματος. Ὅμοιον οὖν ὡσεὶ λέγοιεν· Αἱ ἐνέργειαι αἱ εἰς τοὺς ἁγίους σου μαθητὰς ἐξάκουστοι πάσῃ τῇ οἰκουμένῃ γεγόνασιν. Ἰστέον δέ, ὡς καὶ αὐτὸς βέλος ἐκλεκτὸν παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ ὠνόμασται.[1] «Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ.» Βροντὴν τὸν εὐαγγελικὸν λόγον φησί, τὸν κατακτυπήσαντα τὴν ὑπ' οὐρανόν. Διὸ καὶ τὸν εὐαγγελιστὴν υἱὸν ἀπεκάλεσε βροντῆς.[2] Τροχὸν δὲ τῶν ἀνθρώπων τὸν βίον φησίν· ὡς καὶ ἐκ τοῦ Ἰεζεκιὴλ ἐστι μαθεῖν.[3] Ὅμοιον οὖν ὡσεὶ λέγοι· Ὁ λόγος σου ὁ εὐαγγελικὸς παντὶ διαδέδοται ἀνθρωπίνῳ γένει. «Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ.» Καὶ τίνες ἂν εἶεν αἱ ἀστραπαὶ ἢ αἱ τὸ νοητὸν ἡμῖν ἀστράπτουσαι φῶς, οἱ ἅγιοι ἀπόστολοι καὶ εὐαγγελισταί; οἷς ἔλεγεν ὁ Σωτήρ· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.[4] Ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.» Ἀντὶ τοῦ, Ἐξάκουστον τοῖς ἀνὰ πᾶσαν τὴν γῆν γέγονε τὸ σωτήριον κήρυγμα, δι' οὗ καὶ φόβος ἁγνὸς πάντας ἔλαβε, κατὰ τό· «Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.[5]»

«Ἐν τῇ θαλάσσῃ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς.» Θάλασσαν μὲν τὸν κόσμον, ὕδατα δὲ πολλὰ τὰ ἐν αὐτῷ διάφορα τῶν ἀνθρώπων γένη. Ἐπειδὴ δὲ ὁ Χριστὸς ἐνετείλατο λέγων τοῖς ἀποστόλοις· «Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη·[6]» καί, «Ἰδοὺ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας·[7]» διέδραμον δὲ τὴν ἐπ' οὐρανόν, καὶ ἐκήρυξαν εἰς πάντα τὰ ἔθνη, συνόντος αὐτοῖς ἀοράτως δηλονότι τοῦ Κυρίου, κατὰ τὰς ἀψευδεῖς αὐτοῦ ἐπαγγελίας· τούτου χάριν ἐπήγαγε· «Καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται», διὰ τὸ ἀόρατον τῆς μετ' αὐτῶν πορείας τοῦ Κυρίου. Πλὴν καὶ μόνος αὐτὸς ὡς Θεὸς ἐποιήσατο ἐπὶ τῆς αἰσθητῆς θαλάσσης τὴν πορείαν, ὥς φησιν ὁ εὐαγγελιστής.

«Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου.» Καὶ ὥσπερ πρόβατα οὐκ εἰδότα ὅποι τε ἄπεισι καὶ ὅποι πορεύεται, οὕτως ἡμᾶς αὐτὸς διῆγες, ὑπηρέταις πρὸς τοῦτο τοῖς περὶ τὸν Μωϋσέα καὶ Ἀαρὼν κεχρημένος. Πάντα μέντοι ἀπὸ τοῦ· «Ἐμνήσθην τῶν ἔργων Κυρίου», ἀπέδωκε πρὸς τό· «Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην.» Τούτων

---

1. Πρβλ. Ἡσ. 49, 2. 2. Πρβλ. Μάρκ. 3, 17. 3. Πρβλ. Ἰεζ. 1, 20. 4. Ματθ. 5, 14. 5. Ψαλμ. 2, 11. 6. Ματθ. 28, 19. 7. Ματθ. 28, 20.

γάρ, φησίν, ὑπομιμνησκόμενος, παρεκαλούμην τὴν διάνοιαν καὶ εὐφραινόμην. Ἐννοῶν γὰρ ὅσα τε καὶ οἷα ἡμῖν ὑπῆρξε τῇ σῇ βοηθείᾳ, ἐπειθόμην, ὡς οὐκ ἄν ποτε τοσαῦτα πεποιηκὼς ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ καὶ τῇ τῶν κατεχόντων τότε ἀπαλλαγῇ, νῦν ἀνάσχοιο πάντῃ ὑπεριδεῖν ἡμᾶς ἐν δουλείᾳ τε ὄντας καὶ αἰχμαλωσίᾳ καὶ συμφορᾷ. «Ἐν χειρὶ Μωϋσῇ καὶ Ἀαρών.» Σὺ αὐτός, φησίν, ὦ Δέσποτα, ὁ μετὰ τῶν ἁγίων ἀποστόλων συνών, καὶ πάλαι ποτὲ διὰ Μωϋσέως ἐξήγαγες ἐξ Αἰγύπτου τὸν λαόν σου, στρατηγοῦντος Μωϋσέως καὶ Ἀαρών.

Συνέσεως τῷ Ἀσάφ. ΨΑΛΜΟΣ.

ΟΖ'.

Ὑπόθεσις.

Τοῦτον ᾄδει τὸν ψαλμὸν Ἀσάφ, τῷ νέῳ λαῷ παραινῶν τῷ νόμῳ προσέχειν τῷ εὐαγγελικῷ, τοῦ τε παλαιοῦ ἐκείνου τῶν Ἰουδαίων δήμου κατηγορῶν, δι' οὗ πολλὰ εὐεργετημένοι, οὐδενὸς ἐμνημόνευσαν, μᾶλλον δὲ καὶ εἰς τοὐναντίον ἔτρεψαν τὰς εὐχαριστίας, ἀχαριστίᾳ τὸν εὐεργέτην ἀμειβόμενοι.

«Προσέχετε, λαός μου, τὸν νόμον μου.» Καὶ ποίῳ λαῷ ἢ τῷ ἐξ ἐθνῶν παραινεῖ; Καὶ ποίῳ νόμῳ προσέχειν παρακελεύεται ἢ τῷ εὐαγγελικῷ; Ὅτι δὲ λαὸς αὐτοῦ τὰ ἔθνη, ὁ προφήτης Ζαχαρίας φησί· «Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον, καὶ ἔσονται αὐτῷ εἰς λαόν.[1]» «Κλίνατε τὸ οὖς ὑμῶν πρὸς τὰ ῥήματα τοῦ στόματός μου.» Προθύμως γάρ, φησί, τῶν παρ' ἐμοῦ λεγομένων ἀκούσατε.

«Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου.[2]» Σαφῶς τοῦτο ὁ εὐαγγελιστὴς ἡρμήνευσε πληρωθέν, ὅτε τὰς πολλὰς παραβολὰς εἶπεν ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις.

«Καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.» Ὅσα παρὰ τῶν πατέρων, φησί, δεδιδάγμεθα ἀκούσαντες, πάντα ταῦτα διὰ τῶν ἔργων καὶ τῆς αὐτοῦ παρουσίας ἐγνώκαμεν.

«Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν.» Οὐχ ἑτέρᾳ, φησί, γενεᾷ, ἀλλὰ τοῖς τέκνοις αὐτῶν πάντα πέπρακται τὰ παρὰ τοῦ Σωτῆρος μεγαλουργήματα· διὸ οὐκ ἐπαύσαντο αὐτοῖς «προαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου καὶ τὰς δυναστείας αὐτοῦ.»

«Καὶ νόμον ἔθετο ἐν Ἰσραήλ.» Νόμον, φησίν, ἔδωκε τοῖς πατράσιν αὐτῶν, καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου παιδαγωγῶν αὐτοὺς εἰς τὸ γνῶναι διὰ τοῦ νόμου τὸν κατὰ καιροὺς ἐπιδημήσαντα Σωτῆρα τῷ γένει τῶν ἀνθρώπων.

«Υἱοὶ τεχθησόμενοι.» Σημαίνει δὲ διὰ τούτων τοὺς ἁγίους τοῦ

---

1. Ζαχ. 2, 15. 2. Ματθ. 13, 35.

Σωτῆρος μαθητάς, οἵτινες τὰ θαυμάσια ἃ κατώρθωσεν ὁ Χριστός, τοῖς υἱοῖς αὐτῶν ἀπαγγέλλουσι· τουτέστι τοῖς προσελθοῦσι δι' αὐτῶν τῇ πίστει.

«Καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ.» Ταῦτα διηγήσονται αὐτοῖς, δι' ὧν δυνήσονται μόνον ἐλπίδα τὸν Θεὸν ἐπιγράψασθαι.

«Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν.» Ἀπαγγελοῦσι, φησί, τὰς αἰνέσεις τοῦ Θεοῦ τοῖς δι' αὐτοῦ παιδαγωγουμένοις οἱ ἀπόστολοι· ἵνα καὶ ἐκζητήσωσι τὰς τοῦ Θεοῦ ἐντολάς, καὶ μὴ τὴν τῶν πατέρων κακοδαιμονίαν μιμήσωνται. Ἐκείνη γάρ, φησίν, ἡ γενεὰ οὐκ ἔσχεν εὐθῆ τὴν καρδίαν πρὸς Θεόν, οὐδὲ πίστιν ἔσχε τὸ πνεῦμα αὐτῆς μετὰ τοῦ Θεοῦ. «Γενεὰ ἥτις οὐ κατεύθυνε τὴν καρδίαν αὐτῆς.» Ἐκεῖνοι γὰρ βεβαίαν τὴν εἰς τὸν Θεὸν οὐκ ἐκτήσαντο πίστιν, τὴν εὐθεῖαν οὐκ ἐθελήσαντες πορείαν ὁδεῦσαι, ἀλλὰ γνώμην ἐσχηκότες τοῖς θείοις ἐναντιουμένην θεσμοῖς.

«Υἱοὶ Ἐφραῒμ ἐντείνοντες καὶ βάλλοντες τόξοις.» Ἀπὸ μόνης τῆς φυλῆς τοῦ Ἐφραῒμ ὅλον τὸν λαὸν τοῦ Ἰσραὴλ τὸν ἀποσχισθέντα τοῦ Ἰούδα ἐδήλωσεν. Οὗτοι γὰρ καὶ τὰς δαμάλεις ἔστησαν, καὶ τῆς κατὰ νόμον λατρείας ἀπέστησαν. Ἀψάμενος τῆς τῶν πατέρων πονηρίας, ἐφεξῆς καταλέγει πᾶσαν τὴν κακίαν αὐτῶν, τήν τε παρὰ τοῦ Θεοῦ εἰς αὐτοὺς ἀγαθῶν δαψίλειαν, τήν τε πρὸς τὸν Θεὸν αὐτῶν ἀπιστίαν, τόν τε διαδεξάμενον αὐτοὺς διὰ ταῦτα ὄλεθρον· ἵνα διὰ τούτων παιδαγωγηθέντες, τὸν πονηρὸν φύγωσι ζῆλον. Λέγει δέ, ὡς οἱ τοῦ Ἐφραῒμ υἱοί, τουτέστιν ἅπας Ἰσραήλ, οἱ δεδιδαγμένοι τοῖς πονηροῖς μάχεσθαι δαίμοσι, καὶ εἰς τοῦτο ὥσπερ τόξον κατασκευασθέντες, παρ' αὐτὸν τὸν τοῦ πολέμου καιρὸν μετεβλήθησαν, τὸν μὲν Δεσπότην καὶ Θεὸν ἀρνησάμενοι, προσκλίναντες ἑαυτοὺς τῷ Βαραββᾷ, τουτέστι τῷ Σατανᾷ.

«Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ.» Τὴν καινὴν τοῦ Εὐαγγελίου παράδοσίν φησι, καὶ τό· «Ἰδοὺ ἡμέρα ἔρχεται, καὶ διαθήσομαι αὐτοῖς διαθήκην καινήν.[1]» Αἰτίας δέ ἐστιν ἀπόδοσις, ὅτι, ταύτην μὴ φυλάξαντες, ἥτις ἐστὶ καινὸς νόμος τοῦ Θεοῦ, «ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.» Οὐ γὰρ ἐπίστευον αὐτῷ λέγοντι· «Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω.[2]» Δέον γὰρ βάλλειν καὶ πολεμεῖν τοὺς Θεῷ πολεμοῦντας· οἱ δὲ κατὰ Θεοῦ ἤραντο πόλεμον.

«Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ.» Καίτοι, φησί, πολλὰ εὐεργετημένοι, πάντα ἀπὸ τῆς μνήμης ἀνερρίπισαν. Καὶ τούτου ἀπόδειξις τὸ παραδοῦναι Πιλάτῳ. Ἐπελάθοντο τὸ πῶς διῆλθεν εὐεργετῶν αὐτοὺς πάντας, καὶ ἰώμενος τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου.

«Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια.» Οὕτω, φησί, τῶν εὐεργεσιῶν καὶ τῶν θαυμασίων ἐπελάθοντο τοῦ Χριστοῦ,

1. Πρβλ. Βαρ. 2, 35. 2. Ἰω. 16, 27.

ὥσπερ ἀμέλει καὶ οἱ πατέρες αὐτῶν τῶν ἐν Αἰγύπτῳ γεγενημένων, ὅτε αὐτοὺς ἠλευθέρου ὁ Θεός. Τοιοῦτον γάρ τι ἔοικεν ὑποσημαίνειν τό, «Ἐναντίον τῶν πατέρων αὐτῶν·» ὡσεὶ σαφέστερον ἔλεγεν· Ὁμοιότροποι τῷ ζήλῳ τῶν πατέρων αὐτῶν γεγόνασι τῷ πονηρῷ· καὶ ὥσπερ ἐκεῖνοι ἐπελάθοντο τοῦ Θεοῦ, οὕτω καὶ οὗτοι.

«Διέρρηξε θάλασσαν, καὶ διήγαγεν αὐτούς.» Καὶ οὐ τοῦτο μόνον φησίν, ἀλλὰ καὶ θάλασσαν διελὼν ἅπαντας διεβίβασεν. Ἐντεῦθεν ἄρχεται τὰ ἐπὶ τῆς προτέρας λυτρώσεως διηγεῖσθαι θαυμάσια. Καταδιαιρεθείσης γὰρ εἰς διαιρέσεις πολλὰς τῆς Ἐρυθρᾶς θαλάσσης, καὶ τῶν ὑδάτων διοριζομένων καὶ ἐξ ἑκάστου μέρους μετεωριζομένων, καὶ αἱρομένων εἰς ὕψος, «ὥσπερ ἐν ἀσκῷ » τινι συνέκλεισεν αὐτὰ θείᾳ τινὶ δυνάμει, ὅπως μὴ διαχεόμενα ἐπικλύσῃ τὸ πλῆθος.

«Διὰ τοῦτο ἤκουσε Κύριος καὶ ἀνεβάλετο.» Ἀντὶ τοῦ· Ὑπερέθετο μικρόν, καὶ οἱονεὶ ἀνέκοψε τὴν εὐεργετικὴν χεῖρα.

«Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.» Οὐ μόνον, φησί, τῷ μάννα τὰ σώματα ἔτρεφεν, ἀλλὰ γὰρ καὶ λογικῇ τινι καὶ οὐρανίῳ δυνάμει διέτρεφεν αὐτῶν τὰς ψυχάς· ὥσπερ ἀμέλει διατρέφει καὶ τοὺς ἀγγέλους. Καὶ τοῦτό ἐστι μὲν καὶ ἐκ τοῦ συνδέσμου ἰδεῖν, τῷ ὥσπερ ἐν ἐπαγωγῇ εἰπεῖν τό· «Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.» Ἔστι δὲ οὐδὲν ἧττον καὶ τοῦ Ἀποστόλου μαθεῖν, περὶ αὐτῶν εἰρηκότος, ὡς πνευματικὸν ἔφαγον βρῶμα. Τοῦτο δὲ ἦν ὁ νῦν ἄρτος ἀγγέλων ὀνομαζόμενος.

«Καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά.» Τὴν ὀρτυγομήτραν φησὶν ἐνταῦθα.

«Ἐπὶ τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν.» Γέγονε γὰρ αὐτοῖς εἰς χολέραν ἕξιν ἡ τροφή, ἅτε ὅλον διόλου ἐκνενευκότων εἰς τὴν τῶν κρεῶν πλησμονήν.

«Καὶ ἐμνήσθη, ὅτι σάρξ εἰσιν, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.» Ἠλέει αὐτούς, φησί, καίτοι ὁρῶν αὐτοὺς ὁλοτρόπως ἐκκεκλικότας εἰς σάρκας, ἀντὶ τοῦ εἰς τὸ τὰ σαρκὸς φρονεῖν, καὶ πνεῦμα ἔχοντας, εἰς ἐπιθυμίαν σαρκὸς ἀεὶ πορευόμενον, καὶ οὐκ ἐπιστρέφον εἰς τὸ μετανοεῖν, καὶ ἐκζητεῖν ἐξ ὅλης ψυχῆς τὸν Θεόν. Δι' οὐδὲν οὖν ἕτερον ἠλέει καὶ ἔσωσεν, ἢ διὰ τὴν οἰκείαν μόνον φιλανθρωπίαν. Διὸ καὶ προλαβὼν εἶπεν· «Αὐτὸς γάρ ἐστιν οἰκτίρμων καὶ ἐλεήμων.»

«Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος.» Καταλέξας τὰ ἐν τῇ θαλάσσῃ καὶ ἐν ἐρήμῳ αὐτοῖς δεδομένα ἀγαθά, ἕτερον εὐεργεσίας καταλέγει τρόπον. Ταῦτα δέ ἐστι τὰ περιστάντα δεινὰ τοὺς ἐχθρούς· ἥ τε εἰς αἷμα μεταβολὴ τοῦ ποταμοῦ, καὶ ἡ κυνόμυια, καὶ ὁ βάτραχος, καὶ ἡ ἐρυσίβη, καὶ ἡ ἀκρίς, καὶ ἡ χάλαζα, καὶ ἡ πάχνη, καὶ τὸ πῦρ, καὶ ἡ τῶν πονηρῶν ἀγγέλων ἀποστολή· καὶ τὰ λοιπὰ μέχρι τῆς τῶν πρωτοτόκων ἀπωλείας.

«Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ.» Δεδωκώς, φησί, τοῦ ἀμνοῦ τὸ μυστήριον, διέξοδον δέδωκε τῇ ὀργῇ, ὅπως τὸν αὐτοῦ παρέλθῃ λαόν, καὶ μὴ ἅψηται τῶν αὐτοῦ τελούντων τὸ μυστήριον. Ἀλλὰ φυλάξας τούτους διὰ τοῦ ἔξοδον δοῦναι τῇ ὀργῇ, αὐτῶν τῶν ψυχῶν, δηλαδὴ τῶν Αἰγυπτίων, «οὐκ ἐφείσατο ἀπὸ θανάτου·» παρέδωκε γὰρ τῷ ἐξολοθρευτῇ.

«Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ.» Ἱερουσαλὴμ φησι καὶ τὸν μετὰ ταῦτα οἰκοδομηθέντα ἐν αὐτῇ ναόν. «Ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.» Αὐτὸς γάρ ἐστιν ὁ Χριστὸς ἡ δεξιὰ τοῦ Πατρός, ὁ καὶ πάλαι προπορευόμενος τοῦ λαοῦ, καὶ κατακληροδοτῶν αὐτοῖς τῆς ἐπαγγελίας τὴν γῆν. «Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη.» Τὸν Ἀμορραῖον καὶ τὸν Χετταῖον, καὶ τοὺς ἑξῆς δηλουμένους. «Καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας.» Αὐτῶν τῶν ἐξελαθέντων καὶ ἀνῃρημένων ἑπτὰ ἐθνῶν. Τὰς γὰρ πόλεις αὐτῶν τῶν ἐκβεβλημένων καὶ τοὺς οἴκους ἐκληρονόμησαν.

«Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον.» Τὴν ἐπὶ τῶν κριτῶν γενομένην εἰδωλολατρείαν σημαίνει, καὶ τὴν ἐπὶ τῶν βασιλειῶν. «Καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο.

«Καὶ ἀπέστρεψαν, καὶ ἠθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν.» Ὥσπερ οἱ πατέρες αὐτῶν, φησίν, ἐν τῇ ἐρήμῳ τὸν μόσχον πεποιήκασι, τὸν λυτρωτὴν ἀρνησάμενοι· οὕτω καὶ οὗτοι πάλιν τὰς δαμάλεις ἀναθέντες ἔθυον, ἐγκαταλιπόντες Θεόν.

«Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν.» Ἐπὶ πᾶσαν γὰρ κορυφὴν ὄρους τοῖς ἀκαθάρτοις ἔθυον δαίμοσιν, ὡς ὁ προφήτης Ὠσηέ φησιν.[1]

«Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα Ἰσραήλ.» Παρεδόθησαν γὰρ εἰς διαφόρους αἰχμαλωσίας.

«Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ.» Ἐν Σηλὼμ γὰρ ἦν τὸ πρότερον ἡ σκηνή, ἡνίκα ἱεράτευσαν Ἠλεὶ καὶ Σαμουήλ. «Σκήνωμα ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις.» Σκήνωμα τὴν κιβωτόν φησιν, ἥπερ ἀπὸ τῶν ἀνθρώπων ἐκείνων ἀφῄρηται τῶν πέντε σατραπειῶν τῶν λαβουσῶν αὐτήν.

«Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ καλλονὴν αὐτῶν.» Ἰσχὺς αὐτῶν καὶ μὴν καὶ καλλονὴ ἡ κιβωτὸς ἦν ἣ παραδέδοται Ἀζωτίων εἰς χεῖρας.

«Καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ.» Ἀγόμενοι γὰρ αἰχμάλωτοι, ἀπέθνησκον, οὐδενὸς αὐτοῖς ἐπικουροῦντος, διὰ τὸ προδεδαπανῆσθαι πυρὶ τοὺς ἐπιτηδείους αὐτῶν.

«Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον.» Τοὺς υἱοὺς Ἠλεὶ τοῦ ἱερέως λέγει. «Καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται.» Συνδιολώλασι

1. Πρβλ. Ὠσ. 11, 2.

γὰρ τῇ αὐτῶν ἀπωλείᾳ, καὶ τῷ τῶν ἀνδρῶν θανάτῳ συνήφθησαν, μηδὲ τῶν ἐπὶ νεκροῖς ἀξιωθεῖσαι δακρύων.

«Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω.» Τοῦτό φησι διὰ τὸ Ἀζωτίους καὶ Ἀσκαλωνίτας εἰς τὰς ἕδρας πατάξαι, ἄχρις οὗ τὴν κιβωτὸν ἀπέστειλαν.

«Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ.» Τοῦτό φησι διὰ τὸ τὴν Σηλὼμ ἐν τῇ μερίδι εἶναι τοῦ Ἰωσήφ· Ἐφραῒμ δὲ υἱὸς Ἰωσήφ.

«Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα.» Ἀπὸ γὰρ ταύτης τοὺς βασιλέας ἐποίησεν, ὧν πρῶτος Δαυΐδ. Ἰστέον δέ, ὡς φυλὴν ἀντὶ φυλῆς ἐξελέξατο, τὴν Ἰούδα ἀντὶ τῆς Ἰωσήφ· καὶ τόπον ἀντὶ τόπου, τὸ ὄρος Σιὼν ἀντὶ τῆς Σηλώμ.

«Καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγίασμα αὐτοῦ.» Ἁγίασμα μὲν τὸν θεῖον ἐν Ἱερουσαλὴμ ᾠκοδομηθέντα λέγει ναόν· Μονόκερως δὲ θηρίον ἐστὶν ἀκαταμάχητον, διὰ τὸ ὀξὺ κέρας ἐπὶ μετώπου φέρειν, καὶ πάντα τούτῳ ἀναιρεῖν τὰ θηρία. Λέγει οὖν, Ὅτε οὕτως ὁ θεῖος ᾠκοδομήθη ναός, ὡς πάντα τὰ ἔθνη τῆς ἐνούσης ἐν αὐτῷ ἰσχύος δεύτερα φαίνεσθαι.

«Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν.» Τικτομένων καὶ γεννωμένων. Ἀπὸ τῆς ποιμαντικῆς, φησίν, ἐπιστήμης, καὶ τοῦ εἰδέναι τὰ λοχευόμενα τῶν προβάτων διαφυλάττειν, καλῶς ἀναλαβὼν καὶ τῶν λογικῶν θρεμμάτων ποιμένα πεποίηκε. «Ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ.» Τουτέστι, διδάσκαλος αὐτοῖς ἀγαθῶν τρόπων ἐγένετο, δι' ὧν ἐπεδείκνυτο παιδεύσας αὐτούς.

«Καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.» Σύνεσιν χειρῶν πᾶσαν τὴν ἐν τῷ προσήκοντι πρᾶξιν γινομένην φησίν.

ΨΑΛΜΟΣ τῷ Ἀσάφ.

ΟΗ'.

Ὑπόθεσις.

Τοῦτον ᾄδει τὸν ψαλμὸν ὑπὲρ τῶν ἀναιρεθέντων πικρῶς κατὰ τοὺς καιροὺς τοῦ Ἀντιόχου· αἰτῶν τε διὰ τῆς ἱκετείας ἐκδίκησιν γενέσθαι τῆς εἰς τὸ ἔθνος γινομένης μιαιφονίας, μεταστραφεισῶν δηλονότι τῶν συμφορῶν εἰς αὐτοὺς τοὺς ἐπάγοντας αὐτάς.

«Ὁ Θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου.» Πολλοὺς γὰρ εἰσαγαγὼν ὁ Ἀντίοχος, εἰσῆλθεν εἰς Ἱεροσόλυμα καὶ ἐνέπρησε τὸν θεῖον ναόν. «Ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου.» Ἰδού, φησί, τῶν σῶν ἐκράτησαν ἄλλοι, καὶ τὰ σὰ ὑπὸ ἀλλοφύλων κατέχεται. «Ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον.» Λιθολόγιος τόπος ὅπου τὴν σκηνὴν ἔχει ὁ τὰς ὀπώρας φυλάσσων.

«Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ.» Διὰ γὰρ ὑπερβολὴν ἀπανθρωπίας οὐδὲ θάπτειν τοῖς

οἰκείοις ἐπέτρεπον οἱ πολέμιοι τοὺς νεκρούς. «Τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.» Πῶς γὰρ οὐχ ὅσιοι οἱ τὸ αἷμα ἐκχυθέντες ὑπὲρ τῆς τοῦ νόμου φυλακῆς, ὧν ἦσαν οἱ Μαχαβαῖοι:

«Ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου.» Ζήλωσον, φησί, διὰ τὸ σὸν ὄνομα τὸ βλασφημούμενον παρὰ τῶν ἐχθρῶν.

«Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων.» Τὰς ἐν Αἰγύπτῳ λέγει ἁμαρτίας ἀρχαίας.

«Μήποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἔστιν ὁ Θεὸς αὐτῶν;» Εἰ καὶ ἐμποδίζει, φησί, τῇ ἡμετέρᾳ σωτηρίᾳ τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν· ἀλλὰ διὰ τὸ σὸν ὄνομα ποίησον ἡμῖν διὰ τὸν ὀνειδισμὸν ὃν ἐπιφέρουσι σοί, διὰ τὸ αἷμα τὸ ἐκχυνόμενον τῶν σῶν δούλων, διὰ τὸν στεναγμὸν τῶν πεπεδημένων.

«Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.» Τῇ δυνάμει, φησί, τοῦ βραχίονός σου σῶσον τοὺς καταλειφθέντας ἐκ τῶν ἀνῃρημένων.

Εἰς τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων, μαρτύριον τοῦ Ἀσάφ,
ΨΑΛΜΟΣ ὑπὲρ τῶν Ἀσσυρίων.

ΟΘʹ.

Ὑπόθεσις.

Κατὰ μὲν τὸ πρόχειρον τῆς λέξεως ἐλεηθῆναι ἀξιοῖ τοὺς ὑπὸ τοῦ Ἀσσυρίου καταδουλωθέντας· κατὰ δὲ τὴν ὑψηλοτέραν διάνοιαν, ὑπὲρ τῶν ὑπομεινάντων τὴν αἰχμαλωσίαν τὴν νοητήν, μετὰ τὸν κατὰ τοῦ Κυρίου σταυρὸν ὑπὸ τῶν νοητῶν Ἀσσυρίων, καὶ αὐτοῦ τοῦ ἄρχοντος αὐτῶν, φημὶ δὴ τοῦ Σατανᾶ. Ἱκετείαν οὖν προβάλλεται, ἀξιῶν ἐπιφάνειαν γενέσθαι τοῦ Σωτῆρος ἡμῶν, καὶ ἐλευθέρωσιν τοῦ παντὸς γένους τοῦ Ἰσραήλ.

«Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες.» Σέ, Δέσποτα, τὸν ποιμένος δίκην τοῦ λαοῦ προμηθούμενον, δέξασθαί μου τὴν ἱκετείαν ἀντιβολῶ.

«Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, ἐμφάνηθι ἐναντίον Ἐφραΐμ, καὶ Βενιαμίν, καὶ Μανασσῆ.» Ἐν τῇ πορείᾳ τῆς σκηνῆς ἐβάδιζον τρεῖς φυλαί, Ἰούδα, καὶ Ἰσάχαρ, καὶ Ζαβουλών. Ἠκολούθουν δὲ κατὰ νότον τρεῖς ἕτεραι· ἡ τοῦ Ἐφραΐμ, ἡ τοῦ Βενιαμὶν καὶ τοῦ Μανασσῆ. Ἦν δὲ ἐπὶ τῶν χρυσῶν χερουβὶμ τῶν ἐπάνω τῆς κιβωτοῦ δόξα Θεοῦ· προεβάδισε γὰρ αὐτῶν κατὰ τὴν πορείαν. Σὺ οὖν ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, καὶ προπορευόμενος τῆς κιβωτοῦ, ὡς εἶναι ἔμπροσθεν τοῦ Ἐφραΐμ, Βενιαμὶν καὶ Μανασσῆ (τὸ γὰρ «ἐναντίον» σημαίνει τὸ ἔμπροσθεν), διὰ τῆς σαυτοῦ δυναστείας τὴν σωτηρίαν ἐπιδίδου.

«Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας.» Τὸν Ἰσραὴλ φησιν. «Ἐξέ-

βαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν.» Προπορευόμενος γάρ, ἐξέβαλες ἀπὸ προσώπου αὐτῶν τὰ ἔθνη.

«Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς.» Σκιὰ μὲν τῆς ἀμπέλου ἡ κατὰ νόμον λατρεία, διὰ τὸ σκιὰν ἔχειν τὸν νόμον τῶν μελλόντων ἀγαθῶν· ὄρη δὲ τό τε ἐν Σηλὼμ καὶ τὸ ἐν Σιών φησιν. Ἐν τούτοις γὰρ τοῖς δυσὶ τόποις ἵδρυτο ἡ σκηνή. Οὐδὲν οὖν ἕτερον σημαίνει, ἢ ὅτι τὰ ἐν νόμῳ, ἅτινα ἦν σκιὰ τῶν μελλόντων ἀγαθῶν, ἐν τοῖς δυσὶ τούτοις ἐτελεῖτο ὄρεσι. «Καὶ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ.» Κέδροι μὲν αἱ οὐράνιαι δυνάμεις· ἀναδενδράδες δὲ τῆς ἀμπέλου οἱ ἐκ τοῦ λαοῦ προφῆται εἰς ὕψος ἠρμένοι, καὶ ἐπαναπαυόμενοι ταῖς ἄνω καὶ λογικαῖς δυνάμεσιν.

«Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης.» Κλήματα καὶ παραφυάδες τῆς ἀμπέλου τὸ πᾶν πλῆθος τοῦ λαοῦ φησιν, ὃ κατέσχεν ἀπὸ ποταμοῦ Εὐφράτου μέχρι θαλάσσης τῆς Ἰνδικῆς.

«Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς;» Φραγμὸς ἦν αὐτῇ ἡ τῶν ἀγγέλων φυλακή, ἣν ἀπέστησεν ἀπ' αὐτῶν ὁ Θεός. «Καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν.» Δέδοται γὰρ εἰς βόσκημα τοῖς ἀκαθάρτοις δαίμοσιν, οἵτινες καὶ νέμονται αὐτῶν τὰς ψυχάς, τῆς νοητῆς εὐκαρπίας ἀπογυμνοῦντες.

«Ὁ Θεὸς δυνάμεων, ἐπίστρεψον.» Ἱκετεύω σε τοίνυν τὸν δυνατὸν Δεσπότην ἰδεῖν ἄνωθεν τῆς ἀμπέλου τὴν λώβην, καὶ θεραπείας ἀξιῶσαι τὸ πάθος. Ἡ σὴ γὰρ αὕτη πρόνοια τὴν προτέραν ἔδωκεν εὐκληρίαν.

«Καὶ κατάρτισαι αὐτὴν ἣν ἐφύτευσεν ἡ δεξιά σου.» Ἐπειδὴ σὺ αὐτήν, φησί, κατεφύτευσας, εἶτα γέγονεν «ἐμπεπυρισμένη καὶ κατεσκαμμένη» καὶ ἀπόλωλε, σοῦ αὐτὴν ἐπιτιμήσαντος, κατάρτισαι αὐτὴν καὶ ἑτοίμην εἰς σωτηρίαν παρασκεύασον· παρασκεύασον δὲ διὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Τὸ γάρ, «ἐπὶ υἱὸν ἀνθρώπου», διὰ τοῦ υἱοῦ ἀνθρώπου σημαίνει. Τίς δέ ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου ἢ αὐτὸς ὁ Κύριος ἡμῶν, ὡς αὐτὸς περὶ ἑαυτοῦ ἐν τοῖς Εὐαγγελίοις φησί;

«Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου.» Αὕτη, φησίν, ἡ πρᾶξις ἡ τῆς σωτηρίας τοῦ λαοῦ, ἥτις καὶ διὰ τῆς χειρὸς σημαίνεται, «ἀπ' ἄνδρα δεξιᾶς σου γενηθήτω», τουτέστι διὰ τοῦ ἀνδρὸς τοῦ ὄντος δεξιᾶς σου. Καὶ τίς οὗτος ἢ ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὅς ἐστι δεξιὰ τοῦ Πατρός, εἰ καὶ γέγονεν ἄνθρωπος; Ἐπειδὰν δὲ τοῦτο γένηται, καὶ σώσῃ ἡμᾶς, φησίν, ἡ δεξιά σου, ὁ χρηματίσας ἀνὴρ καὶ Υἱὸς ἀνθρώπου, οὐκ ἄν ποτε ἀποστῶμεν ἀπὸ σοῦ, ἅτε τῆς σῆς ζωῆς μεταλαβόντες, καὶ τῷ σῷ ἐπικληθέντες ὀνόματι, τουτέστι Χριστιανοί.

«Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς.» Συνεχῶς τὴν ἱκεσίαν προβάλλεται, ἐπισπεύδων τὴν ἐπιφάνειαν γενέσθαι τοῦ Μονογενοῦς, δι' οὗ καὶ σωθήσονται.

Εἰς τέλος ὑπὲρ τῶν ληνῶν ΨΑΛΜΟΣ τῷ Ἀσάφ, ἀλληλούϊα.

Π'.

Ὑπόθεσις.

Ἤδη τὸν ὄγδοον ἑρμηνεύοντες ἀποδεδώκαμεν εἶναι ληνοὺς τὰς Ἐκκλησίας. Ἔστιν οὖν καὶ ἐκ τούτου τοῦ ψαλμοῦ ἰδεῖν, ὡς καλεῖ τὰ ἔθνη πρὸς τὴν πίστιν τὴν εἰς τὸν Κύριον· αὐτοῖς διδασκαλίαν ποιούμενος τοῦ μήποτε ἀποστῆναι αὐτοῦ, τὴν τοῦ προτέρου λαοῦ διὰ τὴν κακίαν ἀποβολὴν λέγων.

«Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ.» Ἀλαλαγμός ἐστιν ἐπινίκιος ὕμνος. Παρακελεύεται οὖν τοῖς ἔθνεσι τῷ βοηθήσαντι Θεῷ, καὶ ἐκ τῆς τῶν δαιμόνων αὐτοὺς ῥυσαμένῳ καταδυναστείας, τὰς ἐπινικίους ᾄδειν ᾠδάς.

«Λάβετε ψαλμόν, καὶ δότε τύμπανον.» Ψαλμὸν ἐν τούτοις τὴν θείαν διδασκαλίαν φησί. Τύμπανον δὲ ὄργανόν ἐστι ἐκ δερμάτων πεποιημένον. Λέγει οὖν· Ἐπήκοοι τοῖς θείοις λογίοις γενόμενοι, «παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐπρόσδεκτον τῷ Θεῷ.[1]» «Ψαλτήριον τερπνὸν μετὰ κιθάρας.» Ψαλτήριον πάλιν τὸ σῶμά φησι, διὰ τὴν γινομένην συμφωνίαν καὶ συναρμονίαν πρὸς αὐτὸ τῆς ψυχῆς· ἵν' ἄρτιοι γένωνται οἱ τοῦ Θεοῦ ἄνθρωποι, καὶ τὰς ψυχὰς ἀνατιθέντες τῷ Θεῷ, καὶ τὸ σῶμα, οὐ τῷ κόσμῳ, ἀλλὰ Κυρίῳ.

«Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι.» Ὥσπερ πάλαι ποτὲ ὁ Ἰσραὴλ αἰσθητὰς λαμβάνων σάλπιγγας ἐν τῇ νεομηνίᾳ ἐσάλπιζε, τοῦτο πρόσταγμα δεδωκότος τοῦ Θεοῦ, καὶ μαρτύριον τοῦ ἐλευθερωθῆναι αὐτοὺς τῆς ἐξ Αἰγύπτου δουλείας· οὕτω καὶ ὁ νέος λαός, τῇ εὐαγγελικῇ χρώμενος σάλπιγγι, ἧς ὁ φθόγγος εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν, κελεύεται ἐν ταῖς νεομηνίαις σαλπίζειν, τουτέστιν ἐν τῇ ἀνακαινίσει τοῦ νοὸς αὐτοῦ· ὁμολογῶν καὶ αὐτὸς καὶ μαρτυρῶν, ὅτι δὴ αὐτὸν ἐκ τῆς νοητῆς ἠλευθέρωσεν Αἰγύπτου, τουτέστιν ἐκ τῆς ἐξουσίας τοῦ σκότους.

«Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν.» Ὁ λαός, φησίν, ἐξελθὼν ἐκ τῆς Αἰγύπτου, ἤκουσε γλῶσσαν ἣν πάλαι οὐκ ἔγνω. Καὶ ποία αὕτη ἢ ἡ τοῦ Θεοῦ πρὸς τὸν λαὸν γινομένη ἐν τῷ ὄρει φωνή;

«Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ.» Ἀντί τοῦ, ἐξ ἄρσεων. Λέγει δέ, ὅτι τῶν βασταγμάτων αὐτοὺς ἠλευθέρωσεν, ὧν ἐπεφέροντο οἰκοδομοῦντες τὰς πόλεις τῷ Φαραώ. «Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.» Τοῦτό φησι διότι τὸν πηλὸν καὶ τὰ ἄχυρα ἐν κοφίνοις ἐπὶ τὸ ἔργον ἐπεφέροντο.

«Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐρρυσάμην σε.» Ὅμοιον τῷ, «Ὅτι ἤκουσα τῶν στεναγμῶν αὐτῶν[2]», καὶ τῆς φωνῆς αὐτῶν ἤκου-

---

1. Ῥωμ. 12, 1. 2. Ἔξ. 2, 24.

σα, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. Ἐπήκουσά σου ἐν ἀποκρύφῳ τῆς καταιγίδος.» Ἀντὶ τοῦ, Ἐκ μεγάλης καὶ ὑπερβαλλούσης ἐρρυσάμην σε θλίψεως. «Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.» Ὅτε διψήσας ὁ λαὸς ἔλεγε πρὸς Μωσῆν· «Δὸς ἡμῖν ὕδωρ ἵνα πίωμεν», ἔλεγε· «Τί λοιδορεῖσθέ με καὶ πειράζετε τὸν Κύριον;[1]»

«Ἄκουσον, λαός μου.» Τῷ λαῷ παραίνεσιν εἰσφέρει λέγων παρεσκευάσθαι ἐπήκοον γενέσθαι αὐτῷ. Καὶ γάρ, εἰ τοῦτο ποιήσει, οὐκ ἂν ἑτέρῳ δουλεύῃ Θεῷ, οὐδὲ γενήσεται αὐτῷ αὐτὸς ὁ Κύριος εἰς Θεὸν πρόσφατον. Αὐτὸς γάρ ἐστιν ὁ καὶ πάλαι αὐτοὺς ἐξ Αἰγύπτου λυτρωσάμενος. «Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.» Ὑπισχνεῖται τοῖς πειθαρχοῦσιν αὐτῷ καὶ σαρκικὰς τροφὰς καὶ πνευματικάς.

«Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου.» Ἐπειδὴ ταῦτα μὲν ὑπεσχόμην ἐγώ, αὐτοὶ δὲ τὰ ὦτα ἐκώφευσαν· τούτου χάριν ἀπεβαλόμην αὐτούς, ἀξίαν τῶν ἐπιτηδευμάτων αὐτοῖς τὴν τιμωρίαν διδούς.

«Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.» Ὡσεὶ σαφέστερον ἔλεγεν· Ἀντὶ τοῦ ψεύσασθαι τῷ Κυρίῳ τὸν λαόν, ἔσται καιρὸς αὐτῷ τιμωρίας· οὗτος δέ ἐστιν ὁ τοῦ μέλλοντος αἰῶνος.

«Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ.» Αὐτοὶ μέν, φησίν, ἐψεύσαντο αὐτῷ· αὐτὸς δέ, ἅτε ἀγαθὸς ὑπάρχων, ἐνέπλησεν αὐτοὺς νοητῆς τροφῆς· αὕτη δέ ἐστιν αὐτὸς ὁ Κύριος, «ὁ ἄρτος ὁ ζῶν, ὁ ἐξ οὐρανοῦ καταβάς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.[2] «Καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.» Πέτρα αὐτὸς ὁ Κύριος[3], μέλι δὲ τὰ θεῖα αὐτοῦ λόγια. Λέγει γοῦν, ὅτι τῶν ὁσίων αὐτοῦ λογίων ἐνέπλησεν αὐτούς.

ΨΑΛΜΟΣ τῷ Ἀσάφ.

ΠΑ΄.

Ὑπόθεσις.

Τὴν ἀποβολὴν τοῦ λαοῦ ἐν τῷ πρὸ αὐτοῦ ψαλμῷ, ἐνταῦθα καὶ τὰς αἰτίας σαφέστερον ἐκδίδωσι, δι᾽ ἃς αὐτοὺς ὁ Θεὸς ἀπεβάλετο.

«Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν.» Θεοὺς τοὺς ἄρχοντας τῶν Ἰουδαίων ἐκάλεσε τοὺς υἱοὺς κληθέντας Θεοῦ. Ἔστη οὖν ἐν μέσῳ αὐτῶν ὁ Θεός, ὅτε τὴν σωτήριον παρουσίαν πεποίηται, ὅπως διακρίνῃ αὐτούς, ἔλεγχον τῶν αὐτοῖς πεπραγμένων ποιῶν.

«Ἕως πότε κρίνετε ἀδικίαν;» Τὴν ἀδικίαν τὴν γινομένην εἰς τὸν λαὸν παρ᾽ αὐτῶν εἰς μέσον ἄγει.

«Σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.» Θεμέλια τῆς γῆς

1. Ἔξ. 17, 2. 2. Ἰω. 6, 33. 3. Πρβλ. Α΄ Κορ. 10, 4.

τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου φησίν· οἵτινες καὶ πρό γε τοῦ λαοῦ τῶν Ἰουδαίων ἔδωκαν δίκην, ἐκβληθέντες τῆς καθ' ἡμῶν τυραννίδος διὰ τοῦ λεχθέντος πρὸς ἡμᾶς λογίου· «Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω.[1]» Ἐσαλεύθησαν γὰρ ἧς πάλαι ποτὲ εἶχον στάσεως. Ἅτε δὴ ὡς πρώτων αὐτῶν καταργηθέντων διὰ τοῦ σταυροῦ αὐτοῦ, εἶτα τῆς ἐκβολῆς γενομένης τοῦ Ἰσραὴλ μετὰ τὸ κηρυχθῆναι εἰς πάντα τὰ ἔθνη τὸ Εὐαγγέλιον, ἐπήγαγεν· «Ἐγὼ εἶπα· Θεοί ἐστε. Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε· πίπτετε δὲ καὶ ὡς εἷς τῶν ἀρχόντων.» Καὶ ποίων ἀρχόντων, ἢ ὧν μικρῷ πρότερον ἐδήλωσε διὰ τῶν σαλευομένων θεμελίων τῆς γῆς;

Ὠδὴ ΨΑΛΜΟΥ τῷ Ἀσάφ.

ΠΒ'.

Ὑπόθεσις.

Εὐχὴν ἐνταῦθα ἀνατείνει πρὸς Θεόν, τῆς ἀλαζονείας ἀξιῶν τὰ ἔθνη τιμωρήσασθαι τὰ τῶν Ἀσσυρίων εἰς τὸν κατὰ τῆς Ἱερουσαλὴμ συμπράξαντα πόλεμον. Οὗτοι δὲ ἦσαν οἱ ἑξῆς ἐν τῷ ψαλμῷ δηλούμενοι.

«Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς», ὁ Θεός. Σοὶ μέν, φησίν, οὐδεὶς ἔσται ὅμοιος, ἀμνησίκακος καὶ μακροθυμῶν ἐπὶ ταῖς ἀδικίαις· ἐγὼ δὲ εὔχομαι μὴ σιγῆσαι ἐπὶ ταῖς καθ' ἡμῶν παρὰ τῶν ἐχθρῶν γενομέναις ἀδίκοις ἐφόδοις.

«Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν.» Ἐξάκουστος, φησίν, ἡ καθ' ἡμῶν παρ' αὐτῶν ἀδικία γεγένηται.

«Ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ.» Ἀντελάβοντο, φησί, καὶ συνεμαχήσαντο εἰς τὸν καθ' ἡμῶν πόλεμον οἱ προδηλωθέντες τοῖς υἱοῖς Λώτ. Υἱοὶ δὲ Λὼτ Μωαβῖται καὶ Ἀμμανῖται. Ἐντεῦθεν δὲ γινώσκομεν, ὅτι προσκαλοῦνται ἀλλήλους οἱ δαίμονες ἐπ' ἀπωλείᾳ ψυχῆς, πανωλεθρίαν ἡμῖν ἐπάγειν, καὶ λήθῃ παραδοῦναι τὸν πολυθρύλητον Ἰσραήλ. Εἶτα καταλέγει ὁμόρους, ὑφ' ὧν συγκληθέντες καὶ οἱ ἄλλοι συνῆλθον.

«Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ.» Ὥσπερ ποτὲ Μαδιὰμ καὶ ὁ Σισάρα, ἔτι τε καὶ ὁ Ἰαβεὶν ἐξαναστάντες κατὰ τοῦ Ἰσραὴλ ἐξωλοθρεύθησαν, οἱ μὲν ἐν τῷ χειμάρρῳ Κισσών, οἱ δὲ ἐν Ἀενδώρ· τὸν αὐτὸν τρόπον καὶ οἱ ἐπιθέμενοι ἡμῖν μετὰ τοῦ Ἀσσούρ, τῆς ὁμοίας τιμωρίας τύχοιεν. Σισάρα μὲν ἄρχων τῆς δυνάμεως, Ἰαβεὶν δὲ βασιλεὺς Χαναάν. Τροποῦνται ἐν τῷ χειμάρρῳ Κισσὼν ἐν τοῖς Κριταῖς ἐν χειρὶ Βαραὰκ καὶ Δεβόρρα γυναικὸς Ἰσραήλ.[2]

«Ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ.» Ἐν ἀσχήμῳ τόπῳ. Ἀενδὼρ

1. Ἰω. 12, 31. 2. Πρβλ. Κρ. 4, 14.

γὰρ ἀπρέπεια δηλοῦται. «Ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.» Ἄταφοι γὰρ μένοντες διελύθησαν, καὶ οἷόν τις κόπρος τῇ γῇ συνεμίγησαν.

«Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρήβ.» Τῶν Ἰδουμαίων καὶ Ἰσμαηλιτῶν καὶ Μωαβιτῶν καὶ Ἀγαρηνῶν καὶ τῶν δηλωθέντων ἑταίρων τὰ ἴσα παθεῖν παρασκεύασον τῷ Ὠρὲβ καὶ τοῖς ἑτέροις. Οὗτοι δὲ καὶ κακοὶ κακῶς ἀπολώλασιν.

«Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν.» Τουτέστι, Μὴ μείνοιεν ἐν τῇ αὐτῇ στάσει, ἀλλὰ κυλιέσθωσαν εἰς τοὔμπαλιν. «Ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.» Τουτέστιν εὐρίπιστοι γενήσονται, ὥσπερ ἀμέλει καὶ ἡ καλάμη τοῦ στάχυος. «Ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμόν.» Ἀπολαυέτωσαν, φησί, τοῦ πυρὸς ὃ αὐτοὶ ἐξέκαυσαν, καὶ αὐτὸ τὸ πῦρ αὐτοὺς καταφάγεται, ὥσπερανεὶ καὶ αἰσθητὸν πῦρ καταφάγει δρυμόν. Ὅμοιον δὲ τῷ· «Ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε.[1]» «Ὡσεὶ φλὸξ κατακαῦσαι ὄρη.» Παραβολικὸς ὁ λόγος. Ὥσπερ πῦρ ἐμπεσόν, φησί, καίει ὄρη, οὕτω κατακαυθήσονται ὑπὸ τῆς παρὰ σοῦ ἐπενεχθησομένης αὐτοῖς τιμωρίας, ἥντινα καὶ καταιγίδι παρέβαλε διὰ τὸ σφοδρὸν καὶ ἐπιτεταμένον.

«Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας.» Διαμαρτόντες γὰρ ὧν βούλονται, καὶ αἰσχύνης ἐμπλησθέντες, ἐπιγνώσονταί σου τὴν δύναμιν. «Καὶ ζητήσουσι τὸ ὄνομά σου, Κύριε.» Τοῦτο λέγει, ὡς ἔσται αὐτοῖς ἐκ τῶν τιμωριῶν ὠφέλεια. Τό, «ζητήσουσιν», ἀντὶ τοῦ, γνώσονται.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορέ,

ΨΑΛΜΟΣ ΠΓ'.

Ὑπόθεσις.

Πάλιν ὑπὲρ τῶν Ἐκκλησιῶν καὶ ἐν τούτῳ τῷ ψαλμῷ ποιεῖται τὸν λόγον, καὶ δῆλον ἐκ τοῦ ὑπὲρ τῶν ληνῶν αὐτὸν ἐπιγεγράφθαι.

«Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων!» Σκηνώματά φησι τὰς κατὰ τόπον ἱδρυθείσας ἁγίας ἐκκλησίας τοῦ Θεοῦ, εἰς ἃς καὶ πᾶσα θεοφιλὴς ἐπισπουδάζει ψυχή. «Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο εἰς Θεὸν ζῶντα.» Ὅμοιον ὡσεὶ λέγοι· Καὶ τῷ σώματι καὶ ψυχῇ παρέστησα ἐμαυτὸν εἰς τὸ δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ.[2] Τὸ δέ, Θεῷ ζῶντι, πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων εἴρηται· ἅτε νεκρῶν ὄντων ἐκείνων, καὶ ἐξ ὕλης ἀψύχου τυγχανόντων.

«Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς, τὰ θυσιαστήριά σου, Κύριε.»

1. Ἠσ. 50, 11. 2. Πρβλ. Ἑβρ. 9, 14.

Στρουθίον μὲν τὴν τῶν ἀνθρώπων αἰνίττεται ψυχήν, τὴν ὑπὸ τοῦ νοητοῦ θηρευτοῦ ἀγρευομένην, κατὰ τὸ εἰρημένον· «Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων·[1]» τρυγόνα δὲ τὴν ἐν ἁγνείᾳ καὶ σωφροσύνῃ συζῶσαν ψυχήν. Λέγει οὖν, ὅτι πᾶσα ψυχὴ ταύτην εὑρήσει καταφυγήν, τὴν εἰς τὰ θυσιαστήρια εἴσοδον.

«Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου·» τῷ ἐπουρανίῳ δηλονότι.

«Μακάριος ὁ ἀνὴρ οὗ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοί· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο.» Ὡς ἀντιλήπτορα, φησίν, ἐπιγεγραμμένος, ἀγαθοὺς λογισμοὺς ἑαυτῷ καθ' ἑκάστην οἰκοδομεῖ, οὕστινας καὶ ἀναβάσεις πρὸς τὸ παρὸν εἴρηκε, διὰ τὸ ἐν αὐτοῖς οἱονεὶ ἀπὸ τῶν γηΐνων ἀνάβασιν εἶναι εἰς ἐπουράνια. «Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος.» Κοιλάδα τοῦ κλαυθμῶνος τὸν θνητὸν βίον φησί. Λέγει οὖν· Ἐν τῷ θνητῷ βίῳ πλήρεις ἀγαθῶν λογισμῶν αὐτοὺς καθεκάστην οἰκοδομῶν. Αἴσθησις αὐτοῖς γέγονεν ἐκ τῆς σῆς ἀντιλήψεως.

«Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν·» Ἀμοιβάς, φησί, τῶν καλῶν λογισμῶν δώσει αὐτοῖς ὁ νομοθετῶν, τουτέστιν ὁ τὸν νόμον αὐτοῖς τῆς Καινῆς δεδωκὼς Διαθήκης. Τίνες δ' ἂν εἶεν αἱ εὐλογίαι, ἢ τὸ ἐκ δυνάμεως εἰς δύναμιν πορευθῆναι; Λέγει δὲ ἀπὸ τῆς ἐνταῦθα πολιτείας τῆς κατὰ Θεὸν εἰς τὴν ἄνω Ἱερουσαλήμ, ἔνθα καὶ ἀπελθόντες ὄψονται τὸν Θεὸν καθώς ἐστιν.

«Ἐπίβλεψον εἰς πρόσωπον τοῦ Χριστοῦ σου.» Χριστὸν ἐνταῦθα τὸν κεκλημένον λαὸν εἰς βασίλειον ἱεράτευμά φησι.

«Ὅτι κρείσσων ἡμέρα λίαν ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.» Ἡμέραν μίαν τῶν αὐλῶν τοῦ Θεοῦ, τουτέστι τῶν ἐκκλησιῶν, τὴν ἀναστάσιμον ἡμέραν τοῦ Σωτῆρος ὑποδηλοῖ. Χιλιάδας δέ, ἤτοι χιλιάδα, οὕτω γὰρ εὕρηται ἐν τῇ Ἑβραίων Γραφῇ, τὴν κατὰ νόμον λατρείαν φησίν, ἥτις εἰς χιλιάδα ἐτῶν κεκράτηκεν, ἀρξαμένη ἀπὸ τῶν τοῦ Σολομῶντος χρόνων, ἀφ' οὗ τεθεμελίωται ὁ θεῖος ναός, μέχρι τῆς τοῦ Σωτῆρος παρουσίας. Δείκνυσιν οὖν, ὡς πολὺ τὸ μεῖζον τῆς εὐαγγελικῆς πρὸς τὴν νομικὴν λατρείαν. «Ἐξελεξάμην παραριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου.» Οἷον ὡς εἰ λέγοι· Μικρός τις καὶ εὐτελὴς εἶναι μᾶλλον ἂν βουλοίμην τῶν ἐν τῇ Ἐκκλησίᾳ ἢ μέγας τῶν ἐν τῷ ἁμαρτωλῷ λαῷ. Ταῦτα τοῖς ἐν Βαβυλῶνι πρόσφορα, καὶ ἡμῖν ἐπιτήδεια. Καὶ γὰρ ἐκείνους ἐδίδασκεν ἡ χάρις τοῦ Πνεύματος μὴ παραβλέπειν τοῦ θείου οἴκου τὴν ἐρημίαν, καὶ ἡμεῖς παιδευόμεθα τοὺς τῷ Θεῷ ἀφιερωμένους σηκοὺς ἀεὶ ποθεῖν καὶ ἀγαπᾶν.

«Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.» Οἱ γὰρ ταύτην ἔχοντες τὴν διάθεσιν, τούτων ἁπάντων ἀπολαύουσι

1. Ψαλμ. 123, 7.

τῶν ἀγαθῶν. Ἔλεος γὰρ ἐκ τῶν θείων ἀναβλαστάνει σηκῶν, καὶ πολλὴ ἐκεῖθεν ἄφθονος τῆς ἀληθείας ἡ χορηγία. Ἐκεῖθεν γὰρ τῶν ἀγαθῶν δογμάτων τὴν διδασκαλίαν δεχόμεθα, καὶ χάριν δὲ θείαν ἐκ τῶν τοῦ παναγίου Πνεύματος κρουνῶν ἀρυόμεθα· καὶ μέντοι καὶ περίβλεπτοι ἐντεῦθεν γινόμεθα, καὶ λίαν περιφανεῖς, καὶ συλλήβδην εἰπεῖν, πᾶσαν τῶν ἀγαθῶν δεχόμεθα τὴν ἀπόλαυσιν, κακίας μὲν καὶ πονηρίας ἀπαλλαττόμεθα, ἁπλότητι δὲ καὶ ἀληθείᾳ συζῆν προαιρούμενοι.

Εἰς τέλος, τοῖς υἱοῖς Κορέ.

ΨΑΛΜΟΣ ΠΔ'.

Ὑπόθεσις.

Διὰ τούτου τοῦ ψαλμοῦ τὴν κλῆσιν τῶν ἐθνῶν δηλοῖ, καὶ τὴν γενομένην αὐτοῖς διὰ τῆς πρὸς τὸν Θεὸν ἐπιστροφῆς ἄφεσιν. Ἔτι τε εἰσάγει τὸν Ἰουδαίων λαὸν μετὰ τὴν τῶν ἐθνῶν κλῆσιν ἐξομολογούμενον ἐφ' οἷς ἥμαρτεν, ἀξιοῦντα καὶ αὐτὸν τοῦ διὰ τοῦ Χριστοῦ ἐλέους τυχεῖν.

«Εὐδόκησας, Κύριε, τὴν γῆν σου.» Καὶ γὰρ ἀληθῶς εὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ. «Ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.» Αὐτοῖς γὰρ πρῶτον κηρύξας τοῖς Ἰουδαίοις, λελύτρωται πολλοὺς τῆς καταλαβούσης αὐτοὺς νοητῆς αἰχμαλωσίας. Ἐδήλωσεν ὁ Σωτὴρ μετὰ τὴν Ἡσαΐου προφητείαν, τὴν φήσασαν· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν [1]», εἰπών· «Σήμερον πεπλήρωται ἡ προφητεία αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.[2]» Αὐτὸς γὰρ ὁ παύσας δουλεύοντας ἡμᾶς πολυθέῳ πλάνῃ καὶ δαίμοσι, τάς τε τῶν ἁμαρτημάτων λύσας σειράς.

Ἀμφότερα ἐνταῦθα προφητεύεται ἥ τε ἀπὸ Βαβυλῶνος τῶν υἱῶν Ἰσραὴλ ἐπάνοδος καὶ τῆς οἰκουμένης σωτηρία· καὶ διττῶς ὅλον ἐξηγεῖται. Πρὸς δὲ διάνοιαν· Εὐδοκεῖ Κύριος τὴν ἀγαθὴν καὶ σπουδαίαν καρδίαν, γῆν αὐτοῦ τυγχάνουσαν, διὰ τὸ δέχεσθαι τὸν σπόρον τὸν παρ' αὐτοῦ, καὶ ἑκατονταπλασίονα καρποφορεῖν.

«Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου.» Τοῦ διὰ τῆς πίστεως γενομένου αὐτοῦ λαοῦ· λέγει δὲ τὸ ἐξ ἐθνῶν, κατὰ τὸ εἰρημένον ὑπὸ Ζαχαρίου τοῦ προφήτου· «Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καταφεύξονται ἐπὶ τὸν Κύριον ἔθνη πολλά, καὶ ἔσονται αὐτῷ εἰς λαόν.[3]»

«Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.» Ἐντεῦθεν ἱκετείαν ἀναπέμπει ἐκ προσώπου τοῦ λαοῦ τῶν Ἰουδαίων, ἀξιούντων καὶ αὐτοὺς τυχεῖν τῆς χάριτος.

1. Ἡσ. 61, 1. 2. Λουκ. 4, 21. 3. Ζαχ. 2, 15.

«Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου.» Κύρου τοῦ Περσῶν βασιλεύσαντος, κατὰ τὴν τοῦ Ἡσαΐου προφητείαν, δεδωκότος τῆς ἐπανόδου τὴν ἐξουσίαν, ἐπείγονται τὴν ἐνεγκοῦσαν καταλαβεῖν. Διὰ δὴ τοῦτο τὸν Θεὸν ἱκετεύουσι, ταχεῖαν αὐτοῖς διὰ φιλανθρωπίας παρασχεῖν σωτηρίαν. Τάχιστα, φησίν, ὦ Δέσποτα, τὴν σὴν ἡμῖν ἀγαθότητα δεῖξον, ἵνα τύχωμεν τῆς σῆς σωτηρίας καὶ τῆς ἐντεῦθεν ἀπαλλαγῆς. Οὕτω τὴν ἱκετείαν ὡς ἐξ ἐκείνων ὁ προφήτης προσενεγκών, δέχεται τοῦ Θεοῦ τὴν ἀπόκρισιν καί φησιν· «Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός.» Παυσάμενος ὁ προφήτης ἱκεσίας, τὴν παρὰ τοῦ Πνεύματος ἀπόκρισιν ἐκδέχεται σιωπῶν.

«Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ.» Ἐκδεχόμενος ὁ προφήτης τὴν ἀπόκρισιν, ἣν ἀκούσομαι περὶ τοῦ γένους μου παρὰ τοῦ Θεοῦ, ἐκεῖνο ἔγνω, ὡς πᾶσιν ἕτοιμος εἴη γενέσθαι ἐγγύς, εἴ γε τὸν αὐτοῦ φόβον ἀσπάζοιντο· συμβήσεται δὲ τοῖς ἀσπαζομένοις τὸ ἐν δόξῃ κατασκηνῶσαι. Τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.»Τὴν μετὰ σαρκὸς οἰκονομίαν τοῦ Μονογενοῦς διὰ τούτων σημαίνει. Γέγονε γὰρ ἡμῖν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς δικαιοσύνη καὶ εἰρήνη καὶ ἔλεος καὶ ἀλήθεια Ἐλεήσας δὲ ἡμᾶς ἐδίδαξε τὴν ἀλήθειαν· καὶ μὴν καὶ δικαίους ἀπέφηνεν, «εἰρηνοποιήσας τὰ πάντα ἐν αὐτῷ τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς [1]»

«Ἔλεος καὶ ἀλήθεια συνήντησαν.» Σαφῶς τὴν διὰ τῆς Θεοτόκου καὶ Ἀειπαρθένου ἀνατείλασαν τῷ κόσμῳ κηρύττει ἀλήθειαν. Αὐτὸς γάρ ἐστιν ἡ ἀλήθεια, εἰ καὶ γεγένηται ἐκ γυναικός. «Δικαιοσύνη» γὰρ «καὶ ἀλήθεια κατεφίλησαν» σαφῶς διὰ τὴν ἐκ τῆς Ἀειπαρθένου Θεοτόκου ἀνατείλασαν τῷ κόσμῳ ἀλήθειαν.

«Καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν.» Ὅμοιον τὸ εἰρημένον πρὸς τὴν Παρθένον· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ [2]», καὶ τὰ ἑξῆς.

«Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα.» Ὅταν, φησί, καθ' ὑπερβολὴν χρηστότητος ἐπιλάμψῃ τοῖς ἐπὶ τῆς γῆς ὁ Κύριος, τότε καὶ ἡμεῖς, νοητὴ ὑπάρχοντες γῆ, τοὺς πνευματικοὺς καρποὺς ἀποδώσομεν τῆς δικαιοσύνης.

«Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται.» Εἰπών, ὡς δώσει ἡ νοητὴ γῆ τὸν καρπόν, διδάσκει πῶς δώσει. Πῶς δὲ δώσει, ἢ ὅταν αὐτοῦ τοῦ ἐργαζομένου τὸ ἀγαθὸν ἡ δικαιοσύνη, προβαδίσασα εἰς τὴν ἄνω ἄγουσαν ὁδόν, κατευθύνῃ τοῦ αὐτὴν πορευομένου τὰ διαβήματα;

1. Κολ. 1, 20. 2. Λουκ. 1, 35.

Προσευχὴ τῷ Δαυΐδ.

ΨΑΛΜΟΣ ΠΕ'.

Ὑπόθεσις.

Φωτισθεὶς διὰ τοῦ Πνεύματος τὰ περὶ τῆς παρουσίας τοῦ Μονογενοῦς ὁ μακάριος Δαυΐδ, καὶ τὴν ἐσομένην παντὶ τῷ καταφεύγοντι πρὸς αὐτὸν τῶν ἁμαρτημάτων ἄφεσιν, εἰκότως ἀναπέμπει προσευχήν, ἵνα καὶ αὐτὸν ἀξιῶν εὑρεθῆναι τῶν σῳζομένων διὰ τῆς χάριτος.

«Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου.» Μέγα γὰρ ὡς ἀληθῶς ἐφόδιον πρὸς τὸ εὐχόμενον ἐπακούεσθαι ἡ ταπεινοφροσύνη. «Ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.» Ταπεινοφρονήματος τῆς προσευχῆς τὸ προοίμιον. Τῆς γὰρ δικαιοσύνης ἄμφω κεκτημένοι τὸν πλοῦτον, ὅ τε Δαυΐδ καὶ ὁ Ἐζεκίας πρὸς τοῦτον μὲν οὐχ ἑώρων, εἰς δὲ τὴν τῆς φύσεως πενίαν ἀπέβλεπον, καὶ τὸν Θεὸν ἠντιβόλησαν οἰκτεῖραι ταύτην πτωχείᾳ συνεζευγμένην. Τὸ δέ, «Κλῖνον Κύριε, τὸ οὖς σου», ἐκ μεταφορᾶς τέθεικεν ἀρρώστου τινὸς ὑπὸ ἀσθενείας γεγωνότερον οὐ δυναμένου λαλεῖν, καὶ τὸν ἰατρὸν προσκλίνειν τῷ στόματι τὴν ἀκοὴν ἀναγκάζοντος.

«Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι.» Ἀφ' ὧν κατώρθωσεν ἀγαθῶν ἐπακουσθῆναι ἐξαιτεῖ. «Σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σοί.» Ἐπειδὴ ὅσιον ἑαυτὸν ἀνηγόρευσεν, ἐπὶ τὸ ταπεινὸν πάλιν καταφέρει τὸν λόγον, δοῦλον ἑαυτὸν ἀπογραφόμενος τοῦ Θεοῦ, καὶ ἐπ' αὐτῷ μόνῳ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχειν ἐπαγγειλάμενος.

«Ἐλέησόν με Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι·» Διδάσκει ἡμᾶς ὁ λόγος, ὡς τὸν βουλόμενόν τι παρὰ τοῦ Θεοῦ λαβεῖν ἀγαθόν, ἀδιάλειπτον δεῖ εἶναι ἐν προσευχαῖς.

«Ὅτι σύ, Κύριε, χρηστὸς καὶ ἐπιεικής.» Διδάσκει τοὺς προσερχομένους Θεῷ μὴ ἀκηδιᾶν, εἰ καὶ πρὸς ὀλίγον τὴν δόσιν ἀναβάλλεται. Ἔσται γὰρ πάντως αὐτοῖς ἐπήκοος, ἅτε χρηστὸς ὢν καὶ πολὺ λίαν εἰς ἔλεος πλούσιος.

«Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε.» Θεοὺς μὲν γὰρ τοὺς ἁγίους προφήτας φησί, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο. Λέγει δέ, ὅτι οὐδεὶς τῶν προφητῶν ἐξελέσθαι τοὺς ἀνθρώπους τῆς ἁμαρτίας ἴσχυσεν ἢ μόνος αὐτὸς ὁ Κύριος, κατὰ τὸ εἰρημένον ἀλλαχοῦ· «Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς.

«Εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.» Ὁ τὴν περὶ Θεὸν εὐλάβειαν κεκτημένος τὴν ἔννομον ἀσπάζεται πολιτείαν. Μήτηρ δὲ εὐφροσύνης ἡ τοιαύτη ζωή. Εἰκότως τοίνυν ὁ προφήτης τῷ φόβῳ τὴν οἰκείαν εὐφρανθῆναι καρδίαν ὑπώπτευσεν. Οὕτω γὰρ καὶ ἀλλαχοῦ φησιν· «Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον·» καὶ πάλιν· «Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην.»

«Ἐξομολογήσομαί σοι, Κύριε, ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου.» Μεταβαλὼν τὴν προσευχὴν εὐθὺς εἰς ἐξομολόγησιν, ἐφ' οἷς ἐρρύσθη τοῦ ᾅδου, τὴν αἰτίαν ἐξαγορεύει δι' ἣν ἥμαρτε, λέγων ἐπιβουλὴν πολλῶν τε καὶ κραταιῶν, αἰνιττόμενος τὰς ἀοράτους δυνάμεις, μὴ θεμένας πρὸ τῶν ὀφθαλμῶν τὸν Θεόν. Σὺ δέ, Κύριε, φησίν, ἅπερ ἐκεῖνοι μὴ προσεδόκησαν συνεχώρησας, ῥυσάμενος τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου φιλανθρωπίᾳ τῇ σῇ. Λέγει δὲ ταῦτα Χριστός, παραστάντων τῶν βασιλέων τῆς γῆς, καὶ τῶν ἀρχόντων συναχθέντων ἐπὶ τὸ αὐτὸ κατ' αὐτοῦ.

«Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ.» Ὡς ἤδη εἰς πέρας αὐτῶν ἀχθείσης τῆς προσευχῆς, τὸ μέγα ἔλεος τοῦ Θεοῦ εἰς τοὺς αἰῶνας αἰνέσειν φησίν· ὅτι δὴ καὶ αὐτῶν ἐκ χειρὸς ᾅδου τὰς ψυχὰς ἠλευθέρωσεν.

«Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ.» Δείκνυσι διὰ τούτων, ὡς εἰς τὴν ἁμαρτίαν ἐκείνην κατέπεσεν. Πῶς δέ, ἢ ἐκ τοῦ συναγωγήν τινα πονηρῶν πνευμάτων ἐπαναστῆναι καὶ ὑποσκελίσαι αὐτὸν τοῦ κατ' ἀρετὴν δρόμου;

«Καὶ σύ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων.» Εἰ καί, ἐπαναστάντων μοι τῶν πονηρῶν πνευμάτων, φησί, κατηνέχθην εἰς ἁμαρτίαν, καὶ δι' αὐτῆς εἰς τὸν προκείμενον κατώτατον ᾅδην· ἀλλὰ σύ, Κύριε, αὐτός, τοὺς οἰκείους οἰκτιρμοὺς καὶ ἐπ' ἐμοὶ ἐφαπλώσας, ἐρρύσω τὴν ψυχήν μου, διὸ καὶ πάλιν ἐλεεῖσθαι ἐξαιτῶ. Ἔσται δέ μοι ὁ ἔλεος διὰ τοῦ ἐπιβλέψαι σε εἰς ἐμέ.

«Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν.» Ὥσπερ πάλαι ἐν Αἰγύπτῳ τοῖς υἱοῖς Ἰσραὴλ σημεῖον δέδωκεν ὁ Θεός, τοῦ μὴ ἀδικηθῆναι αὐτοὺς παρὰ τοῦ ὀλοθρευτοῦ, οὕτω καὶ αὐτῷ σημεῖον δοθῆναι ἐξαιτεῖ, ὅπως ἂν καὶ φυλαχθῇ δι' αὐτοῦ, καὶ καταισχύνῃ τοὺς ἐχθρούς.

Τοῖς υἱοῖς Κορὲ ΨΑΛΜΟΣ ᾠδῆς.

ΠϚ'.

Ὑπόθεσις.

Ἄδουσι πάλιν τὸν ψαλμὸν τοῦτον οἱ τοῦ Κορὲ υἱοὶ εἰς τὴν Ἐκκλησίαν, δι' αὐτοῦ κηρύσσοντες τῶν ἐθνῶν τὴν κλῆσιν, καὶ τὴν γενομένην ἐπίλαμψιν τῇ Ἐκκλησίᾳ τοῦ Μονογενοῦς διὰ τῆς μετὰ σαρκὸς οἰκονομίας.

«Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.» Αὐτοῦ μὲν τοῦ κληθέντος διὰ τῆς πίστεως λαοῦ. Λέγει δέ, ὅτι ἐξ ἐθνῶν λαὸς ἐπῳκοδομήθη ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν.

«Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.» Πύλας Σιὼν τὴν εἰσαγωγικὴν καὶ στοιχειώδη διδασκαλίαν τῆς Ἐκκλησίας φησί· σκηνώματα δὲ Ἰακὼβ τὴν κατὰ νόμον λα-

τρείαν. Φησὶν οὖν ὡς αἱρετωτέρα κέκριται παρὰ τῷ Θεῷ ἡ εὐαγγελικὴ πολιτεία τῆς κατὰ νόμον λατρείας.

«Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.» Πόλις μὲν ἡ Ἐκκλησία. Ποῖα δεδοξασμένα ἐλαλήθη περὶ αὐτῆς, ἢ τὸ κατοικῆσαι ἐν αὐτῇ τὸν Μονογενῆ, κατὰ τὸ εἰρημένον· «Ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν;[1]»

«Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος.» Τῶν ἐπιστρεφόντων εἰς ἐμέ, φησίν, μνήμην εἰς ἀγαθὸν ποιήσομαι, ἢ καὶ τῶν ἐκτόπως εἰς φιληδονίαν ἐκκεκλικότων, καὶ τῶν ἄγαν εἰδωλολατρούντων. Ταῦτα γὰρ ἡμῖν ἐσήμανε διὰ τῆς Ῥαὰβ καὶ Βαβυλῶνος. Καὶ «Ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς τῶν Αἰθιόπων.» Διδάσκει ἡμᾶς ὁ λόγος σαφῶς, ὅτι δὴ ἐκ πάντων τῶν ἐθνῶν ἡ Ἐκκλησία συνέστηκεν.

«Μήτηρ Σιὼν ἐρεῖ· Ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.» Μητέρα φησί, δῆλον δέ, ὅτι οἱ πεπιστευκότες τὴν Σιὼν ἤτοι τὴν Ἐκκλησίαν ἐπιγραψόμεθα, ἐν ᾗ ὁ ἄνθρωπος, ἢ ὁ αὐτὸς ὁ θεμελιώσας αὐτήν. Οὗτος δέ ἐστιν ὁ γενόμενος δι' ἡμᾶς ἄνθρωπος, καὶ ἐπαγγελλόμενος ἐπὶ τὴν πέτραν θεμελιῶσαι τὴν Ἐκκλησίαν.

«Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων.» Τῶν λαῶν, φησί, καὶ τῶν ἀρχόντων τῶν ἐν αὐτῇ τῇ Ἐκκλησίᾳ γενομένων, ὁ Κύριος διηγήσεται τὴν γραφήν. Καὶ πῶς ἄν, φησίν, ἢ τὴν ἀπογραφὴν τὴν γενομένην ἐν τοῖς οὐρανοῖς, ἣν αὐτὸς αὐτοῖς διηγήσεται λέγων· «Χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς;[2]»

«Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.» Ὅταν, φησίν, ἐν σοὶ πάντων ἡ κατοικία τῶν ἐν τῇ Ἐκκλησίᾳ γένηται, τότε καὶ εὐφροσύνης ἔσονται πλήρεις.

Ὠδὴ ΨΑΛΜΟΥ τοῖς υἱοῖς Κορέ. Εἰς τέλος ὑπὲρ Μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως Ἐθὰμ τῷ Ἰσραηλίτῃ.

ΠΖ'.

Ὑπόθεσις.

Ἐν τούτῳ τῷ ψαλμῷ ὁ τοῦ Χριστοῦ εἰσφέρεται θάνατος, ὃν ὑπὲρ ἡμῶν ἀνεδέξατο· ὅπως καὶ τοῖς ἐν ᾅδου κηρύξας πνεύμασι δωρήσηται τὴν ἀνάστασιν. Ἀποκλαίεται δὲ καὶ τὴν Ἱερουσαλήμ, ἅτε δὴ ἐκπεσουμένην τῆς εἰς αὐτὸν ἐλπίδος. Αὕτη δὲ ἡ Ἱερουσαλήμ, ἤτοι ὁ λαός, πάλαι οἷόν τις χορὸς ἦν, καθὸ καὶ μερὶς αὐτοῦ καὶ κλῆρος προσηγορεύετο· διὸ καὶ πρὸς Μαελὲθ ἐπιγέγραπται ὁ ψαλμός, ὅ ἐστι χορείας ἤτοι χοροῦ. Ἐπειδὴ δὲ βαθὺ τὸ Χριστοῦ μυστήριον, καὶ λίαν λεπτῆς διανοίας δεῖ πνευματικῆς πρὸς τὸ συνιέναι αὐτό· τούτου χάριν «Συνέσεως» ἐπιγέγραπται. Λέγεται δὲ τοῦ Αἱμὰν εἶναι ὁ

---

1. Ψαλμ. 131, 14. 2. Λουκ. 10, 20.

ψαλμός, ἐν Αἰγύπτῳ πρὸς Μωσέως πεποιημένος. Οὗτος δὲ ὁ Αἱμὰν ἀπόγονος ἦν τοῦ Ἰσραήλ, ἅτε ἔκγονος ὢν τοῦ Ζαρά, ὃς ἦν υἱὸς τοῦ Ἰούδα, τοῦ υἱοῦ Ἰσραήλ.

«Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα.» Ἅτε ἀγαθὸς ὤν, εἰδὼς τὴν ἔκπτωσιν τοῦ λαοῦ καὶ τὴν τοῦ μαθητοῦ ἀπώλειαν, τὰς ὑπὲρ αὐτῶν ἀναπέμπεται πρὸς τὸν Πατέρα εὐχάς· ὅπως ἄν, τῆς κακίας μὴ μεταλαβόντες, καὶ αὐτοὶ τῆς δι' αὐτοῦ σωτηρίας τύχοιεν.

«Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου.» Εἰ καὶ αὐτὸς τὰς ἁμαρτίας ἡμῶν ἐβάστασε, καὶ περὶ ἡμῶν ὀδυνᾶται, εἰκότως καὶ κακῶν ἐμπέπλησταί φησι. «Καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.» Τοῦτό φησιν, ἐπειδὴ ὑπὲρ παντὸς χάριτι Θεοῦ ἐγεύσατο θανάτου.

«Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος.» Μόνος Ἰησοῦς καὶ ἀπέθανεν ὑπὲρ τῶν ἀνομιῶν τοῦ λαοῦ ἀγόμενος εἰς θάνατον, κατὰ τὴν Ἡσαΐου φωνήν·[1] καὶ νεκρὸς ἂν ἐλεύθερος ἦν μόνος·[2] οὐ γὰρ εἶχεν ἁμαρτίαν τὴν κάτοχον αὐτὸν ποιοῦσαν θανάτῳ. Διὸ καὶ ἔλεγεν· «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν.[3]»

«Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ.» Παρόμοιος, φησί, γέγονα ἀνθρώποις τετραυματισμένοις καὶ κειμένοις ἐν μνήμασιν, οἵ, τῆς σῆς μὴ τυχόντες ἐπικουρίας, οὐ τετυχήκασιν ἀναστάσεως. Ἐγὼ δὲ τετραυμάτισμαι, φησί, διὰ τὰς ἁμαρτίας τοῦ λαοῦ, καὶ ἐν τάφοις γέγονα, οὐ μὴν καὶ ἀπέμεινα· διότι μου καὶ μετὰ τὴν τρῶσιν καὶ τὴν ἐν τῷ τάφῳ κατάθεσιν ἐμνήσθης. Ἀνέστην γὰρ πατήσας τὸν θάνατον.

«Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου.» Θυμὸν τοῦ Θεοῦ φησι τὴν ἐπενεχθεῖσαν τῷ τῶν ἀνθρώπων γένει τοῦ θανάτου κατάραν. Ἐπειδὴ τοίνυν γέγονεν ὑπὲρ ἡμῶν κατάρα, τούτου χάριν τὸν θυμὸν τοῦ Θεοῦ ἐπ' αὐτὸν ἐπεστηρίχθαι φησί.

«Καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.» Μετεωρισμοὺς τὴν μετὰ σφοδρότητος ἐπενεχθεῖσαν τῷ τῶν ἀνθρώπων γένει ὑπὲρ τῆς παραβάσεως δίκην φησί. Σημαίνει δὲ πάλιν τὸν θάνατον.

«Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ.» Τοῦτό φησιν, ἐπειδὴ πάντες αὐτὸν κατέλιπον κατὰ τὸν τοῦ πάθους καιρόν. «Ἔθεντό με βδέλυγμα ἑαυτοῖς.» Ὅρα πῶς καὶ μέχρι νῦν Ἰουδαῖοι τὸ Χριστοῦ ὄνομα βδελύσσονται «Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην.» Τοῦτό φησι, διὰ τὸ κατάκλειστον αὐτὸν γενέσθαι ἐν τῇ οἰκίᾳ τοῦ ἀρχισυναγώγου.

«Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.» Ἀπεκλαιόμην, φησίν, ὑπὲρ τοῦ λαοῦ, ἰδὼν αὐτοὺς τοῦ κατὰ Θεὸν πλούτου ἐκπεσουμένους καὶ εἰς πτωχείαν κατενηνεγμένους ἐσχάτην.

«Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν.» Ἕνα τοίνυν πόρον δὸς τῆς τῶν δεινῶν ἀπαλλαγῆς, τὴν σήν, Δέσποτα, προμη-

1- Πρβλ. Ἡσ. 53, 8. 2. Πρβλ. Ψαλμ. 87, 5. 3. Ἰω. 10, 18.

θείαν. Ἐκτείνων γὰρ ἀεὶ τὰς χεῖρας ἀντιβολῶ σε. Τὴν πικρὰν δὲ τῆς ψυχῆς ὀδύνην τοῦτο τὸ σχῆμα δηλοῖ. Ὑπὸ γὰρ τῆς χρείας ἀναγκαζόμενος, σπουδαιότερόν τις ἱκετεύειν τὸν δοῦναι δυνάμενον.

«Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; Ἰατροὶ ἀναστήσουσι;» Τὰς αἰτίας ἡμᾶς διδάσκει τῆς εἰς τὸν θάνατον αὐτοῦ καθόδου, μονονουχὶ λέγων· Ἐπειδὴ οὔτε νεκροῖς δυνατόν, φησί, ποιήσασθαι θαυμάσια, οὔτε ἰατροῖς ἀναστῆσαι, ἵνα ἐξομολογήσωνταί σοι, οὔτε μὴν οἱ ἐν τῇ ἀπωλείᾳ δυνατοὶ ἦσαν γνῶναί σου τὴν ἀλήθειαν· τούτου χάριν, ὦ Πάτερ, καὶ τοῖς ἐν ᾅδου καταλελόγισμαι· ἵνα ἀναστάντες οἱ ἐν τῇ ἐπιλελησμένῃ γῇ καὶ τῶν θαυμασίων σου πεῖραν λάβοιεν, καὶ διηγήσωνται οἱ πάλαι ἐν τῷ σκότει τὴν ἀλήθειάν σου.

«Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου;» Μὴ δυνατόν, φησί, τοὺς εἰς κόνιν διαλυθέντας νεκροὺς καὶ ἐν τῷ ζόφῳ τοῦ θανάτου διάγοντας, καὶ λήθῃ παραδεδομένους, τῆς σῆς ἔσεσθαι φιλανθρωπίας, καὶ τῶν σῶν θαυμάτων θεατὰς καταστῆσαι;

«Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου;» Ὥσπερ ἐν τοῖς ἀπολωλόσιν οὐκ ἔστιν ἀλήθεια, οὕτως ἐν τοῖς ἐσκοτισμένοις οὐκ ἔστι θαυμάσια. Γῆ ἐπιλελησμένη ἐστὶ ψυχὴ λογικὴ τῶν τοῦ ἁγίου Πνεύματος ἐστερημένη καρπῶν.

«Ἵνα τί, Κύριε, ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;» Ὁ μὲν ὑπὲρ τοῦ λαοῦ προσηύχετο, οἱ δὲ ἀναξίους ἑαυτοὺς τῆς σωτηρίας δι' ὑπερβολὴν κακίας ἀποφαίνονται· οἱονεὶ ἄπρακτον αὐτοῦ τὴν ὑπὲρ αὐτῶν καθιστῶντες εὐχήν.

«Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου.» Πτωχὸς μὲν διὰ τοῦ δούλου λαβεῖν μορφήν· ἐν κόποις δὲ ἐκ νεότητος, διότι ἐκ σπαργάνων αὐτῶν ἐπεβουλεύετο παρά τε Ἡρώδου καὶ τῶν ὁμοίων αὐτῷ. «Ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.» Ὕψωσιν μὲν τὴν ἐπὶ τοῦ σταυροῦ ἄνοδόν φησι, κατὰ τὸ εἰρημένον ὑπ' αὐτοῦ· «Ὅταν ὑψώσητε τὸν Υἱὸν τοῦ ἀνθρώπου.[1]» Τὸ δέ, «ἐταπεινώθην», διὰ τὴν μέχρις ᾅδου κάθοδον λέγει.

«Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου.» Πᾶσαν, φησίν, ἐκίνησας κατ' ἐμοῦ τὴν ὀργήν· καὶ ταῖς φοβερωτάταις με διετάραξας τιμωρίαις, καὶ ταύταις καθάπερ ὕδασιν ὑποβρύχιόν με πεποίηκας.

«Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.» Ταλαιπωρίαν τὸν τοῦ πάθους καιρὸν κατασημαίνει. Λέγει οὖν, ὡς παρὰ τὸ πάθος αὐτὸν καὶ οἱ φίλοι καὶ οἱ γνώριμοι ἐγκατέλιπον. Ἐπειδὴ δὲ «γέγονεν ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ [2]», ἐν δὲ τῷ σταυρῷ καταλέλειπται παρὰ τῶν μαθητῶν· τούτου χάριν τὸν Πατέρα αὐτοῦ μακρῦναι τοὺς φίλους καὶ τοὺς γνωρίμους λέγει.

1. Ἰω. 8, 28. 2. Φιλιπ. 2, 8.

ΨΑΛΜΟΣ συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ.

ΠΗ'.

Ὑπόθεσις.

Ἐν τοῖς παροῦσι τὴν ἐκ σπέρματος Δαυὶδ γέννησιν τοῦ Χριστοῦ, καὶ τὴν βασιλείαν αὐτοῦ θεσπίζει, καὶ μὴν καὶ τὸ πάθος τὸ σωτήριον ὃ ὑπέμεινεν ὑπὲρ ἡμῶν. «Συνέσεως» δὲ ἐπιγέγραπται, ἐπειδὴ πνευματικοῦ μάλιστα χρεία νοῦ πρὸς τὸ νοῆσαι τὸ βάθος τῶν αὐτοῦ μυστηρίων. Τὰ δὲ περὶ τοῦ Αἰμάν, ὡς καὶ οὗτος προφήτης ἦν, ἐν τοῖς προλαβοῦσι σαφῶς διηγόρευται.

«Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι.» Καὶ ποῖα τὰ ἐλέη τοῦ Κυρίου, ἃ πεποίηκεν εἰς ἡμᾶς, ἃ καὶ ᾄδειν ὀφείλομεν; ἢ τὸ καθελεῖν μὲν τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ αὐτὸ τοῦ διαβόλου τὸ κράτος· ἐλευθερῶσαι δὲ ἡμᾶς ἁμαρτίας καὶ θανάτου. «Εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.» Ἀλήθεια μὲν τοῦ Πατρὸς ὁ Υἱός, ὃν καὶ εἰς γενεὰν καὶ γενεὰν ἐπὶ στόματος οἱ ἅγιοι φέρουσιν· ἔστι γὰρ ὁ λόγος ὡς ἀπὸ τοῦ ἀποστολικοῦ χοροῦ.

«Ὅτι εἶπας· Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται.» Σύ, ὦ Δέσποτα, φησίν, ἐπαγγείλασθαι κατηξίωσας, ὅτι εἰς τὸν αἰῶνα διηνεκῶς ἔλεος μέγα καὶ θαυμαστὸν οἰκοδομηθήσεται· ὅ ἐστι κατασκευασθήσεται, ἤγουν ἐγερθήσεται. Τὸ γὰρ οἰκοδομούμενον ἐγείρεταί πως καὶ ἀνίσταται. Ἔστι δὲ τοῦτο ἡ διὰ Χριστοῦ σωτηρία καὶ χάρις. Τὸ μὲν ἔλεος τοῦ Θεοῦ τοὺς ἀνθρώπους οἰκοδομεῖ, ἡ δὲ ἀλήθεια ἑτοιμάζει τὰς ἁγίας δυνάμεις. «Ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.» Ὥσπερ ἡ διὰ Χριστοῦ σωτηρία ἔλεος καὶ χάρις, οὕτω καὶ ἡ ἀλήθεια πάλιν καλεῖται, ἣ καὶ μέχρις οὐρανῶν ἐγήγερται, φησί, διὰ τοῦ αἵματος, εἴτε ἐπὶ γῆς εἴτε ἐν οὐρανῷ.

«Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου·» Ἀβραάμ, φησί, καὶ Ἰακώβ· τούτοις γὰρ δὴ τὰς περὶ Χριστοῦ ἐπαγγελίας δέδωκε κατὰ τὸ εἰρημένον· «Καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πᾶσαι αἱ φυλαὶ τῆς γῆς.[1]» «Ὤμοσα Δαυὶδ τῷ δούλῳ μου.» Καὶ ποῦ ὤμοσεν ἢ ἐν τῷ εἰπεῖν πρὸς αὐτόν· «Καὶ ἔσται ὅταν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου· ἀναστήσεται ἐκ τοῦ σπέρματός σου ἄλλος, ὃς ἔσται ἐκ τῆς κοιλίας σου. Καὶ ἑτοιμάσω εἰς τὸν αἰῶνα τὴν βασιλείαν αὐτοῦ. Αὐτὸς οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου.Καὶ ἀνορθώσω τὴν βασιλείαν αὐτοῦ εἰς τὸν αἰῶνα. Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν.[2]»

«Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου.» Τοῦτό φησι διὰ τοῦ γεννηθέντος Χριστοῦ, καὶ ποιμέσι τοὺς ἀγγέλους εὐαγγελίζεσθαι λέγοντας· «Ὅτι ἐτέχθη ἡμῖν σήμερον Χριστὸς Κύριος ἐν

---

1. Γεν. 22, 18. 2. Α' Παρλ. 17, 11-14.

πόλει Δαυίδ.[1]» Καὶ ἑτέρας δὲ ἐπουρανίου στρατείας πλῆθος ὀφθῆναι λεγόντων· «Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη.[2]»

«Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ;» Εἰ καὶ γέγονεν ἄνθρωπος, φησίν, ὁ Μονογενής, καὶ καθῆκεν ἑαυτὸν εἰς ἑκούσιον κένωσιν, καὶ ἔλαβε τὴν τοῦ δούλου μορφήν, ἀλλὰ καὶ οὕτως ἐστὶν ἀσύγκριτος ὑπὲρ πάντας καὶ οὐρανίους δυνάμεις· αἱ μὲν γὰρ οἰκετικὸν ἔχουσι τάγμα· ὁ δὲ Δεσπότης τῶν ὅλων ἐστὶ καὶ κύριος. Ἀλλὰ μὴν οὐδὲ ἐν «υἱοῖς Θεοῦ» ὅμοιός τίς ἐστιν αὐτῷ. Καὶ τοῦτο αὐτοὶ μαρτυροῦσι λέγοντες, ὅτι «Ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἡμεῖς ἐλάβομεν.[3]» Οὐκοῦν ὁ μὲν δίδωσιν ὡς Θεός, οἱ δὲ πλουτοῦσι τὰ παρ' αὐτοῦ.

«Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερός.» Ὥσπερ οἱ ἀσύνετοι σκανδαλίζονται ὁρῶντες αὐτὸν ἐν τῇ τοῦ δούλου μορφῇ, ἀκούοντες δὲ λέγοντος αὐτοῦ· «Ἐγώ εἰμι ἡ ἀλήθεια·[4]» καί, «Πρὸ τοῦ Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι·[5]» οὕτως οἱ ἅγιοι τοὔμπαλιν δοξάζουσιν αὐτόν, καὶ μέγαν καὶ φοβερὸν καλοῦσι. Καὶ τοῦτο ἐκεῖθεν δῆλον, ἐκ τοῦ τὸν μὲν Πέτρον ὥσπερ ἐκ στόματος ἁπάντων βοᾶν· «Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος·[6]» πάλιν δὲ τοὺς πάντας· «Ἀληθῶς Θεοῦ Υἱὸς εἶ·[7]» ὅτε τῇ θαλάσσῃ καὶ τοῖς ἀνέμοις ἐπετίμησεν.

«Δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου· σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης.» Δείκνυσιν ὁ λόγος, ὡς αὐτὸς ὁ ἐν τῇ τοῦ δούλου μορφῇ ἐστιν ὁ καὶ τὴν ὑγρὰν ἐξ ἀρχῆς παραγαγὼν οὐσίαν· καὶ αὐτός ἐστιν ὁ τεθεικὼς ἄμμον ὅριον τῇ θαλάσσῃ, καὶ εἰρηκὼς αὐτῇ· «Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ.[8]» Ἔδειξε δὲ τοῦτο ὑπάρχον ἀληθές, ἐπιτιμήσας καὶ τῇ θαλάσσῃ καὶ τοῖς ἀνέμοις, ὅτε μετὰ τῶν μαθητῶν συνέπλεε. «Τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις. Σὺ ἐταπείνωσας ὡς τραυματίαν τὸν ὑπερήφανον.» Αὐτὸς γάρ ἐστιν ὁ δήσας τὸν ἰσχυρὸν[9] καὶ τὸν ὑπερήφανον, καὶ «δεδωκὼς» τοῖς αὐτοῦ «πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.[10]»

«Σοί εἰσιν οἱ οὐρανοί, καὶ σή ἐστιν ἡ γῆ.» Ὥσπερ τῆς θαλάσσης Δεσπότης ἐστίν, οὕτω καὶ τῶν οὐρανῶν ποιητὴς καὶ γῆς ἁπάσης. «Τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας. Τὸν βορρᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας. Θαβὼρ καὶ Ἑρμών.» Τὰ τέσσαρα μέρη τῆς οἰκουμένης διὰ τούτων σημαίνει· διὰ μὲν τοῦ βορρᾶ τὰ ἀρκτῷα μέρη, διὰ δὲ τῆς θαλάσσης τὰ τῆς ἑσπέρας. Θάλασσαν γὰρ ἡ Γραφὴ τὴν ἑσπέραν καλεῖ· διὰ δὲ τοῦ Ἑρμὼν ὄρους τὸν νότον· διὰ δὲ τοῦ Θαβὼρ ὄρους πάλιν τὴν ἀνατολήν.

---

1. Λουκ. 2, 11. 2. Λουκ. 2, 14. 3. Ἰω. 1, 16. 4. Ἰω. 14, 6. 5. Ἰω. 8, 58. 6. Ματθ. 16, 16. 7. Ματθ. 14, 33. 8. Ἰὼβ 38, 11. 9. Πρβλ. Ματθ. 12, 29. 10. Λουκ. 10, 19.

«Σὸς ὁ βραχίων μετὰ δυναστείας.» Ὁ σός, ὦ Δέσποτα, βραχίων, φησίν, ἐπιδειχθείη τοῖς πᾶσι μετὰ δυναστείας. Εἰ γὰρ καὶ γέγονεν ἄνθρωπος καὶ πέφηνε καθ' ἡμᾶς, ἀλλ' ἐμφανὴς κατέστη ἡ τῆς μεγαλειότητος αὐτοῦ ὑπεροχή. Καὶ τοῦτό ἐστι τό· «Κραταιωθήτω ἡ χείρ σου· ὑψωθήτω ἡ δεξιά σου.»

«Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.» Κηρύξας τὴν ἐνανθρώπησιν τοῦ Μονογενοῦς, εἰκότως μακαρίζει τοὺς τὸ αὐτοῦ ἐκμαθόντας μυστήριον. Τοῦτο δέ ἐστι τὸ τοὺς ἐπινικίους ᾄδειν αὐτῷ. Ἀλαλαγμὸς γάρ ἐστιν ἡ ἐπὶ τοῖς πεσοῦσιν ἐχθροῖς γινομένη ᾠδή. Παρετάξατο δὲ ὑπὲρ ἡμῶν, καὶ νενίκηκε τὰς ἀντικειμένας δυνάμεις. «Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.» Τοὺς ἁγίους αὐτοῦ ἀποστόλους μακαρίζει, ὅτι δὴ τῷ ὀνόματι αὐτοῦ καὶ τῇ δυνάμει αὐτοῦ ἐποίουν ὅσα ἐποίουν παράδοξα.

«Καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.» Κέρας τὴν δόξαν φησί. Λέγει οὖν, ὡς πρὸς τὸν Πατέρα· Ἐπειδὴ σὺ ηὐδόκησας ἀποστεῖλαι τὸν Μονογενῆ, τούτου χάριν ἡ δόξα ἡμῶν διεγήγερται. Ἐδοξάσθημεν γὰρ συνεγερθέντες Χριστῷ [1], καὶ συμβασιλεύσαντες αὐτῷ.

«Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου.» Τότε, ἀντὶ τοῦ, πάλαι, φησί, δι' ὁράσεων προφητικῶν τοῖς υἱοῖς σου, λέγει δὲ τοῖς κεκλημένοις εἰς τὸ τῆς υἱοθεσίας ἀξίωμα, ἐλάλησας. Τί δὲ ἐλάλησας ἢ τό· «Ἐθέμην βοήθειαν ἐπὶ δυνατόν;» Ὅμοιον δὲ ὡσεὶ λέγοι· Δέδωκα, φησί, βοήθειαν ἐπὶ δυνατὸν τοῖς ἀσθενέσι καὶ πλεονεκτουμένοις ὑπὸ τοῦ Σατανᾶ, τοῦ καταφυγεῖν ἐπὶ δυνατόν. Ὁ δέ γε δυνατός, ὃν δέδωκεν ἡμῖν εἰς βοήθειαν ὁ Πατήρ, Χριστός που πάντως ἐστί· καὶ γάρ ἐστι δυνάμεων Κύριος· [2] «Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου, εὗρον Δαυὶδ τὸν δοῦλόν μου.» Ἐννόει Χριστὸν τὸν ἐκ σπέρματος Δαυίδ, ἐκλεκτὸν κεκλημένον, «διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε.[3]» Δαυὶδ δὲ πάλιν αὐτὸν ὀνομάζει, καθὸ ἐκ σπέρματος ἦν Δαυίδ· [4] καὶ μὴν καὶ δοῦλον, διὰ τὸ ἐν τῇ τοῦ δούλου μορφῇ πεφηνέναι.[5] «Ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.» Ὅτε Θεὸς ἦν ὁ Λόγος, ἐγεννήθη κατὰ σάρκα ἐκ γυναικός, καὶ προῆλθεν ἄνθρωπος, μένων ὡς ἦν Θεός· τότε, τὴν κρίσιν διὰ σὲ λαβών, ὠνομάσθη Χριστός. Θεὸς γὰρ ὢν ὁ Λόγος καὶ βασιλεὺς πρὸ αἰώνων ὑπάρχων [6], ἰδιοποιήσατο τὰ ἡμέτερα, ἵνα καὶ ἡμεῖς τὰ αὐτοῦ πλουτήσωμεν.

«Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ.» Ὁ Σωτὴρ ἔφασκε· «Τὰ ἔργα ἃ δέδωκέ μοι ὁ Πατὴρ ἵνα ποιήσω, αὐτὰ τὰ ἔργα μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι αὐτός με ἀπέσταλκε· [7]» καὶ πάλιν· «Ἀπ' ἐμαυτοῦ

---

1. Πρβλ. Ἐφ. 2, 6. 2. Πρβλ. Ψαλμ. 23, 10. 3. Φιλιπ. 2, 9. 4. Πρβλ. Ῥωμ. 1, 3. 5. Πρβλ. Φιλιπ. 2, 7. 6. Πρβλ. Ψαλμ. 73, 12. 7. Ἰω. 5, 36.

λαλῶ οὐδέν. Ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός.[1]» Καὶ τοῦτό ἐστιν ὃ λέγει νῦν ὁ Πατὴρ περὶ αὐτοῦ· «Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν.»

«Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ.» Εἰ καὶ εἰρήκασι· «Δεῦτε, ἀποκτείνωμεν αὐτόν, καὶ σχῶμεν αὐτοῖς τὴν κληρονομίαν αὐτοῦ·[2]» ἀλλ' ἦν ἀνόνητος τῷ Σατανᾷ καὶ τοῖς Ἰουδαίοις ἡ σκέψις, καὶ εἰς ἄφρακτον ἐκβέβηκεν αὐτοῖς τὸ ἐγχείρημα. Ἀνεβίω γὰρ ὁ Σωτὴρ τριήμερος, πατήσας τὸν θάνατον καὶ σκυλεύσας τὸν ᾅδην· καὶ ἀνέβη πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεόν· καὶ ἔστιν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, πάντων κατάρχων μετὰ τοῦ ἰδίου γεννήτορος. Οὐκοῦν ἀληθὲς τὸ εἰρημένον, ὅτι «Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ.»

«Καὶ συγκόψω ἀπὸ τοῦ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ.» Παραδέδονται γὰρ τῇ Ῥωμαίων στρατείᾳ, καὶ διολώλασι παντελῶς.

«Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ.» Ἀλήθειαν τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείαν φησίν, ἣν εἰσηγήσατο ἡμῖν ὁ Χριστὸς κατὰ τὸ εἰρημένον πρὸς τὴν ἐν τῇ Σαμαρείᾳ γυναῖκα· «Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.[3]» Καὶ τὸ ἔλεος δὲ οὐ δι' ἄλλου πεποίηκεν ὁ Θεὸς εἰς ἡμᾶς ἢ διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ. Δι' αὐτοῦ γὰρ μόνου καὶ τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ ἐμάθομεν προσκύνησιν, καὶ κατηλεήθημεν, ἀναιρεθέντος θανάτου, καὶ τῆς φθορᾶς ἐκ μέσου γενομένης. «Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.» Τοῖς γὰρ ὀνόμασιν, οἷς μάλιστα πρέπουσι τῷ Πατρί, καὶ αὐτὸς ὁ Υἱὸς δοξάζεται· οἷόν τι φημι· Θεὸς ἀληθινὸς ὁ Πατήρ· τοῦτό ἐστι καὶ Υἱός· αὐτὸς γάρ ἐστιν ἡ ἀλήθεια· καὶ ἡ ζωὴ κατὰ φύσιν ὁ Πατήρ ἐστί τε καὶ ὀνομάζεται, τοῦτο δὲ πάλιν καὶ ὁ Υἱός· αὐτὸς γάρ φησιν· «Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή.» Τοῦτο ἔλεγε πρὸς τὸν ἑαυτοῦ Πατέρα, ὅτι «Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά.[4]»

«Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ.» Θάλασσαν μέν, ὡς προειρήκαμεν, τὴν ἐν δυσμαῖς χώραν φησί· ποταμοὺς δὲ τὴν μέσην τῶν ποταμῶν λέγει, ἤτοι τὴν ἀνατολήν. Φησὶν οὖν, ὅτι εἰς πᾶσαν τὴν οἰκουμένην ἡ αὐτοῦ πρᾶξις ἐκταθήσεται. «Καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.» Ἐν μὲν τῇ θαλάσσῃ τίθεται ἡ χεὶρ τοῦ Χριστοῦ, ἐν δὲ τοῖς ποταμοῖς ἡ δεξιὰ αὐτοῦ. Πλὴν ἐὰν θελήσῃ, ἡ θάλασσα γίνεται ποταμός· καὶ πάλιν ὁ ποταμός, ἐὰν τηρήσῃ τὸν ἐκ τῆς κοιλίας αὐτοῦ ῥέοντα ποταμόν, τοῦ ζῶντος ὕδατος γίνεται θάλασσα.

«Αὐτὸς ἐπικαλέσεταί με· Πατήρ μου εἶ σύ, Θεός μου.» Πάλιν ἐνταῦθα οἰκονομικῶς ὁ σεσαρκωμένος Θεὸν ἑαυτοῦ τὸν Πατέρα καλεῖ, λέγων· «Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ

1. Ἰω. 14, 10. 2. Ματθ. 21, 38. 3. Ἰω. 4, 24. 4. Ἰω. 17, 10.

Θεόν μου καὶ Θεὸν ὑμῶν.[1]» Ὁ γὰρ προφήτης φησὶ περὶ αὐτοῦ, παιδίον γεννώμενον προφητεύων, Θεὸν ἰσχυρὸν ἔλεγεν αὐτόν, Πατέρα τοῦ μέλλοντος αἰῶνος.[2]

«Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου καὶ διαθήκην μου.» Αὐτῷ μὲν τῷ πεπιστευκότι δι' αὐτοῦ λαῷ φησιν. Ἔλεος δὲ τὴν διὰ πίστεως ἄφεσιν λέγει. Διαθήκην δὲ τὴν νέαν φησίν, ἣν καὶ πιστὴν εἶναι, ἀντὶ τῶν, ἀσφαλῆ καὶ βεβαίαν καὶ μένουσαν. Ἡ μὲν γὰρ πρώτη διαθήκη πέπαυται διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές· οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος.

«Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ.» Οὐ παύσεται γὰρ τὸ Χριστιανῶν ὄνομα, καὶ τῆς εὐαγγελικῆς λατρείας ἡ δύναμις· διηνεκὴς δὲ μᾶλλον ἔσται καὶ ἀκατάληκτος.

«Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυὶδ ψεύσομαι.» Ὅμοιον τῷ ἀλλαχοῦ εἰρημένῳ· «Ὤμοσε Κύριος τῷ Δαυὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει.[3]» «Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει.» Σπέρμα τοῦ Δαυίδ φησι τὸν ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα γεγεννημένον Χριστόν. Ὃς καὶ εἰς τὸν αἰῶνα μένει. Οὐ γάρ ἐστι τῶν ἐνδεχομένων, Θεὸν ὄντα καὶ Θεοῦ κατ' ἀλήθειαν Υἱόν, μὴ πάντη τε καὶ πάντων εἶναι αἰώνιον.

«Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου.» Θρόνον Χριστοῦ ἐννόει τὴν Ἐκκλησίαν· ἐπαναπαύεται γὰρ αὐτῇ. Ἔσται οὖν, φησίν, ἡ Ἐκκλησία Χριστοῦ καταστράπτουσα καὶ φωτίζουσα τὴν ὑπ' οὐρανόν, καὶ μένουσα διηνεκῶς ὁ ἥλιος καὶ ἡ σελήνη. Τὸ γὰρ ῥητὸν τοῦτο οὕτω φησί· «Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός.»

«Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν Χριστόν σου.» Τὰ συμβεβηκότα ἐπὶ τῷ τιμίῳ σταυρῷ οἱ μακάριοι προφῆταί φασι. Λέγουσιν οὖν, ὡς πρὸς τὸν Πατέρα καὶ Θεόν· Ἐπηγγείλω, φησίν, ὅτι εἰς τὸν αἰῶνα μένει τὸ σπέρμα Δαυίδ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος καὶ ἡ σελήνη· ἀλλ' «ἀπώσω καὶ ἐξουδένωσας· ἀνεβάλου τὸν Χριστόν σου.» Τὸ δέ, «ἀπώσω καὶ ἐξουδένωσας», ἀντὶ τοῦ, ἀπωσθῆναι, καὶ ἐξουδενωθῆναι συγκεχώρηκας. Οὐ γὰρ ὁ Πατὴρ ἀπώσατο καὶ ἐξουδένωσε τὸν ἴδιον Υἱόν· Ἰουδαῖοι δὲ μᾶλλον τοῦτο πεπράχασι· πλὴν κατὰ συγχώρησιν τοῦ Θεοῦ καὶ Πατρός. Καὶ τοῦτό ἐστι τὸ εἰρημένον· «Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν παρέδωκεν αὐτόν.[4]»

«Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου.» Ὑπερέθου πληρῶσαι, φησί, τὰς ἐπαγγελίας τὰς περὶ αὐτοῦ· πέπονθε γὰρ μεταξύ. Πῶς δὲ ὑπερέθετο, λέγει· «Κατέστρεψας» φάσκων «τὴν διαθήκην τοῦ δούλου σου.» Ἐπηγγείλω γάρ, φησίν, ὅτι εἰς τὸν αἰῶνα μένει· καὶ αὕτη γέγονεν ἡ παρὰ σοῦ περὶ αὐτοῦ διαθήκη. Ἀλλ' ἐσταύρωσαν

---

1. Ἰω. 20, 17. 2. Ἡσ. 9, 6. 3. Ψαλμ. 131, 11. 4. Ῥωμ. 8, 32.

αὐτὸν Ἰουδαῖοι, καὶ κατελογίσθη μετὰ νεκρῶν. Πέπονθε γάρ, φησί, καὶ ἐσταυρώθη· οὐκοῦν «κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου. Ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ.» Ἔρριψας, φησίν, εἰς τὴν γῆν τὴν δόξαν αὐτοῦ· ὡς γὰρ ἧκεν εἰς τὸ παθεῖν, ψιλὸς ἄνθρωπος ἐνομίσθη τοῖς παρανόμοις Ἰουδαίοις. Ἀλλ' οὐ μεμένηκε νεκρός, ὁ ἐν νεκροῖς ἐλεύθερος[1] κατὰ τὴν τοῦ προφήτου φωνήν· οὔτε μὴν ἀδοξίαν τινὰ προσετρίψατο τὸ πάθος αὐτῷ, ἀλλ' ἐδοξάσθη μᾶλλον διὰ τοῦ καταργῆσαι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον[2], καὶ ἐλευθερῶσαι τῶν ἀνθρώπων τὸ γένος. Πλὴν τὰ συμβεβηκότα φασὶν οἱ προφῆται.

«Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ.» Φραγμοὺς αὐτοῦ καὶ ὀχυρώματα τοὺς ἁγίους ἀποστόλους φησίν, οἳ καί, πάντες ἀφέντες αὐτόν, ἔφυγον δειλιάσαντες·[3] καὶ διὰ τοῦτό φησιν· «Ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν.»

«Διήρπαζον αὐτόν..... Εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ.» Ἔχαιρον γὰρ καὶ ἐπέσειον αὐτῷ τὰς κεφαλάς, ὁρῶντες αὐτὸν ἐπὶ ξύλου κρεμάμενον.[4]

«Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ.» Ἐπειδὴ ἀξίους ὄντας τὴν ἐσχάτην δίκην ἀποτῖσαι τοὺς σταυρώσαντας τὸν μονογενῆ τοῦ Θεοῦ καὶ Πατρὸς Υἱὸν οὐ τετιμώρηται παραχρῆμα, διὰ πολλὴν φιλανθρωπίαν καιρὸν μετανοίας, τὸν διὰ βαπτίσματος, καὶ αὐτοῖς χαριζόμενος· τούτου χάριν ἀποστρέψαι λέγεται τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ. Τὸ δέ, «ἀπέστρεψας», ἀντί, ἐπέσχες.

«Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτοῦ.» Τό, «κατέλυσας», ἀντὶ τοῦ, κατήνεγκας. Κατήνεγκας οὖν, φησίν, ἤτοι παρεσκεύασας εἰς τὸ πιστεύεσθαι, ὅτι καθαρός ἐστιν. Ἐπενοήθη γὰρ εἶναι πονηρός, καὶ ὡς ἁμαρτωλὸς κατεκρίθη, «καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη.[5]» Τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξας.» Ἐπειδὴ πέπονθε σαρκικῶς, καὶ γέγονεν ἐν νεκροῖς ἐλεύθερος· νομίσαντες οἱ σταυρώσαντες, ὅτι πεπονθὼς συνεστάλη, καὶ πέπαυται τοῦ καὶ ὅλως εἶναι καὶ ὀνομάζεσθαι· διὰ τοῦτο τὰς τῶν σταυρωσάντων ὑπονοίας διερμηνεύει λέγων· «Τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξας.»

«Ἕως πότε, Κύριε, ἀποστρέφῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;» Τουτέστι, Μέχρι τίνος ἰσχύσει τὰ τῶν Ἰουδαίων τολμήματα, ἐπισπουδαζόντων τὴν τοῦ Μονογενοῦς καὶ Σωτῆρος ἡμῶν σταύρωσιν; Ὁ δὲ Σύμμαχος· «Ἕως τίνος, Κύριε, ἀποκρυβήσῃ εἰς τέλος, φλεγήσεται ὡς πῦρ ὁ θυμός σου;» Μέχρι τίνος, φησί, Δέσποτα, οὐκ ἐθέλεις ἰδεῖν τὰς ἡμετέρας ὀδύνας, οὐδ' ἐπιφαίνῃ καὶ λύεις τὰς συμφοράς· ἀλλὰ καθάπερ πῦρ τὴν ὀργὴν τῇ μνήμῃ ἡμετέρων ἁμαρτάδων ἐκκαίεις;

---

1. Ψαλμ. 87, 5. 2. Πρβλ. Ἑβρ. 2, 14. 3. Πρβλ. Ματθ. 26, 56.
4. Πρβλ. Ματθ. 27, 39. 5. Ἡσ. 53, 12.

«Μνήσθητι τίς μου ἡ ὑπόστασις.» Ἐπ' ἀφθαρσίᾳ, φησί, τὸν ἄνθρωπον πεποίηκας, καὶ κατ' εἰκόνα τὴν σὴν ἔπλασας αὐτόν· ἀλλὰ γέγονεν ὑπὸ φθορὰν ἐξ ἀπάτης, φησίν. Οὐκοῦν τὴν ἀφθαρσίαν ἐπίδος ἵνα σῴζωνται, καθάπερ ἐπλάσθη τὸ ποίημα.

«Τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον;» Οὐδείς, φησίν, οὔτε θανάτου κρείττων γενήσεται, οὔτε μὴν «ἐκ χειρὸς ᾅδου τὴν ψυχὴν αὐτοῦ ῥύσεται», εἰ μὴ σύ, φησίν, ὦ Δέσποτα, τὴν ἀνάστασιν ἐπιδῷς.

«Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε; » Ἀρχαῖα ἐλέη τοῦ Θεοῦ, φησίν, ἡ πρὸ καταβολῆς κόσμου ὡρισμένη εἰς ἀφθαρσίαν ἀναστοιχείωσις.

«Μνήσθητι, Κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου.» Ἐπειδὴ «ὠνείδισάν» με, Κύριε, «οἱ ἐχθροί σου», φάσκοντες ψευδεῖς εἶναι τὰς περὶ ἐμοῦ τοῖς ἔθνεσι δεδομένας ἐπαγγελίας· αὗται δὲ ἦσαν τὸ σωθῆναι αὐτά, καὶ ἀπαλλαγῆναι θανάτου καὶ ἁμαρτίας· ὠνείδισαν δὲ ἀφορῶντες εἰς τὸν θάνατον τὸν ἐμόν· καὶ ματαίους αὐτὰς εἶναι ἀπέφηναν· τούτου χάριν αἰτῶ σοι μνησθῆναι· «τὸ» γὰρ «ἀντάλλαγμα τοῦ Χριστοῦ σου ὠνείδισαν», φησίν. Εἴη δὲ τὸ ἀντάλλαγμα αὐτοῦ ὁ θάνατος αὐτοῦ καὶ τὸ αἷμα, τὸ ἀντίλυτρον δεδομένον τῆς τοῦ κόσμου σωτηρίας· ὃ καὶ ὠνείδισαν, ὑπολαμβάνοντες αὐτὸν κεκρατῆσθαι θανάτῳ. Ἀλλ' οὐκ ἀπέμεινεν ὁ ἐν νεκροῖς ἐλεύθερος· ἀνέστη δὲ μᾶλλον τριήμερος. Διὸ καὶ ἐπισφραγίζει ὁ ψαλμὸς τό·

«Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα, γένοιτο, γένοιτο.» Ὡς ἀναστάντος ἤδη αὐτοῦ καὶ ἀνελθόντος εἰς τοὺς οὐρανούς, καὶ εὐλογουμένου, ἤτοι ἐξομολογουμένου εἰς τοὺς αἰῶνας μετὰ τοῦ ἰδίου Πατρός.

Προσευχὴ Μωϋσέως ἀνθρώπου τοῦ Θεοῦ.

ΠΘ'.

Ὑπόθεσις.

Ταύτην, φησί, τὴν προσευχὴν ἐν ἀπορρήτοις ἀναγεγραφότα τὸν Μωσέα παραδοῦναι· ὅπως ἂν ἔχοιεν οἱ κατὰ καιροὺς εἰδέναι, πῶς δεῖ αὐτοὺς ἐξομολογεῖσθαι περιπεσόντας ταῖς συμφοραῖς, αἳ γεγόνασιν αὐτοῖς ἐπ' ἐσχάτων τῶν χρόνων μετὰ τὴν κατὰ τοῦ Κυρίου ἀπείθειάν τε καὶ μιαιφονίαν γενομένην. Ὅπως δὲ μὴ λήθῃ παραδοθῇ τῷ χρόνῳ, ἐντέτακται ἐν τοῖς Ψαλμοῖς· καὶ εἰκότως μετὰ τὸν πη', ὃς καὶ τὸ πάθος τοῦ Κυρίου κατασημαίνει.

«Κύριε, καταφυγὴ ἐγενήθη ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.» Μέλλων ἐπικαλεῖσθαι τὸν Θεὸν εἰς ἔλεον, εἰκότως ἐξ ὧν ἤδη πολλάκις εὐηργέτησε ποιεῖ τὸ προοίμιον. Πῶς δὲ κατὰ γενεὰν εὐηργέτησε, τοῦτο ἴδοι τις εἴς τε τὰ ἐπὶ τοῦ Φαραὼ ἀποβλέψας, εἴς τε τὰ ἐπὶ Ἰησοῦ, εἴς τε τὰ ἐπὶ Βαβυλῶνος.

«Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν.» Ἐπειδὴ εἰς τὴν σάρκα ὁρῶντες τοῦ Κυρίου, ψιλὸν ἄνθρωπον ἐνόμιζον λέγοντες· «Οὔπω τριακονταετὴς γέγονας, καὶ Ἀβραὰμ ἑώρακας;[1]» Καὶ τοῦτο αὐτοῖς μάλιστα αἴτιον τῆς ἐκπτώσεως γέγονε, τὸ ἀγνοεῖν τὴν θεότητα. Διὰ τοῦτο νῦν ἐξομολογούμενοι, σαφῶς αὐτὸν εἶναι λέγουσι τὸν πρὸ πάσης κτίσεως συνόντα τῷ Πατρί.

«Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν.» Ἐντεῦθεν ἡ ἐξομολόγησις. Ἀξιοῖ δὲ ἀφ' ὧν πάντα τὰ ἔθνη εἰς ἐπίγνωσιν ἀληθείας ἐκάλεσε, καὶ αὐτὸς ἐπιστραφῆναι. Σὺ εἶπας, φησίν, ὦ Δέσποτα· «Ἐπιστρέψατε, υἱοὶ ἐπιστρέφοντες, καὶ ἰάσομαι τὰ συντρίμματα ὑμῶν.[2]» Ἐπειδὴ τοίνυν ἐπεστρέψαμεν, μὴ ἀποστρέψῃς ἡμᾶς εἰς ταπείνωσιν.

«Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε.» Τὸν καιρὸν τῆς ἐν νόμῳ λατρείας φησί, καθ' ὃν μάλιστα ἐπιτελεσθέντος τοῦ θείου ναοῦ ἤνθησεν. Ἀπὸ γὰρ Σολομῶντος τοῦ τὸν οἶκον ἐγείραντος μέχρι τῆς πολιορκίας τῆς μετὰ τὸν τίμιον γενομένης σταυρὸν εἰς τοῦτο συντείνει ἔτη χίλια. Ἀλλὰ ταῦτα, φησί, τὰ χίλια ἔτη μία ἡμέρα λογισθείη ἐνώπιόν σου· μᾶλλον μὲν οὖν μικρὸν ἡμέρας μόριον. Εἰκότως δὲ νυκτὶ παρεικάζει τὸν πρὸ τῆς ἐπιδημίας τοῦ Σωτῆρος καιρόν· ἅτε ὡς ἐν ἀωρίᾳ καὶ συγχύσει πάντων ἀνθρώπων ὄντων, διὰ τὸ μήπω αὐτοῖς ἀνατεῖλαι τὸν ἥλιον τῆς δικαιοσύνης.

«Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται τὸ πρωΐ.» Ὡσεὶ σαφέστερον ἔλεγε· Τὰ ἔτη αὐτῶν, τῶν ἀρνησαμένων σε δηλονότι, ἐν ἐξουθενήσει ἔσται πολλῇ. Γεγόνασι γὰρ καταπάτημα καὶ ἀνθρώπων καὶ δαιμόνων, ἅτε τὸν λυτρούμενον καὶ σῴζοντα αὐτοὺς ἀρνησάμενοι.

«Τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι.» «Πρωΐ» μὲν τὸν καιρὸν τῆς γενομένης αὐτοῖς ἐπιφανείας Χριστοῦ ἐν τῷ ὄρει Σινᾶ κατασημαίνουσι. «Χλόην» δὲ τὴν νομικὴν λατρείαν δηλοῖ, ἅτε μικρὸν ὕστερον μαραίνεσθαι μέλλουσαν. «Τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.» Ἑσπέραν φησὶ τὸν ἐπ' ἐσχάτων τοῦ αἰῶνος καιρόν, καθ' ὃν καὶ ἐπέφανεν ὁ Μονογενής· ἐν ᾧ δὴ καὶ παρῆλθεν ἡ τῆς κατὰ νόμον λατρείας ἄνθησις, σκληρυνθεῖσα ἀπάτῃ τῆς ἀπαθείας.

«Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου.» Σαφῶς τὰς ἐπενεχθείσας αὐτοῖς συμφορὰς διὰ τὰ ἴδια ἁμαρτήματα διαγορεύουσι. Καὶ Ἰουδαίοις ταῦτα, καὶ πᾶσιν ἀνθρώποις ἁρμόδια. Καὶ γὰρ τῶν ἀνθρώπων ἡ φύσις, παρανομίας τίνουσα δίκας, ὑπεβλήθη ταῖς συμφοραῖς, καὶ ταῖς παντοδαπαῖς περικλύζεται τρικυμίαις. Καὶ Ἰουδαῖοι, διὰ τὴν πονηρίαν τῆς γνώμης, τῆς ἐλευθερίας ἐξέπεσον.

«Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου.» Οὐ παρῆλθες, φησί, τὰς ἀνομίας ἡμῶν, ἅτε ἡμῶν ἐπικαλεσαμένων αὐτὰς εἰς τὰς ἑαυτῶν

1. Ἰω. 8, 57. 2. Πρβλ. Ἱερ. 3, 14.

κεφαλάς, διὰ τὸ εἰρηκέναι· «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.[1]» «Ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.» Ὡσεὶ ἔλεγεν· Ὁ βίος ἡμῶν καὶ αἱ ἐν αὐτῷ πράξεις πονηραὶ φαίνονται τῷ προσώπῳ σου. Οὐδὲν γὰρ ἠγνόησας τῶν ἐν ἡμῖν πεπραγμένων ἀπ' ἀρχῆς μέχρι τέλους.

«Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν.» Ἡ ἁμαρτία, φησί, τὴν σὴν ὀργὴν ἐκίνησε καθ' ἡμῶν· ἡ δὲ ὀργὴ τὴν τιμωρίαν ἐπήγαγεν· ἡ δὲ τιμωρία τὰς ὀδύνας ἐπήνεγκεν. Ἐν ὀδύναις γὰρ τὸν ὀλίγον ἡμῶν διατελέσαμεν βίον. «Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων.» Οὐδὲν βέβαιον, φησίν, οὐδὲ στατηρὸν ἡ ἀνθρωπεία φύσις ἔχει· δίκην ἀράχνης διασπᾶται ῥᾳδίως.

«Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη.» Ἔοικε ταῦτα τοῖς ὑπὸ τοῦ πατριάρχου Ἰακὼβ εἰρημένοις· «Αἱ ἡμέραι μου μικραὶ καὶ πονηραὶ οὐκ ἔφθασαν εἰς τὰς ἡμέρας τῶν πατέρων μου.[2]» Εἰσὶ μὲν οὖν οἳ καὶ πλείονα τοῦ εἰρημένου διαβιοῦσι χρόνον· ἀλλ' ἐκεῖνο ἐπ' ὀλίγων συμβαίνει. Τὸ δὲ κοινὸν καὶ ὡς ἐπὶ τῶν πλείστων κρατοῦν ἐνταῦθα διδάσκει. Ὥσπερ γὰρ τῶν πρόωρον δεχομένων τὴν τελευτὴν οὐκ ἐποιήσατο μνήμην, οὕτω τῶν σφόδρα γερόντων τῷ μακροβίῳ καταλέλοιπεν. Ἀλλ' ὅμως, φησί, καὶ ὁ βραχὺς οὗτος χρόνος ὀδύνης καὶ πόνων ἐμπέπλησται. «Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.» Ἐπειδὴ νεκρός τις καὶ εὐτελὴς ὁ βίος ἡμῶν, καὶ οὐ γινώσκομεν τί ἔσται ἡμῖν μετὰ ταῦτα ἀπὸ τοῦ κράτους σου· τούτου χάριν πράως, φησί, παίδευσον ἡμᾶς. Τὸ γάρ, «ἐπῆλθεν», ἀντὶ τοῦ, ἐπέλθοι, φησί. Αἰτοῦσι δὲ τῆς διὰ Χριστὸν παιδείας μεταλαβεῖν, ὅς ἐστι δεξιὰ τοῦ Πατρός· διό φησι·

«Τὴν δεξιάν σου οὕτως γνώρισόν μοι.» Ἀπὸ κοινοῦ τό, «γνώρισον», ἵνα ᾖ· Καὶ γνώρισον ἡμῖν τὴν δεξιάν σου, τουτέστι Χριστόν· γνώρισον δὲ ἡμῖν τοὺς τῇ καρδίᾳ τὴν σοφίαν ἔχοντας· οὗτοι δ' ἂν εἶεν οἱ ἅγιοι ἀπόστολοι καὶ εὐαγγελισταί, δι' ὧν καὶ ἐμάθομεν τῆς ἐπιστροφῆς τοὺς τρόπους.

«Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου.» Ὡς ἤδη τῆς εὐχῆς εὑρόντες τὸ πέρας τὰ τοιάδε φασίν. Ἀνατελεῖ γὰρ καὶ αὐτοῖς ὁ Ἥλιος τῆς δικαιοσύνης ἐπὶ συντελείᾳ τοῦ αἰῶνος τούτου.

«Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου.» Τό, «ἴδε», πάλιν ἀντὶ τοῦ, εἶδες, ἤτοι ἐπεσκέψω τοὺς δούλους σου καὶ τὰ ἔργα τῶν χειρῶν σου Δι' ἧς ἐπισκοπῆς τὴν λαμπρότητα καὶ τὸ φῶς τοῦ Θεοῦ ἡμῶν ἑωρακότες, καὶ ἐπιστρέψαντες, κατευθυνθείημεν ἐφ' οἷς τὴν τῆς ἐπιστροφῆς πρᾶξιν ἀποπληροῦμεν.

«Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς.» Καὶ ἡμᾶς λαμπροὺς καὶ περιφανεῖς ἀπέφηνε τῆς θεογνωσίας τὸ φῶς· καὶ Ἰουδαῖοι μετὰ τὴν ἐπάνοδον περίβλεπτοι πάλιν ἐγένοντο. «Καὶ

1. Ματθ. 27, 25. 2. Γεν. 47, 9.

τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον.» Ἔργα τοῦ νόμου· ἔργον τὸ ἐν τῇ Νέᾳ τελούμενον. Ἐν τῇ γὰρ Παλαιᾷ διάφοροι θυσίαι· ἐν δὲ τῇ Νέᾳ μόνος ὁ Υἱὸς θύεται. «Καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.» Ἔργα μὲν χειρῶν ἐστιν ἡ καθ' ἑκάστην πρᾶξις· ἔργον δὲ χειρῶν, ἐκ τούτων ἐπισυμβαίνουσα γνῶσις.

Αἶνος ᾠδῆς τῷ Δαυίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις.

Ϟ'.

Ὑπόθεσις.

Ἀκολούθως μετὰ τὸ δηλῶσαι τοῦ Ἰουδαίων λαοῦ τὴν ἀποστροφὴν ἐν τῷ ὀγδοηκοστῷ ἐνάτῳ ψαλμῷ, ἐν τούτῳ τῷ ψαλμῷ τὸ πρόσωπον εἰσάγει τῶν διὰ Χριστοῦ τελειουμένων, καὶ νικώντων δι' αὐτοῦ τοὺς νοητοὺς ἐχθρούς, ἀρχὰς δηλαδὴ καὶ ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, καὶ τὰ πνευματικὰ τῆς πονηρίας, καὶ αὐτὸν τὸν ἀλιτήριον Σατανᾶν· οἳ καὶ πολυτρόπως διὰ τῶν προκειμένων κατασημαίνονται. Φόβος τε νυκτερινὸς καὶ βέλος ἡμέρας πετόμενον, καὶ πρᾶγμα διαπορευόμενον ἐν σκότει, καὶ σύμπτωμα καὶ δαιμόνιον μεσημβρινόν, καὶ χιλιάδες καὶ μυριάδες, καὶ ἀσπίς, καὶ βασιλίσκος, καὶ λέων, καὶ δράκων. Κατὰ τούτων δὴ πάντων τὴν νίκην ἀναγορεύει τῷ τοῦ Θεοῦ ἀνθρώπῳ.

«Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου.» Τὸ προφητικὸν πνεῦμα τὸν ἄνθρωπον τὸν ποιησάμενον βοήθειαν καὶ ἐπικουρίαν Χριστόν, ὅς καὶ ἔστιν Ὕψιστος, μακαρίζει. Πῶς γὰρ οὐ μακάριος ὁ τὸν Θεὸν τοῦ οὐρανοῦ σκεπαστὴν ἔχειν ἀξιωθείς; «Ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.» Ὁ μένων ἐν ταύτῃ τῇ βοηθείᾳ σκέπεται καὶ φυλάσσεται.

«Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ.» Καὶ τίς ὁ τῷ Κυρίῳ λέγων ἢ ἄνθρωπος ὁ πεποιθὼς ἐπ' αὐτῷ, καὶ ἐπὶ τῇ σωτηρίᾳ αὐτοῦ ἐπερειδόμενος ;

«Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος.» Προεδίδαξεν, ὡς αἱ ἀντικείμεναι δυνάμεις διὰ τούτων κατασημαίνονται.

«Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι.» Εἰρηκότος τοῦ ἀνθρώπου τοῦ Θεοῦ, ὡς Θεὸς αὐτὸς ῥύσεται ἐκ τῆς τῶν θηρευτῶν παγίδος, ἔκ τε τῶν ταραχωδῶν λόγων, ἀποκρίνεται τὸ Πνεῦμα τὸ προφητικὸν παραθαρσύνον αὐτὸν καὶ εἰς ἀνδρείαν ὑπαλεῖφον πνευματικήν· «Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι·» ὡσεὶ σαφέστερον λέγοι· Καλύψει σε ὑπὸ τὴν σκιὰν τῶν πτερύγων αὐτοῦ· καὶ μὴν καὶ ὅπλῳ σκεπάσει σε. Οὗ δὴ γενομένου, οὐδεμία τῶν ἀντικειμένων δυνάμεων παραβλάψει σε.

«Ἀπὸ βέλους πετομένου ἡμέρας.» Ἀκάθαρτόν τινα δύναμιν νῦν βέλος ὠνόμασεν. «Ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.»

Οὐ σύγκριμα δαιμονιῶδες μεσημβρίας. Τὸν γὰρ μεσημβρινὸν δαίμονά φησιν εἶναι τῆς ἀκηδίας.

«Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς.» Κλίτος τὸ ἀριστερὸν μέρος σημαίνει, εἰκότως μέν. Τούτῳ δὲ τὰς χιλιάδας ἐπιβουλεύειν φησίν· τοῖς γε μὴν δεξιοῖς τὰς μυριάδας. Τὰ γὰρ ἐπιδέξια τῶν πραγμάτων ἡμῶν, καὶ τῶν ἀρετῶν καὶ ἰσχυρὰ καὶ θαυμαστότερα, τὸ πλῆθος τῶν πονηρῶν δυνάμεων παραλύειν ἐπιχειροῦσι.

«Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις.» Βλαβήσῃ μὲν οὐδέν, φησίν, ἐκ τῶν ἐπιβουλευόντων· συμβήσεται δέ σοι πεσόντας ἰδεῖν τοὺς ἐχθρούς.

«Τὸν Ὕψιστον ἔθου καταφυγήν σου.» Ἀντιφθέγγεται τὸ τοῦ Θεοῦ ἀνθρώπου, τὸ Πνεῦμα τὸ προφητικόν, ὅσον τῆς εἰς Θεὸν ἐλπίδος τὸ κέρδος ἐστίν.

«Οὐ προσελεύσεται πρὸς σὲ κακά.» Ἡ γὰρ τῆς κακίας φύσις ἔξωθεν ἐπέρχεται, τῆς ἀρετῆς οἴκοθεν τὴν πρόφασιν ἐχούσης. Εὐθῆ γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον πεποίηκεν, ὅς, ζητήσας λογισμοὺς πονηρούς, ἔξωθεν ἐπεσπάσατο τὴν κακίαν. «Καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.» Θαρρεῖν αὐτοὺς καὶ μηδὲν ἀηδὲς πείσεσθαι παρακελεύεται, ἐκ τοῦ πιστεύειν ἄγγελον βοηθὸν τῶν εἰς Θεὸν πιστευόντων καταπεμπόμενον.

«Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ.» Τοῦτο καὶ ἐν τῷ λγ' ἔφη ψαλμῷ· «Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύεται αὐτούς.[1]» Ἀκούωμεν δὲ καὶ Ἰακὼβ τοῦ πατριάρχου λέγοντος· «Ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν μου.[2]» Καὶ ὁ μέγας Ἀβραὰμ τὸν οἰκέτην παραθαρρύνων ἔφη· «Ὁ Θεὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου σου, καὶ λήψῃ γυναῖκα Ἰσαὰκ τῷ υἱῷ μου ἐκεῖθεν.[3]» Πανταχόθεν τοίνυν μανθάνομεν, ὡς καὶ δι' ἀγγέλων φρουρεῖ τοὺς εἰς αὐτὸν πεποιθότας ὁ τῶν ὅλων Θεός. «Τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.» Ὁ ἐν μηδενὶ πταίων, οὗτος διαφυλάσσεται ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

«Μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.» Ὁ πούς μὲν τὴν ψυχὴν σημαίνει, ὁ δὲ λίθος τὴν ἁμαρτίαν.

«Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ.» Οὐ μόνον οὐδέν, φησίν, ὑπομενεῖς δεινόν, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ἀλλὰ καὶ αὐτὰ τῶν πνευμάτων τὰ πλήθη ὑπὸ τοὺς πόδας ἴδοις ἐπενηνεγμένα τοὺς σούς· ὡς καὶ μετὰ πάσης ἀδείας τὰς αὐτῶν πατήσεις κεφαλάς.

«Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν.» Εἰσφέρει τὸ τοῦ Θεοῦ πρόσωπον, μισθὸν τῆς πίστεως τὴν σωτηρίαν ἐπαγγελλόμενον. Ταῦτα λοιπὸν ὁ τῶν ὅλων ἔφη Θεός, διδάσκων τίς ὁ τῆς ἐλπίδος καρπός. Ῥύσομαι γὰρ αὐτόν, φησίν, ἐκ τῶν εἰρημένων ὁρατῶν τε καὶ ἀοράτων ἐπιβούλων, τῇ ἐμῇ ἐλπίδι φραξάμενος· διὰ τοῦτο αὐτὸν φουρήσω,

1. Ψαλμ. 33, 8. 2. Γεν. 48, 16. 3. Γεν. 24, 7.

καὶ καλοῦντος ἀκούσομαι, καὶ τὴν δέησιν δέξομαι. «Σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.» Οὐ μόνον, φησί, τῶν ἐπιβουλευόντων τοὺς ἐμαυτοῦ ῥύσομαι, ἀλλὰ γὰρ καὶ τὴν ἀτελεύτητον αὐτοῖς χαρίσομαι ζωήν· καὶ μὴν καὶ τοῦ σωτηρίου καταξιώσω τοῦ ἐμαυτοῦ. Εἴη δὲ τὸ σωτήριον ἡμῶν Ἰησοῦς Χριστός, ὁ καὶ εἰς τὸν νέον ἡμᾶς ἀγῶνα εἰσάγων, καὶ συμβασιλεύειν αὐτῷ παρασκευάζων.

«Κεκράξεται πρός με, καὶ ἐπακούσομαι.» Κεκραγὼς δὲ τῇ τῆς ψυχῆς μεγαλοφωνίᾳ πρὸς ἐμέ, ἐπακούοντά με, καὶ ἐπινεύοντα αὐτῷ εὑρήσει. Ἀεὶ γὰρ αὐτῷ πάρειμι, κἂν ἐν περιστάσει τυγχάνῃ.

«Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.» Εἴη δὲ τοῦτο τὸ σωτήριον αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, ὁ καὶ εἰς τὸν νέον ἡμᾶς αἰῶνα εἰσαγαγών, καὶ συμβασιλεῦσαι αὐτῷ καὶ παρασκευάζων.

ΨΑΛΜΟΣ ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ Σαββάτου.

ϞΑ'.

Ὑπόθεσις.

Ὁ Σαββατισμός, ἤτοι τὸ Σάββατον, εἴη ἂν ἡ μέλλουσα κληρονομία, ὅτι καὶ ἀνάπαυσις τοὺς ἐνθάδε πόνους διαδέξεται, τὰς ἀμοιβὰς ἡμῶν δηλονότι ἀποληψομένων. Αἰνεῖ οὖν ἐκείνην τὴν γενησομένην ἀνάπαυσιν.

«Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ.» Αἴνεσιν προβάλλεται, φησί, καὶ ταύτην ἡμέρας τε καὶ νυκτὸς ἀπαύστως ὑπισχνεῖται καταλέγειν ἐφ' οἷς πεποίηκεν ὁ Μονογενής. Καὶ τί πεποίηκεν ἢ τὴν ἀνάστασιν ἡμῖν παρεσκεύασεν;

«Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου.» Ἀπαγγέλλειν κατ' ὄρθρον τὸ ἔλεός σου, καὶ τὴν βεβαιότητά σου κατὰ νύκτα.

«Ἐν δεκαχόρδῳ ψαλτηρίῳ, μετ' ᾠδῆς ἐν κιθάρᾳ.» Δεκάχορδον ψαλτήριον τὸ σῶμά φησιν, ἅτε πέντε αἰσθήσεις ἔχον καὶ πέντε ἐνεργείας ψυχῆς, δι' ἑκάστης αἰσθήσεως γινομένης ἐνεργείας ἑκάστης.

«Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου.» Ὁρῶν γάρ σου τὰς δημιουργίας καὶ τὰς ἀρρήτους οἰκονομίας ἀγάλλομαί τε καὶ γάνυμαι, καὶ τῇ τῆς ψυχῆς ἡδονῇ τὴν γλῶτταν εἰς ὑμνῳδίαν κινῶ.

«Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε!» Ἐγὼ μέν, φησί, τὰ σὰ ἔργα ἀνυμνῶν, καὶ τὸ βάθος τῶν σῶν λογισμῶν ἐκπλήττομαι, ὧν ἐν τῇ οἰκονομίᾳ εἰργάσω. Ἀλλ' οἱ ἄφρονες οὐ συνιᾶσι τοῦ μυστηρίου τὸ βάθος.

«Ἀνὴρ ἄφρων οὐ γνώσεται.» Διαφόρως ταῦτα εἴρηκεν, ὅτι ὁ τὰς φρένας νοσῶν καὶ συνέσεως ἔρημος τούτων οὐδὲν γινώσκει, οὔτε μὴν ἀκούσεται περὶ τούτων.

«Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον.» Οἱ μὴ συνιέντες,

φησί, τὸ μυστήριον δίκην χόρτου ἔσονται, μὴ ἔχοντες τὸ βάθος δηλαδή, καὶ ταχέως πεσοῦνται καὶ ξηρανθήσονται.

«Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου.» Ὅταν, φησίν, ἀπολοῦνται οἱ ἐχθροὶ καὶ διασκορπισθήσονται, τότε δὴ τότε τὸ ἐμὸν κέρας, τουτέστιν ἡ βασιλεία ἡ ἡτοιμασμένη, περιφανὴς γενήσεται. Ἡμεῖς δὲ οἱ τὴν σὴν ἐπίγνωσιν ἔχοντες, τὴν τῶν ἐχθρῶν σου κατάλυσιν θεασάμενοι, γαυριάσομεν ἐπὶ σοὶ καὶ μέγα φρονήσομεν· ἅτε δὴ τῆς πολυθέου πλάνης ἀπηλλαγμένοι, καί σε τὸν ὄντα προσκυνοῦντες Θεόν. Τὸν γὰρ μονόκερων ἐνταῦθα πάλιν παρήγαγεν, ἵνα διὰ τοῦ ἑνὸς κέρατος τὸν ἕνα παραδηλώσῃ Θεόν. Ὥσπερ γὰρ ἐκεῖνο τὸ ζῷον ἓν ἔλαβε παρὰ τῆς φύσεως κέρας, οὕτω τῆς εὐσεβείας οἱ τρόφιμοι μίαν προσκυνήσουσι θεότητα. «Καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι.» Μετὰ τοὺς πόνους, φησίν, οὓς ὑπομένω, τότε δὴ οἱονεὶ ἐλαίῳ χρήσομαι εἰς βασίλειον ἱεράτευμα· καὶ τοῦτό μοι ἔσται τῶν μακρῶν πόνων τὸ γέρας.

«Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου.» Ἔσται μοι τοῦτο μετὰ τῶν ἄλλων καλῶν, τὸ θεατήν με γενέσθαι πιπτόντων τῶν ἐπιβούλων μου τῆς ψυχῆς.

«Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου.» Οὗτοι δέ, φησίν, οἱ τούτοις ἀπεικασμένοι τοῖς κέδροις, φυτουργὸν μὲν ἔχουσι τὸν Θεόν, παράδεισον δὲ τὸν θεῖον νεών. «Ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἀνθήσουσιν.» Ἐν ταῖς ἄνω δηλονότι μοναῖς, ἃς καὶ αὐλὰς εἶναι τοῦ Κυρίου φησίν.

«Ἔτι πληθυνθήσονται ἐν γήρᾳ πίονι, καὶ εὐπαθοῦντες ἔσονται.» Τό, εὐπαθοῦντες, ἀντὶ τοῦ, εὖ πάσχοντες. Ἀποδοθήσεται γὰρ αὐτοῖς «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν.[1]»

«Ὅτι εὐθὴς ὁ Κύριος ὁ Θεὸς ἡμῶν.» Ἐπειδὰν ἐν ταῖς ἄνω μοναῖς γενόμενοι ἀπολαύωσι τὰ ἡτοιμασμένα ἀγαθά, τότε δὴ τότε καὶ ταύτην ἀναγγελοῦσι τὴν φωνήν, ὡς δίκαιος καὶ εὐθὴς ἔσται ὁ Κύριος, ὃς τοὺς μὲν παρανόμους καὶ ἀσεβεῖς δίκην χόρτου ἀποξηρανθῆναι παρεσκεύασε· τοὺς δὲ δικαίους καὶ εὐσεβεῖς οἷα κέδρους καὶ φοίνικας ἐν ταῖς ἄνω κατεφύτευσε σκηναῖς. «Ἀδικία οὐκ ἔστι» παρὰ τῷ Θεῷ, διὰ τὸ εἶναι αὐτὸν κακίας ἀνεπίδεκτον.

Εἰς τὴν ἡμέραν τοῦ πρὸ τοῦ Σαββάτου, ὅτε κατῴκιστο ἡ γῆ, αἶνος ᾠδῆς τῷ Δαυίδ.

ϞΒʹ.

Ὑπόθεσις.

«Εἰς τὸ Σάββατον» ἐν τῷ προλαβόντι ψαλμῷ δηλοῦται ἡ δευτέρα παρουσία τοῦ Κυρίου, καθ' ἣν καὶ βασιλεύσει τοῦ νέου αἰῶνος μετὰ

1. Α' Κορ. 2, 9.

τῶν ἁγίων αὐτοῦ. Δηλονότι τό, «πρὸ Σαββάτου», ἂν εἴη ἡ πρώτη αὐτοῦ παρουσία, ὅτε καὶ ἡ γῆ κατῴκισται, τουτέστιν ὅτε ἡ Ἐκκλησία πάσῃ τῇ οἰκουμένῃ τεθεμελίωται, τῶν ἁγίων ἀποστόλων δηλονότι καὶ εὐαγγελιστῶν τὸν περὶ Χριστοῦ καταγγειλάντων τῇ γῇ λόγον.

«Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.» Ἐπειδὴ τὸ ἀνθρώπινον γένος, ἀποστὰν τῆς ὑπὸ Θεοῦ βασιλείας, ὑπὸ τὴν τυραννίδα γέγονε τοῦ Σατανᾶ, τούτου χάριν ἐπεδήμησεν ὁ Μονογενής, ἵνα πάλιν αὐτὸ τοῖς ἰδίοις ὑποτάξῃ σκήπτροις, ὃ καὶ ἐγένετο· Θεοῦ εὐπρέπειαν δὲ τὴν σωτηρίαν αὐτοῦ τοῦ γένους φησίν Εἰ μὴ γὰρ σεσάρκωται, τὴν ἡμετέραν δίχα τῆς ἁμαρτίας λαβὼν φύσιν, δηλονότι οὐκ ἂν ἡμῖν ἡ σωτηρία ἐγένετο. «Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ.[1]» «Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.» Διὰ τούτων τὴν καθαίρεσιν ἡμῖν τῶν ἀντικειμένων σημαίνει δυνάμεων, ἣν πεποίηται, ὥσπερ στρατιωτικὸν σχῆμα ἀναλαβών. «Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.» Ἐκείνους προανελών, τοὺς ἀντικειμένους δηλονότι δαίμονας, ἔστησεν ἐπὶ πέτραν τὴν Ἐκκλησίαν, ἧς οὐδὲ αὐταὶ κατισχύσουσιν αἱ τοῦ ᾅδου πύλαι.

«Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε.» Τοῦτό φησι, διὰ τὸ προωρίσασθαι ἀπὸ καταβολῆς κόσμου τὴν τοῦ ἀνθρωπίνου γένους σωτηρίαν ἐσομένην διὰ τῆς σωτηρίας αὐτοῦ. Θρόνον γὰρ τὴν εἰς τὸ κρίνειν τοὺς ἀδικήσαντας ἡμᾶς δαίμονας· ἀνάστασιν δὲ σημαίνει τοῦ Μονογενοῦς. Σὺ οὖν αὐτός, φησίν, ὦ Δέσποτα, ὁ νῦν εἰς τοῦτο ὥσπερ ἐπὶ δικαστικοῦ θρόνου καθίσας, εἰς τὸ κρίνειν δηλονότι καὶ ἐκδικεῖν ἡμᾶς, ὑπάρχεις ὁ πρὸ τῶν αἰώνων Θεός.

«Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.» Ποταμοὺς ἐνταῦθα τοὺς ἁγίους ἀποστόλους καὶ εὐαγγελιστάς φησιν, οἳ καὶ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν τοῖς πνευματικοῖς κατεύφραναν νάμασιν. Εἴρηται γὰρ πρὸς αὐτούς· «Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.[2]»

«Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης.» Αἱ πολλαί, φησί, μυσταγωγίαι, καὶ τὰ νοήματα τῶν ἀποστόλων καὶ εὐαγγελιστῶν νάματα, θαυμαστοὺς πεποίηκε τῆς θαλάσσης τοὺς μετεωρισμούς. Θάλασσαν δὲ λέγει τῶν ἐθνῶν τῶν πιστευσάντων τὰ πλήθη, ὧν καὶ οἱ μετεωρισμοί, τουτέστιν αἱ ὑψώσεις τοῦ φρονήματος, θαυμασταὶ γεγόνασιν. Οὐκέτι γὰρ μικρὰ καὶ ταπεινὰ φρονοῦσι περὶ Θεοῦ, ἀλλὰ μεγάλα καὶ θαυμαστά.

«Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα.» Μαρτύρια τὰς ἐπαγγελίας φησὶν ἃς διὰ τῶν ἁγίων προφητῶν τοῖς ἔθνεσιν ἐπηγγείλατο, ἃς καὶ πιστὰς ἐπ' ἐσχάτων ἐπεδείξατο τῶν ἡμερῶν, τῇ οἰκείᾳ παρουσίᾳ

1. Αʹ Κορ. 15, 25. 2. Ἰω. 7, 38.

ἔργῳ πληρῶν. «Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε.» Οἶκος μὲν αὐτοῦ ἡ Ἐκκλησία, πρέπει δ' αὐτῇ τὸ ἁγία εἶναι, ἅτε τὸν μόνον ἅγιον ἔχουσα ἐνοικοῦντα· ἐπειδὰν δὲ τοῦτο γένηται, καὶ ἀτελευτήτου μεταλαβοῦσα ἀπολαύει τοῦ ἁγιάσματος.

ΨΑΛΜΟΣ τῷ Δαυὶδ τετράδι Σαββάτων.

ϞΓ′

Ὑπόθεσις.

Τὸν περὶ προνοίας ἐν τούτῳ εἰσάγει λόγον, διδάσκων μὴ θλίβεσθαι καὶ ἀδημονεῖν, κἂν εἰ πρὸς καιρὸν γένοιτο καὶ τοῖς ἁμαρτάνουσιν εὐημερία, καὶ τοῖς εὐσεβέσι διωγμός. Οὐδὲν γὰρ τούτων ὡσαύτως μένει, ἀλλὰ μεταβαλεῖται· τοῖς μὲν ἡ θλίψις εἰς αἰώνιον ἀπόλαυσιν ἀγαθῶν, τοῖς δὲ μετὰ τὸ δοκοῦν τὰ χρηστὰ εἰς ἀτελευτήτους αἰῶνας ἡ κόλασις. «Τετράδα δὲ Σαββάτων » ἐπιγέγραπται, διὰ τὸ ἐν τῷ τετάρτῳ μηνί· ἀντὶ γὰρ τοῦ μηνὸς τὴν ἡμέραν τέθεικεν ἐν ᾗ τῇ τοῦ Θεοῦ πόλει τὴν ἀρχὴν γενέσθαι τῶν συμφορῶν, ἐν τούτῳ ἐπιστρατευσάντων Βαβυλωνίων, ὡς Ἱερεμίας ἱστορεῖ.

«Θεὸς ἐκδικήσεων Κύριος, ὁ Θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο.» Ὥσπερ Θεὸς οἰκτίρμων ἐστί, καὶ Θεὸς παρακλήσεων, οὕτω καὶ Θεὸς ἐκδικήσεων. Καὶ πάλιν, τοῦτο δὲ ἐν προοιμίῳ παραμυθίαν μεγάλην τοῖς ἐκ τῶν θλίψεων ἀκηδιάσασιν ἀπεργαζόμενος. Τὸ δέ, «ἐπαρρησιάσατο», τὴν μετὰ ταῦτα ἐπὶ τοῦ θείου δικαστηρίου γενομένην ἀπόφασιν κατὰ τῶν ἀσεβῶν δηλοῖ, ᾗ φησι· «Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι.[1]»

«Ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.» Εὐχὴν ὑπὲρ τῶν θλιβομένων ἀναπέμπει, αἰτῶν αὐτοῖς ἐπικουρίαν τὴν παρὰ τοῦ μόνου ἰσχύοντος Θεοῦ.

«Ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;» Τὴν σφοδρὰν ἀμνησικακίαν καὶ ὑπερβάλλουσαν διὰ τούτων κατασημαίνει τοῦ Θεοῦ.

«Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν.» Εἰς ζῆλον τὸν κατὰ τῶν ἐχθρῶν διεγείρει τὸν Θεόν, λαὸν αὐτοῦ καὶ κληρονομίαν εἶναι λέγων τὴν κακουμένην παρὰ τῶν ἐχθρῶν.

«Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν.» Τούτων εἴρηται ἡ ἑρμηνεία ἐν τῷ ἀνωτέρῳ στίχῳ, ὅμως λεχθήσεται καὶ αὖθις. Χήραν ψυχὴν καὶ προσήλυτον νοῦν ἀποκτείνει ὁ κακῶς τὰς θείας Γραφὰς ἐξηγούμενος. Ὀρφανὸς δέ ἐστι νοῦς ἐστερημένος οὐρανίου Πατρός.

«Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.» Πῶς γὰρ οὐκ εἰσι ματαιότητος πλήρεις αἱ αἰσθήσεις ἐκεῖναι, αἱ τῆς προνοίας τὸ ὠφέλιμον ἐξορίζειν ἐπιχειροῦσαι τοῦ λόγου;

1. Ματθ. 25, 41.

«Μακάριος ἄνθρωπος ὃν ἂν παιδεύσῃς, Κύριε.» Ἐκεῖνοι μὲν ἄθλιοι καὶ ταπεινοί, φησίν, οἱ τὴν σὴν μὴ δεχόμενοι παιδείαν. Μακάριοι δὲ οἱ παρὰ σοῦ παιδευθέντες, καὶ ἐκ τοῦ σοῦ διδαχθέντες νόμου. Οὗτοι γὰρ δὴ καὶ ἐν ταῖς θλίψεσι πραϋνθέντες κουφισθήσονται τῶν ἀνιαρῶν, εἰδότες, ὅτι αἱ θλίψεις εἰς ἀγαθὸν τελευτῶσαι ἐκβήσονται. Ἡμέρας πονηρὰς τὰς ἡμέρας τῆς κρίσεως λέγει.

«Ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.» Μέχρι τοσούτου, φησίν, οἱ παιδευθέντες θαρροῦντες ὑπομενοῦσι τὰς θλίψεις, «μέχρις οὗ τῷ ἁμαρτωλῷ ὀρυγῇ βόθρος», τουτέστιν, εἰς τὸ ἡτοιμασμένον αὐτῷ κολαστήριον ὁ ἁμαρτωλὸς βαδίσῃ. Ἁμαρτωλὸν δὲ τὸν Σατανᾶν φησιν, ἤτοι πᾶσαν ἀντικειμένην δύναμιν.

«Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ.» Τοῦτο ἐκείνου ἂν εἴη ἀπόδοσις τοῦ εἰρημένου ἐν τοῖς ἀνωτέρω· «Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν. Καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.» Τοῦτο τοῦ ἄνω στίχου ἤρτηται, τοῦ, «Ὅτι οὐκ ἀπώσεται Κύριος, τὸν λαὸν αὐτοῦ.» Ὡσεὶ λέγοι· Φυλάξει, φησί, τὸν λαὸν αὐτοῦ πάντα τῆς θλίψεως τὸν καιρόν. Καὶ μέχρι τοσούτου διακυβερνήσει καὶ καθοδηγήσει, ἕως τὸ θεῖον καθίσῃ δικαστήριον. Ἐπειδὰν δὲ εἰς τοῦτο ἡ δικαιοσύνη καθίσῃ, τουτέστι Χριστός, πάντες πλησίον αὐτῆς γενήσονται οἱ εὐθεῖς τῇ καρδίᾳ, κατὰ τό, «Ὅτι οὗτοι τὸν Θεὸν ὄψονται.[1]» Οὕτω γὰρ δηλοῖ τὰ ἑπόμενα.

«Ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν.» Ἕως οὗ ὁ Χριστὸς κρινεῖ τὴν οἰκουμένην. Αὐτὸς γὰρ «ἡμῖν ἐγενήθη σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις·[2] καὶ τὴν κρίσιν δὲ πᾶσαν αὐτῷ δέδωκεν ὁ Πατήρ.[3]»

«Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις;» Αὕτη τῶν θλιβομένων ἡ φωνή. Λέγει δέ· Τίς μοι γένηται σύμμαχος κατὰ τῶν εἰς ἐμὲ πονηρευομένων; Εἶτα δεξάμενος αἴσθησιν ταχέως τοῦ βοηθοῦ, φησίν, ὡς πάλαι ἂν αὐτοῦ εἰς ᾅδην κατήχθη ἡ ψυχή, εἰ μὴ τῆς παρὰ Θεοῦ ἀντιλήψεως ἔτυχεν.

«Εἰ ἔλεγον· Σεσάλευται ὁ πούς μου.» Θλιβόμενος φησίν, ὁρῶν ἐμαυτὸν ὀλισθαίνοντα, εἶπον· Πότε ὁ πούς μου σεσάλευται; τουτέστι, τῆς κατὰ Θεὸν ἐκπεσοῦμαι στάσεως· εὐθὺς τὴν ἀντίληψιν καὶ τὸ ἔλεός σου ᾐσθόμην ἐπίκουρον ἐμοί.

«Αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου.» Οὐκ ἀφῆκας, φησίν, ἀπαραμύθητον· ἀλλ' ὅσας θλίψεις ἔσχον, τοσαύτας καὶ παραμυθίας ἐδεχόμην παρὰ σοῦ. Αἳ καὶ εἰς εὐφροσύνην τὰς λύπας μετεβίβαζον.

«Μὴ συμπροσέστω σοι θρόνος ἀνομίας ὁ πλάσσων κόπον ἐπὶ προστάγματι;» Διὰ τοῦτο, φησί, παρεκάλεσάς μου τὴν καρδίαν ἐπὶ

1. Ματθ. 5, 8. 2. Α΄ Κορ. 1, 30. 3. Ἰω. 5, 22.

ταῖς θλίψεσιν. Ὅτι δὴ οὖν προστεθήσεταί σοι θρόνος ἀνομίας, τουτέστιν, ὅτι δίκαιος εἶ κριτὴς ὡς Θεός, καὶ οὐκ ἔσται ἀνομία ἐν ταῖς κρίσεσί σου· ὁ γὰρ θρόνος τὴν κρίσιν σημαίνει· ὥσπερ δὴ καὶ παρ' ἐκείνῳ τῷ κόπον συμπλάσσοντι ἐπὶ πρόσταγμα· εἴη δ' ἂν οὗτος ὁ ἀντικείμενος δαίμων, ὃς καὶ ἐλαφρὰς οὔσας τὰς τοῦ Θεοῦ ἐντολὰς βαρείας ποιεῖ, κόπους δὲ αὐτῶν τοῖς ἀνθρώποις παρέχων. Θρόνον ἀνομίας ὠνόμασε τὸν διάβολον· ἐπειδὴ καὶ θρόνος δικαιοσύνης ἐστὶν ὁ Χριστός, ὅστις ἀντίκειται τῷ διαβόλῳ.

«Καὶ αἷμα ἀθῶον καταδικάσονται.» Οὗτοι, φησίν, οἱ πονηροὶ καὶ ἀντικείμενοι δαίμονες ἐκ παντὸς τρόπου τὴν τοῦ δικαίου ζητήσουσι θηρεῦσαι ψυχήν.'Αλλ' ἐπὶ τοῦτο, φησί, κατακριθήσονται. Τοῦτο γὰρ σημαίνει· «Καὶ αἷμα ἀθῷον καταδικάσονται.» Λέγει γάρ, ὡς ἀντὶ τοῦ ἀθώως ἐκχεομένου παρ' αὐτῶν, εἰς κρίσιν καὶ κόλασιν παραδοθήσονται.

«Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν.» Ἐγὼ δὲ τῆς παρὰ τοῦ Δεσπότου προνοίας ἀπήλαυσα, καὶ αὐτὸν ἔχω περίβολον ὀχυρόν.

Αἶνος ᾠδῆς τῷ Δαυίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις.

ΨΑΛΜΟΣ ϞΔ'.

Ὑπόθεσις.

Ἐντεῦθεν ὁ τῶν ἁγίων χορὸς καὶ τοὺς ἀπειθεῖς τοῦ Ἰσραὴλ προτρέπεται ἐπὶ τὴν διὰ Χριστοῦ σωτηρίαν ἐλθεῖν· δεικνύς, ὡς ἐπακούσεται, εἰ προσπέσοιεν αὐτῷ, ἅτε αὐτὸς ὢν ποιητής, καὶ τὸ ἴδιον ἔργον ἀγαπῶν. Εἰσφέρεται δὲ μετὰ τὴν τῶν ἁγίων παραίνεσιν καὶ αὐτοῦ τοῦ ἁγίου Πνεύματος πρόσωπον, αὐτοῖς τοῖς ἀπειθέσι παρακελευόμενον μὴ τὴν τῶν πατέρων μιμήσασθαι ἀπιστίαν.

«Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ.» Ὡς ἐπὶ ἑορτὴν ἐλθεῖν τοὺς ἀπειθεῖς παρακελεύονται, εἰς ἀγαλλίασιν αὐτοὺς καλοῦντες, ἵνα διὰ τούτων πείσωσι. «Ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.» Εὖ τό, «ἀλαλάξωμεν», λέγει, δὴ ἥκοντες τοὺς ἐπινικίους ᾄσωμεν ὕμνους. Ὁ γὰρ ἀλαλαγμὸς ὕμνος ἐστὶν ἐπὶ πεπτωκόσιν ἐχθροῖς. Σημαίνει δὲ διὰ τούτων, ὡς τὰς ἀντικειμένας δυνάμεις πολεμήσας ὑπὲρ ἡμῶν ὁ Χριστός, ἐκ μέσου πεποίηκεν.

«Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει.» Ὡσεὶ λέγοι· Πρὶν εἰς κρίσιν καθίσῃ, τὸ πρόσωπον αὐτοῦ, ἔστι δὲ ὁ υἱός, τῇ ἐξομολογήσει προλάβωμεν, καὶ εὐμενὲς αὐτοῖς καταστήσωμεν. Οὕτω γὰρ ὑμῖν συμβήσεται εἰς ἀγαθὰ τελευτᾶν· ἡ γὰρ ἐξομολόγησις ἀγαθὸν ἔχει τὸ πέρας· καὶ τοῦτο δηλοῖ τὸ ἐν Ψαλμοῖς· «Ἀλαλάξωμεν αὐτῷ.»

«Καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς.» Δηλαδὴ τοὺς πιστεύσαντας, καὶ ὥσπερ ἀντιμισθίαν τούτου λαχόντας τὸ ὄνομα, τὸ

καλεῖσθαι θεοί, κατὰ τὸ εἰρημένον· «Θεὸν δέδωκά σε τῷ Φαραώ.[1]» Ἐὰν τὴν ἐξομολόγησιν προσενέγκωμεν, φησίν, οὐκ ἀποτευξόμεθα· οἰκτειρήσει γὰρ ὡς ἴδιον αὐτοῦ λαόν.

«Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα.» Δείκνυσιν, ὡς αὐτός, ὢν δημιουργὸς πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου, οὐκ ἂν παρίδῃ τὸ ἴδιον ποίημα προσπῖπτον δι' ἐξομολογήσεως.

«Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ.» Καὶ ἑαυτοὺς τῶν προσκυνούντων καὶ κλαιόντων εἶναί φασιν, ὅπως ἂν προθυμοτέρους εἰς τὴν ἐξομολόγησιν παρασκευάσωσι τοὺς ἀκούοντας.

«Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε.» Ἐντεῦθεν παραινοῦνται παρ' αὐτοῦ τοῦ Κυρίου εὐπειθεῖς εἶναι, καὶ μὴ τοιοῦτοι οἷοι ἐν τῇ ἐρήμῳ οἱ πατέρες ἐπεδείχθησαν.

«Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν.» Ἐξεπείρασαν γὰρ τὸν Θεὸν ἄλλοτε ἄλλην πορευόμενοι ὁδόν, καὶ οὐκ εὐθεῖαν τὴν τοῦ Κυρίου.

«Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.» Τρεῖς ἡμῖν ὁ λόγος καταπαύσεις σημαίνει· μίαν τὴν σαρκικὴν τὴν τοῦ Σαββάτου, καὶ ἑτέραν τὴν εἴσοδον τὴν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ᾗ Ἰησοῦς κατέπαυσεν αὐτούς· καὶ τρίτην τὴν ἐπουράνιον, ἣν νῦν ἡμῖν ὁ λόγος σημαίνει· οὐκ ἂν δὲ ἑτέρας ἐμέμνητο ἐνταῦθα, εἰ ἀληθῶς ἐκείνη ἐνῆ κατάπαυσις. Δηλοῦται οὖν, ὡς ἀληθῶς κατάπαυσίς ἐστιν ἡ μετὰ τὴν τοῦδε τοῦ κόσμου ἀπαλλαγή, ἡ ἐν ταῖς ἄνω μοναῖς κατοίκησις.

Ὠδὴ τῷ Δαυίδ, ὅτε ὁ οἶκος ᾠκοδομήθη μετὰ τὴν αἰχμαλωσίαν.

ΨΑΛΜΟΣ ϞΕʹ.

Ὑπόθεσις.

Ἐν τῷ πρὸ τούτου ψαλμῷ, τὴν ἀποβολὴν τῶν Ἰουδαίων θεσπίσας, εἴ γε ἐπιμένοιεν τῇ ἀπιστίᾳ, ἐν τούτῳ τὴν τῶν ἐθνῶν κλῆσιν εἰσάγει, τὴν γενομένην μετὰ τὴν λύσιν τῆς νοητῆς αὐτῶν αἰχμαλωσίας, ὅτε καὶ καθ' ὅλης τῆς οἰκουμένης ἡ Ἐκκλησία τεθεμελίωται.

«Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.» Τοῖς ἀποστόλοις τὸ Πνεῦμα παρακελεύεται τὸ καινὸν ᾆσμα, τουτέστι τὴν Νέαν Διαθήκην, ἐξηγεῖσθαι τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἔθνεσιν. «Ἄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ. . . . Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.» Οὐ γὰρ παύσονται μέχρι συντελείας κόσμου τὰ τῆς Νέας Διαθήκης ἡμῖν λαλοῦντες μυστήρια.

«Ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα.» Διδάξατε, φησί, τὰ ἔθνη· καὶ γὰρ ὑπακούσαντα γνοῖεν τοῦ κηρυττομένου τὴν θεότητα καὶ τὴν μεγαλοσύνην, καὶ γνόντα ἐπαινέσουσι. «Φοβερός ἐστιν ὑπὲρ

---

1. Ἔξ. 7, 1.

πάντας τοὺς θεούς.» Τοῦτο μάλιστα τὰ ἔθνη ἐπὶ τὸν τοῦ Κυρίου φόβον προτρέπεται, τὸν ἐμπρησμὸν ἑωρακότα κατὰ τῶν πάλαι ὀνομαζομένων αὐτῶν θεῶν. Ἔγνωσαν γάρ, ὡς πάντες ἐκεῖνοι οὐκ ἦσαν θεοί, ἀλλὰ δαιμόνια. Μόνος δὲ ὁ Κύριος τῶν οὐρανίων ποιητής.

«Ὅτι πάντες οἱ Θεοὶ τῶν ἐθνῶν δαιμόνια.» Οἱ μὲν γὰρ καλούμενοι θεοὶ δαίμονες ὤφθησαν πονηροί, ὁ δὲ «ἡμέτερος Κύριος τοὺς οὐρανοὺς ἐποίησεν.»

«Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.» Ἁγίασμα αὐτοῦ ἡ Ἐκκλησία, ἥτις καὶ ἁγία ἐστὶ καὶ μεγαλοπρεπής. Ὑψηλὸς γὰρ ὁ κόσμος τῆς Ἐκκλησίας.

«Ἐνέγκατε τῷ Κυρίῳ, αἱ πατριαὶ τῶν ἐθνῶν.» Πατριὰς καλεῖ τοὺς τῶν Ἐκκλησιῶν ἡγουμένους, ἱερέας φημὶ καὶ προέδρους. Καὶ πρέπει διὰ τῶν ἔργων τῶν ἀγαθῶν δοξάζειν τὸν Θεόν, καὶ μὴν καὶ τιμᾶν ἀπὸ δικαίων πόνων αὐτῶν, ἔτι γε μὴν καὶ θυσίας αὐτῷ ἀναφέρειν νοητάς· ἀναφέρειν δὲ ἐν ταῖς θείαις αὐτοῦ αὐλαῖς, δηλαδὴ ταῖς ἐκκλησίαις. «Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.» Ἔμελλε γὰρ εἰς πᾶσαν τὴν οἰκουμένην ἐξάκουστον γενέσθαι κήρυγμα, καὶ οἱονεὶ τῆς προτέρας στάσεως σαλεύειν τὴν γῆν.

«Καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται.» Ἐθεμελίωσε γὰρ ἐπὶ τὴν πέτραν τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. «Κρινεῖ λαοὺς ἐν εὐθύτητι.» Ἦλθε γὰρ καὶ ἐδίκασε τὴν κρίσιν ἡμῶν, καὶ τοὺς πονηροὺς τυράννους ἐξέβαλε, τοὺς ἀκαθάρτους φησὶ δαίμονας.

«Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ.» Ἐπὶ γὰρ τῇ κατορθώσει τῆς οἰκουμένης αἱ οὐράνιαι δυνάμεις ἔφασκον χαίρουσαι· «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη.[1]» «Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς.» Θάλασσαν ἐν τούτοις τῶν ἐθνῶν σημαίνει τὴν πληθύν, ἥτις καὶ σεσάλευται· τουτέστιν εἰς τὸ ὑποδέξασθαι τὸ κήρυγμα κεκίνηται. «Χαρήσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς· τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ.» Διὰ τῶν πεδίων καὶ μὴν καὶ τῶν ξύλων ἁγίας ψυχὰς εἶναι σημαίνει, αἳ ἐπὶ τῇ τοῦ κόσμου σωτηρίᾳ ἠγαλλιάσαντο.

ΨΑΛΜΟΣ Δαυίδ, ὅτε ἡ γῆ αὐτοῦ καθίσταται.

4ς′.

Ὑπόθεσις.

Πάλιν καὶ ἐνταῦθα τὴν σωτηρίαν τοῦ κόσμου σημαίνει, καὶ τῶν ἐθνῶν ἁπάντων τὴν εἰς αὐτὸν πίστιν.

«Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί.» Νήσους τὰς Ἐκκλησίας φησίν, ἅτε δὴ ῥιπιζομένας ὑπὸ

1. Λουκ. 2, 14.

παντὸς πνεύματος, καὶ μὴν καὶ περιρρεομένας ταῖς περιστάσεσι ταῖς ἁλμυραῖς.

«Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ.» Τὴν λεληθυῖαν αὐτοῦ ἐν ἀνθρώποις κάθοδον σημαίνει, ὅτε ἐν τῇ τοῦ δούλου πέφηνε μορφῇ. «Δικαιοσύνη καὶ κρῖμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.» Αὕτη γέγονε, φησί, τῆς ἀφέσεως αἰτία· τὸ κρῖναι δικαίως τὴν κρίσιν ἡμῶν, ἣν ἔχομεν δηλαδὴ πρὸς τὰς πονηρὰς καὶ ἀντικειμένας δυνάμεις.

«Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται.» Ἔκαυσε γὰρ τῇ θείᾳ αὐτοῦ δυνάμει πᾶσαν πονηρὰν καὶ ἀντικειμένην ἐνέργειαν.

«Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ.» Ἀστραπὰς αὐτοῦ τοὺς ἁγίους ἀποστόλους εἶναι λέγει καὶ εὐαγγελιστάς, οἳ φωτὸς δίκην ὑπέλαμψαν τὴν ὑπ' οὐρανόν.

«Τὰ ὄρη ἐτάκησαν ὡσεὶ κηρὸς ἀπὸ προσώπου Κυρίου.» Ὄρη τὰς ἀντικειμένας δυνάμεις φησίν, αἳ καὶ κηροῦ δίκην συνετάκησαν ἀπὸ τοῦ προειρημένου δηλονότι πυρός. Ὅπερ πήγνυσιν ὁ βορρᾶς, τοῦτο τήκει ὁ νότος· διὸ καλῶς λέγει ἡ νύμφη ἐν τοῖς Ἄσμασι τῶν ᾀσμάτων· «Ἐξεγείρου, βορρᾶ, καὶ ἔρχου, νότε, διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου.[1]»

«Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς·» ὁρῶντες δηλονότι οὓς πάλαι ἐνόμιζον θεοὺς κηροῦ δίκην λυομένους ὑπὸ τοῦ Κυρίου. «Προσκυνήσατε αὐτῷ, πάντες ἄγγελοι αὐτοῦ.» Ἐφ' οἷς κατώρθωσε τῇ ὑπ' οὐρανόν, φησίν, εὐχαριστήσατε.

«Ἤκουσε καὶ εὐφράνθη Σιών.» Σιὼν μὲν ἡ Ἐκκλησία. Τί δὲ ἤκουσεν, ἣ τοῦ εὐαγγελικοῦ κηρύγματος, καὶ εὐφροσύνης αὐτῇ γέγονε πρόξενον; «Καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας.» Θυγατέρας τῆς Ἰουδαίας τὰς ὁσίας ψυχάς φησι, τὰς δι' ἐξομολογήσεως συνημμένας Θεῷ, αἳ ἠγαλλιῶντο διὰ τὰ τοῦ Θεοῦ κρίματα, ὁρῶσαι δηλονότι τοὺς τυραννήσαντας ἐκβεβλημένους, τοὺς δὲ δουλείᾳ κατεχομένους εἰς ἐλευθερίαν ἐνηνεγμένους.

«Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά.» Παραίνεσις εἰσάγεται τοῖς τῇ ἐλευθερίᾳ λελυτρωμένοις, διδάσκουσα πᾶν εἶδος πονηρὸν ἀποστρέφεσθαι. «Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ.» Οἱ ἀποστραφέντες τὸν πονηρόν, ὅσιοι γεγένησθε. Τότε δὴ συμβήσεται ὑμῖν καὶ τῆς φυλακῆς τῆς παρὰ τοῦ Κυρίου τυχεῖν ἀπὸ τοῦ πονηροῦ· οὗτος γὰρ κυρίως ἁμαρτωλός.

«Φῶς ἀνέτειλε τῷ δικαίῳ.» Τὸ εὐαγγελικὸν δηλονότι. «Δικαίῳ» δέ, τῷδε δικαίῳ λαῷ διὰ τῆς πίστεως. «Καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη·» εἰς τό, «τοῖς εὐθέσιν», ὑποστίξαι δεῖ, ἵνα τοῖς γινομένοις εὐθέσιν ἐν τῇ καρδίᾳ ἀνατείλῃ εὐφροσύνη. Ἀπὸ κοινοῦ δὲ τό, «ἀνατελεῖ», ληπτέον.

1. Ἀσμ. 4, 16.

ΨΑΛΜΟΣ τῷ Δαυίδ.
ϞΖʹ.
Ὑπόθεσις.

Καὶ οὗτος ὁ ψαλμὸς τὴν προτέραν παρουσίαν τοῦ Κυρίου σημαίνει, καὶ τὴν τῶν ἐθνῶν πάντων εἰς αὐτὸν πίστιν, ἣν ἐποιήσατο κατὰ τὰς ἐπηγγελμένας τοῖς πατράσιν ἐπαγγελίας. Διὰ τοῦτο τὰ ἔθνη πάντα ἀλαλάζειν ὁ λόγος προτρέπεται τὸν ἐπινίκιον, ὃν ὑπὲρ αὐτῶν πεποίηται.

«Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησε.» Θαυμαστὸν γὰρ ἀληθῶς τὸ καταργηθῆναι θάνατον, καὶ ἀναβιῶναι πάλιν τὸ ἀνθρώπινον γένος. «Ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ.» Προσήγαγε γὰρ τῷ ἰδίῳ Πατρὶ τὴν ὑπ' οὐρανὸν ὁ Χριστός, ὅς ἐστι δεξιὰ τοῦ Πατρός. Οὐ γὰρ ἐδεήθη ἀνθρωπίνης βοηθείας.

«Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ.» Σωτήριον οὖσαν τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν σημαίνει· κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Συμεών· «Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου.[1]» «Ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.» Ἐκβαλὼν μὲν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, δικαιώσας δὲ τοὺς πάλαι τυραννηθέντας ἡμᾶς.

«Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ.» Τοῦ Ἰακώβ· καὶ γὰρ ἐν τῷ σπέρματι αὐτοῦ εὐλογηθῆναι πάντα τὰ ἔθνη ἐπηγγείλατο. «Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.» Οὐδεὶς γὰρ τόπος ἀμέτοχος τῆς βασιλείας τοῦ Χριστοῦ.

«Ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ.» Κιθάραν τὴν τοῦ σώματος πρὸς τὴν ψυχὴν ἁρμονίαν φησί. «Σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης.» Τὸ πεπυρωμένον καὶ ἐκτεταμένον τοῦ εὐαγγελικοῦ κηρύγματος διὰ τῶν ἐλατῶν σαλπίγγων σημαίνει· διὰ δὲ τῶν κερατίνων τὸ βασιλικόν, καθὸ τῷ κέρατι ἐχρίοντο οἱ βασιλεῖς. Οὐ μόνον ἀλλὰ καὶ ἐν κερατίνῃ τῆς βασιλείας τὴν ἐκφώνησιν ἐποιοῦντο.

«Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς.» Θάλασσαν τὸν βίον τὸν παρόντα σημαίνει, διὰ τὸ ἁλμυρὸν τῶν ἐν αὐτῷ φροντίδων. Κεκίνηται οὖν ἐκ τῆς προτέρας στάσεως, τουτέστι τῆς εἰδωλολατρείας.

«Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό.» Ποταμοὺς τοὺς ἁγίους εἶναί φησι μυσταγωγούς, ὧν καὶ τὸ σπουδαῖον τοῦ κηρύγματος διὰ τοῦ ἐπὶ τὸ αὐτὸ κροτεῖν σημαίνει. «Τὰ ὄρη ἀγαλλιάσονται, ὅτι ἥκει κρῖναι τὴν γῆν.» Αἱ ἀγγελικαὶ δηλονότι δυνάμεις. Χαρὰ γὰρ γίνεται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι . . .[2]

---

1. Λουκ. 2, 30. 2. Λουκ. 15, 7.

ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ϞΗʹ.

Ὑπόθεσις.

Καὶ οὗτος τὴν Χριστοῦ βασιλείαν σημαίνει καὶ τὴν τῶν ἀρχιερέων αὐθάδειαν.

«Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.» Ὁ Χριστός ἐστιν οὗ τὴν βασιλείαν οὐ παραδέχονται Ἰουδαῖοι ὀργιζόμενοι. «Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, σαλευθήτω ἡ γῆ.» Αὐτὸς γὰρ οὗτος ὁ βασιλεύσων ἐπ' ἐσχάτων τῶν χρόνων τῶν ἐπὶ τῆς γῆς ἐστιν, ὁ καὶ τοῖς χερουβὶμ ἐποχούμενος, ὑφ' οὗ καὶ ἐσαλεύθη ἡ γῆ. Φησὶν οὖν· Σὺ εἶ ἐπὶ τῶν χερουβίμ, ὁ καὶ τὴν ἐπὶ κακῷ στάσιν μετακινήσας τῆς γῆς, γεγονὼς καθ' ἡμᾶς. Στάσιν οὖν λέγει τὴν τῆς εἰδωλολατρείας.

«Κύριος ἐν Σιὼν μέγας.» Σιών ἐστιν ἡ Ἐκκλησία, ἐν ᾗ δοξάζεται καὶ ὑψοῦται Χριστός, κατὰ τὸ εἰρημένον· «Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου.[1]»

«Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ.» Μέγα αὐτοῦ τὸ ὄνομα τό, Ἰησοῦς, καθὸ καὶ σωτηρία λαοῦ ἑρμηνεύεται. Μέγα πάλιν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ᾧ μέλλει κάμψαι πᾶν γόνυ, καὶ πᾶσα ἐξομολογήσεται γλῶσσα, ὅτι Κύριος Ἰησοῦς Χριστός.[2] «Ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι.» Φοβερὸν μὲν κατὰ τῶν ὀργιζομένων λαῶν καὶ μὴ προσδεχομένων αὐτοῦ τὴν βασιλείαν· ἅγιον δὲ τοῖς πιστεύουσιν εἰς αὐτόν. «Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ.» Ἐπειδὴ ἡ τιμὴ ἤτοι ἡ δόξα τοῦ βασιλέως ἀγαπᾷ τὴν δικαιοσύνην, ἥτις διὰ τῆς κρίσεως ἑρμηνεύεται· τούτου χάριν τοῖς μὲν ἀπειθήσασι τὸ πρόσταγμα αὐτοῦ φοβερόν, τοῖς δὲ ὑπακούουσιν ἅγιον. «Σὺ ἡτοίμασας εὐθύτητας.» Ἐν δικαιοσύνῃ γὰρ μέλλει κρίνειν τὴν οἰκουμένην.

«Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.» Ὁ ὑψηλὸς ὡς Θεὸς καὶ ὑπὸ πόδας ἔχων πᾶσαν τὴν κτίσιν γέγονεν ἀτρέπτως ἄνθρωπος. Τοῦτον οὖν, φησί, τὸν γενόμενον ἀτρέπτως ἄνθρωπον ὑψοῦτε, προσκυνοῦντες αὐτὸν μιᾷ προσκυνήσει μετὰ τῆς ἰδίας σαρκός.

«Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ.» Οὗτος, φησίν, ὁ νῦν, καθὸ πέφυκεν ἄνθρωπος, βασιλεύσας τῶν ἐπὶ γῆς ἦν· ὃν καὶ πάλαι Μωϋσῆς καὶ Ἀαρὼν καὶ Σαμουὴλ ἐπεκαλοῦντο. Εἰπὼν οὖν, ὅτι «Προσκυνεῖτε τῷ ὑποποδίῳ», καὶ τὴν ἐνανθρώπησιν καὶ τὴν οἰκονομίαν κηρύξας, πάλιν ἀσφαλιζόμενος ἡμᾶς, τὴν θεότητα σημαίνει διὰ τοῦ δηλωθέντος ὅρους. Μεμένηκε γὰρ Θεός, εἰ καὶ ἔλαβε τὴν τοῦ δούλου μορφὴν διὰ τὴν ἡμῶν σωτηρίαν.

«Κύριε ὁ Θεὸς ἡμῶν, σὺ ἐπήκουσας αὐτούς.» Εἰ καὶ ἔδοξάν τι ἁμαρτάνειν ὡς ἄνθρωποι, οὐ παρεώρακας, φησίν. Ἠλέγχετο οὖν

1. Ψαλμ. 144, 1. 2. Φιλιπ. 2, 10-11.

ἐπὶ τοῦ μόσχου ἁμαρτάνων Ἀαρὼν καὶ Μωϋσῆς ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας.

«Καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ.» Ἢ τὴν ἐπὶ γῆς ἢ τὴν ἐπουράνιον Ἱερουσαλήμ φησιν· ἢ ὄρος πάλιν αὐτὸν νοητέον τὸν Μονογενῆ, κατὰ τὸ «Ἐτιμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν.[1]»

ΨΑΛΜΟΣ εἰς ἐξομολόγησιν.

ϞΘ΄.

Ὑπόθεσις.

Ἐν τούτῳ τῷ ψαλμῷ τοῖς ἤδη προσελθοῦσι τῇ πίστει παραίνεσιν εἰσφέρει, ὑπὲρ τοῦ ἀναφέρειν ὑπὲρ τῶν ἤδη γεγενημένων εὐχαριστίας. Ἡ γὰρ ἐξομολόγησις ἐν τούτῳ τὴν μετ' αἰνέσεως εὐχαριστίαν σημαίνει.

«Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ.» Τὸν ἐπινίκιον τοὺς λελυτρωμένους ᾄδειν παρακελεύεται. Ἦσαν δὲ οἱ λελυτρωμένοι ἅπαν τὸ τῶν ἀνθρώπων γένος. Γῆν γὰρ τοὺς κατοικοῦντας τὴν γῆν καλεῖ. «Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ.» Ἡ δὲ τῶν ἀνθρώπων δουλεία φόβον φθοροποιὸν ἐμποιεῖ, ἡ δὲ τοῦ Κυρίου δουλεία φόβον ἁγνόν, ἐξ οὗ γίνεται τῇ ψυχῇ εὐφροσύνη. «Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.» Ὁ ἤδη τοῦ ἀλαλαγμοῦ τὴν εἰς νοῦν δεξάμενος εὐφροσύνην, οὗτος ὥσπερ ἐνώπιον ἱστάμενος τοῦ Χριστοῦ χαρᾷ χαίρει, καὶ τοῦτό ἐστιν ἀγαλλίασις.

«Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν.» Οὗτος, φησίν, ὁ Κύριος ὁ τῷ ἰδίῳ αἵματι πᾶσαν λυτρωσάμενος τὴν γῆν, αὐτός ἐστιν ὁ καὶ τοῦ ἡμετέρου ποιήματος δημιουργός. Οὐ γὰρ αὐτομάτως συνέστημεν, ἀλλὰ τῶν χειρῶν αὐτοῦ ἔργον ἐσμέν. Διὸ καὶ λαὸς αὐτοῦ καὶ πρόβατα αὐτοῦ τυγχάνομεν· ὡς εἶναι μὲν ὁ λαὸς λογικώτερος, πρόβατα δὲ οἱ τὴν ἀλογωτέραν τάξιν ἐπέχοντες, καὶ μὴ ἐν πείρᾳ τῶν θείων ὄντες λογίων, κατὰ τὸ εἰρημένον· «Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός.[2]»

«Ἡμεῖς δὲ λαὸς αὐτοῦ, καὶ πρόβατα νομῆς αὐτοῦ.» Ἄλλοι μὲν ὡς λαὸς αὐτοῦ, οἱ κρείττους· οἱ δὲ ὡς πρόβατα νομῆς αὐτοῦ, οἱ ὑποβεβηκότες. Πλὴν ἀλλά, πάντων Θεὸς ὢν καὶ ποιητής, πάντας καλεῖ καὶ ἐξοικειοῦται. Ἀνθρώπους γὰρ καὶ κτήνη σῴζει Θεός·[3] τοὺς μὲν ὡς λαὸν αὐτοῦ, τὰ δὲ ὡς πρόβατα νομῆς αὐτοῦ. «Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει.» Πύλας τοῦ Κυρίου τὴν ἐπὶ γῆς Ἐκκλησίαν φησίν, ἐν ᾗ ἐξομολογεῖσθαι δεῖ, ἅτε πρότερον ἐξαγγέλλοντες τὰ ἁμαρτήματα, τάς τε εἰς ἡμᾶς γενομένας ἀφηγεῖσθαι εὐεργεσίας.

---

1. Δαν. 2, 34. 2. Ψαλμ. 118, 76. 3. Πρβλ. Ψαλμ. 35, 7.

Τῷ Δαυίδ.
ΨΑΛΜΟΣ Ρ'.
Ὑπόθεσις.

Ἐν τούτῳ τῷ ψαλμῷ τὸν τέλειον ἡμῖν διαγράφει, τὸν κατὰ Θεὸν πολιτευόμενον, διδάσκων ἡμᾶς ποίαν δεῖ πολιτείαν ἐπιτηδεύειν τοὺς ἐπιθυμοῦντας τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν.

«Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε.» Ταῦτα, φησίν, ἐπὶ στόματος φέρων διαπαντὸς ἃ οἶδα εἰς ἡμᾶς κατορθωθέντα, δοθήσεται κρίσις, τουτέστιν ἡ δικαιοκρισία. Ἐδικαίωσε γὰρ ἐκ τῶν ἐχθρῶν ἡμῶν τὴν δίκην ἡμῶν.

«Ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ.» Τό, «ψαλῶ τὸν ὕμνον», φησίν, ὡσεὶ λέγοι σαφέστερον· Ὑμνῶν οὐ παύσομαι καὶ τὴν ἐμὴν ὁδὸν παρασκευάζων ἄμωμον, τὴν σήν, ὦ Δέσποτα, παρουσίαν προσδοκῶν. Δεῖ γὰρ ηὐτρεπισμένους ἡμᾶς εἶναι πρὸς τὴν τοῦ Κυρίου ἄφιξιν. Τοσαύτην γὰρ ὁ θαυμαζόμενος οὗτος ἀνὴρ ἐκτήσατο καθαρότητα, ὡς μετὰ παρρησίας βοῆσαι πρὸς τὸν Θεόν· «Πότε ἥξεις πρός με;» Ἀντὶ τοῦ, Εὐπρεπῆ σοι τὰ βασίλεια κατέστησα, ποθῶ σου τὴν παρουσίαν, ὦ Δέσποτα, ἱμείρομαί σου τῆς ἐπιφανείας· ἀλλὰ δὸς τὸ ποθούμενον. «Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.» Οὐδένα, φησίν, ἔσχον ἄδικον συνοικοῦντα λογισμόν· ἀλλ' ὅλως ἐμαυτῷ μετὰ καθαρότητος διεπορευόμην. «Ποιοῦντας παραβάσεις ἐμίσησα.» Δεῖ γὰρ μὴ μόνον ἀπέχεσθαι τῶν πονηρῶν, ἀλλὰ καὶ τοὺς τὰ τοιαῦτα ποιοῦντας ἀποστρέφεσθαι.

«Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή.» Τὰ τοῦ διαβόλου βουλεύματα, ἅτε μηδὲν εὐθὲς ἔχοντα, σκαμβά τε εἰσι καὶ διεστραμμένα, ἅπερ οὐδέποτε ἐν τῇ καρδίᾳ εἰσδέδεγμαι. «Ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον.» Οὕτω, φησίν, ἐν οὐδενὶ μέρει ἐποιούμην τοὺς πονηρούς, ὡς καὶ τὴν παρουσίαν καὶ τὴν ἀπουσίαν αὐτῶν ἀγνοεῖν· διὸ καὶ ἀπαιρόντων οὐκ ἐγίνωσκον, οὐκοῦν οὐδὲ παρόντων εἰ παρῆσαν ἐγίνωσκον. Γνώμης δὲ ἀπόδειξις ἀνακειμένης Θεῷ τὸ τῶν κάτω μηδένα ποιεῖσθαι λόγον διὰ τὴν ἄνωθεν προσοχήν.

«Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.» Τὰς δὲ λάθρα γινομένας κατηγορίας οὐ προσιέμην, ἀλλὰ τοὺς τοῦτο δρᾶν πειρωμένους ἐξήλαυνον. «Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.» Οὔτε μὴν τοὺς ἀλαζονείᾳ καὶ πλεονεξίᾳ χρωμένους ἐποιούμην συσσίτους.

«Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ.» Συνεδρίων δέ μοι καὶ βουλῆς ἐκοινώνουν οἱ πίστει κοσμούμενοι, καὶ περὶ πολλοῦ τὰ θεῖα ποιούμενοι. Οἱ δὲ μὴ οὕτως διακείμενοι, ἀλλὰ τἀναντία φρονοῦντες ὑπερηφανείᾳ λέγω καὶ ἀδικίᾳ καὶ ἐξουδενώσει, πόρρω ἀπέβαλον ἀπ' ἐμοῦ, ὥστε μὴ ὁρᾶν αὐτούς.

«Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς.»

Ἁμαρτωλοὺς φησι τοὺς πονηροὺς λογισμούς, οὓς ταῖς ἑωθιναῖς προσευχαῖς καὶ τῇ πρὸς Θεὸν προσεδρίᾳ ἐκόλαζε. «Τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.» Πόλιν Κυρίου τὴν ἁγίαν φησὶ ψυχήν, κατὰ τὸ εἰρημένον· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.[1]»

Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ, καὶ ἐναντίον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.

ΡΑ΄.

Ὑπόθεσις.

Ὁ κατὰ Θεὸν πτωχός, τουτέστιν ὁ τῶν προφητῶν χορός, ὁ λύπης πεπληρωμένος ἐπὶ τῇ τοῦ πρώτου λαοῦ καταστροφῇ, προσέρχεται τῷ Κυρίῳ ὑπὲρ αὐτοῦ, τοῦ λαοῦ δηλονότι, ἀναπέμπων δεήσεις μετὰ νηστείας καὶ δακρύων, ὅπως ἂν καὶ αὐτὸς οἰκτειρηθῇ ὁ λαός. Κηρύττει δὲ καὶ τὴν τῶν ἐθνῶν κλῆσιν, τὴν γενομένην ἐν τῇ ἐπιφανείᾳ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

«Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου.» Τὰ συμβάντα τῷ λαῷ οἰκειοποιεῖται ὁ προφητικὸς χορός.

«Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.» Ταῦτα μὲν ὑπεράνωθεν τὴν ἑρμηνείαν ἔλαβον, ῥηθήσεται δὲ καὶ αὖθις. Πᾶσα γὰρ δύναμις αὐτῶν, δι᾽ ἧς συνειστήκει τὰ τῆς κατὰ νόμον λατρείας, διεφθάρη καὶ ἀπόλωλεν. Ἦν δὲ ταῦτα ἡ ἀρχιερωσύνη, ὁ ναός, αἱ διὰ τῶν θρεμμάτων θυσίαι, ἡ αὐτονομία τοῦ ἔθνους.

«Ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.» Τοῦτό φησι διὰ τὸν κατειληφότα σκότον τὸν λαόν· ἀγνωσίαν γὰρ ἔσχε Θεοῦ. Τί δὲ τοῦ νυκτικόρακος ἀλλ᾽ ἢ τοῦ βοᾶν κατὰ τὰς νύκτας ἴδιον, ὅθεν ταύτην τὴν προσηγορίαν ἔλαχεν; Ἐπειδὴ τοίνυν παννύχιον ἐποίει προσευχόμενος, ἀναγκαίως ἑαυτὸν παραβάλλει τῷ νυκτικόρακι.

«Ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματι.» Ἐγώ, φησίν, ὁ μὴ τῷ καιρῷ τῆς ἁμαρτίας κατειλημμένος, τοσοῦτον κατελείφθην, ὡς καὶ ἑνὶ ἐοικέναι στρουθίῳ· ἀπὸ γὰρ μυριάδων τοσούτων, εἰ καὶ πλείους ἦσαν οἱ σῳζόμενοι, ἑνὶ ἂν παρεβάλλοντο ὡς πρὸς τὰς μυριάδας.

«Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου.» Καταγέλαστος ἐγενόμην τοῖς δυσμενέσιν· οἱ δὲ πάλαι με ζηλοῦντες κατὰ τῶν ἐμῶν ὀμνύουσι συμφορῶν, εὐχόμενοι μὴ ἴσα παθεῖν. Τὸ δέ, «μετὰ σποδοῦ», αὐτὸ παραπλήσιον τῷ ἑβδομηκοστῷ ἐνάτῳ ψαλμῷ· «Ψωμιεῖς ἡμᾶς ἄρτῳ δακρύων.[2]» Εἰ δὲ ὁ τῆς τροφῆς καιρὸς ὀδύνης ὑπῆρχε μεστός, σχολῇ γ᾽ ἂν ἄλλος ἀπήλλακτο πάθους. «Καὶ οἱ μὲν ἐπαινοῦντές με

1. Ψαλμ. 86, 3. 2. Ψαλμ. 79, 6.

κατ' ἐμοῦ ὤμνυον.» Καὶ οἱ φίλοι, φησίν, οἱ πάλαι θαυμάζοντές με, ὅρκον ἐποιοῦντο τὰς ἐμὰς συμφοράς, λέγοντες· Μὴ τὰ αὐτὰ τῷ Ἰσραὴλ πάθοιμι!

«Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον.» Ἢ τὰς συμφορὰς τὰς ἐν τῇ αἰχμαλωσίᾳ σημαίνει, ἢ τὴν κακοπάθειαν ἣν ἐποιοῦντο ὑπὲρ τοῦ οἰκτειρηθῆναι τὸν λαόν.

«Ὅτι ἐπάρας κατέρραξάς με.» Μόνος γὰρ ἐξ ἁπάντων τῶν ἐθνῶν ὑψηλὸς ἦν ὁ λαὸς Ἰσραήλ, ἅτε καὶ μόνος γνῶσιν ἔχων τοῦ ἀληθινοῦ Θεοῦ.

«Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν.» Ἡμέρας αὐτοῦ τῆς νομικῆς λατρείας εἶναί φησιν, ἥτις καὶ σκιὰ τῶν μελλόντων ἀγαθῶν ὀνομάζεται. «Κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.» Τό, «ἐγώ», ἀντὶ τοῦ, «ὁ λαός.» Οἰκειοποιεῖται γάρ, ὡς ἔφην, πάντα τὰ τοῦ λαοῦ.

«Ὅτι ηὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.» Λίθους μὲν τοὺς πιστεύσαντας εἰς Χριστὸν μετὰ τὴν ἀνάστασίν φησι, καὶ γενομένους λίθους ἁγίους, κατὰ τὴν Ζαχαρίου φωνήν· δούλους δὲ τοὺς ἁγίους ἀποστόλους φησί, δι' ὧν ἐσώθησαν οἱ πιστεύσαντες εἰς Χριστόν. Χοῦν δὲ τοὺς λαούς, τοὺς ἔτι χοϊκώτερον ζῶντας, καὶ ἔτι νῦν ἀπιστοῦντας, καὶ αὐτοὺς δὲ οἰκτιρμῶν φησιν ἀξίους εἶναι. Τηρεῖται γὰρ εἰς τὴν ἐσχάτην ἡμέραν τὸ λείψανον· σωθήσονται γὰρ καὶ αὐτοὶ διὰ Ἠλίου τοῦ προφήτου.

«Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα Κυρίου.» Εἰκότως μεταξὺ τοῦ εὐδοκῆσαι τοὺς λίθους τοῦ προτέρου λαοῦ τῶν ἐθνῶν ἐπισυνάπτει τὴν κλῆσιν. «Καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.» Οἱ βασιλεῖς ἀντὶ τοῦ, αἱ βασιλεῖαι. Οὐ γάρ ἐστι βασιλεία οὐδὲ ἔθνος ὃ μὴ προσκυνεῖ τὴν δόξαν Κυρίου.

«Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών.» Τουτέστι τὴν Ἐκκλησίαν.

«Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν.» Ἔλεγον γὰρ οἱ ἑαυτοὺς ταπεινοῦντες προσευχόμενοι προφῆται. Καὶ σύ, Κύριε ὁ Θεὸς Ἰσραήλ, πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη.[1]

«Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν.» Ἡ διὰ τοῦ ψαλμοῦ προσευχή, καὶ ἡ περὶ τῶν ἐθνῶν ἐπαγγελία προφητευομένη, καθάπερ ἐν στήλῃ τυπωθεῖσα δέδοται τοῖς Ἰουδαίοις, εἰς τὸ φυλάττεσθαι τῷ νέῳ Ἰσραὴλ καὶ τῇ κατὰ Χριστὸν γενεᾷ. «Καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.»

«Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ.» Τὴν αἰτίαν ἡμῖν τῆς κλήσεως τῶν ἐθνῶν παρατίθεται. Αὕτη δέ ἐστιν ἡ ἐπιφάνεια τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ἣν ἐποίησε κλίνας οὐρανούς.

«Τοῦ ἀκοῦσαι τὸν στεναγμὸν τῶν πεπεδημένων.» Καὶ τίνες οἱ πεπεδημένοι, ἢ οὓς σειραῖς ἁμαρτίαις ἔσφιγξεν ὁ μισόκαλος δαίμων; «Τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.» Οἱ υἱοὶ τῶν τεθανατω-

1. Ψαλμ. 58, 6.

μένων εἶεν ἂν οἱ ἐξ ἐθνῶν, καθὴν ἀπέθανον οἱ πατέρες αὐτῶν ταῖς ἰδίαις ἁμαρτίαις εἰδωλολατροῦντες ἔτι.

«Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα αὐτοῦ.» Καὶ τοῦτό φησι τῆς καθόδου αἴτιον, ὅπως ἡ Ἐκκλησία ἀνυμνεῖν μάθοιεν τὸ ὄνομα αὐτοῦ. Αὕτη γάρ ἐστιν ἡ Σιών.

«Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό.» Τῶν ἐθνῶν ἑωρακότες διὰ τοῦ πνεύματος τὴν ἐπὶ τὸν Κύριον συναγωγὴν οἱ προφῆται, παρεκάλεσαν καὶ αὐτοὶ καταξιωθῆναι ταύτης τῆς μακαρίας θέας καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως.

«Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ.» Ὁ προφητικὸς χορὸς μέν ἐστιν ὁ ἀποκρινόμενος, ἤτοι ἐρωτῶν τὸν Θεόν. Ὁδὸν ἰσχύος αὐτοῦ τὴν ἐπὶ γῆς παρουσίαν φησίν. Ἦλθε γὰρ ἵνα δήσῃ τὸν ἰσχυρόν. «Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.» Οἷός ἐστι, φησίν, ὁ ἡμέτερος βίος ἀνάγγειλόν μοι. Ηὔχετο γὰρ ἰδεῖν εἰ φθάσει εἰς ἐκείνας τὰς ἡμέρας ἡ ζωὴ αὐτοῦ, καθ' ἃς ἔμελλεν ἐνανθρωπήσας ἐπὶ γῆς φαίνεσθαι ὁ Μονογενής.

«Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου.» Ἥμισυ τῶν ἡμερῶν αὐτοῦ ἤτοι τῆς ζωῆς τὸ τέως ἐν θεωρίᾳ γενέσθαι τῆς ἐπιφανείας φησίν. Ηὔχετο οὖν πληρωθῆναι αὐτοῦ τὸν ὅλον χρόνον· καὶ εἰ οἷόν τε παρεκταθῆναι τὴν ζωὴν αὐτοῦ, ὅπως ἂν καὶ αὐτῆς τῆς τῶν πραγμάτων ἐκβάσεως καταξιωθῇ. Οὕτω γὰρ ἂν ἔμελλεν ἡ πᾶσα αὐτοῦ ζωὴ πληροῦσθαι. «Ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.» Γνοὺς ὁ προφητικὸς χορὸς διὰ τοῦ πνεύματος, ὡς οὐκ ἂν φθάσοι εἰς τὸ τῶν πραγμάτων πέρας, φησίν· Ἐγὼ δὲ κοιμηθήσομαι ἅτε θνητὸς ὤν· σὺ δὲ μόνος, ὦ Δέσποτα, καὶ εἰς ἐκείνας μένεις τὰς γενεάς, ἅτε δὴ καὶ σὺ αὐτὸς ὡς Θεός, ὁ καὶ τοὺς οὐρανοὺς πεποιηκὼς ἐξ ἀρχῆς.

«Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις.» Σὺ μόνος, φησίν, ὦ Δέσποτα, τὸ ἀΐδιον ἅτε Θεὸς ἔχεις· οἱ δὲ οὐρανοί, εἰ καὶ μέγα τι καὶ ἐξαίρετον ὑπάρχουσι κτίσμα, ἀλλ' ὅμως καὶ αὐτοὶ ὑποβληθήσονται φθορᾷ. Ἡ δὲ φθορὰ αὕτη γενήσεται αὐτοῖς εἰς ἀνακαινισμόν· ἑλιχθήσονται γὰρ εἰς βέλτιον σχῆμα μεταβαλλόμενοι.

«Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσιν.» Ὅταν γὰρ ἑλιχθήσονται οἱ οὐρανοί, καὶ καινὴ γένηται κτίσις, τότε δὴ τότε ἐν ταῖς αἰωνίοις σκηναῖς γενόμενοι οἱ τῶν σῶν δούλων υἱοί· οὗτοι δ' ἂν εἶεν οἱ διὰ τῶν ἁγίων αὐτοῦ ἀποστόλων πεπιστευκότες. «Καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.» Σπέρμα τῶν ἁγίων ἀποστόλων τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, ὅπερ εἰς τὸν αἰῶνα διαμένει.

ΨΑΛΜΟΣ τῷ Δαυίδ.
ΡΒʹ.
Ὑπόθεσις.

Ὁ νέος ἐξ ἐθνῶν λαὸς ἐν τούτῳ διδάσκεται ἀνυμνεῖν τὸν Θεὸν τὸν τὰ μεγάλα εὐηργετηκότα. Ταῦτα δέ ἐστι τὰ εὐεργετήματα ἥ τε τῆς ἁμαρτίας ἀναίρεσις καὶ τῆς ἀναστάσεως τὸ καύχημα.

«Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.» Αὐτὸς ἑαυτὸν ἐπὶ τὸν ὕμνον διεγείρει, καλὸν ἑαυτοῦ τῆς σωτηρίας φάρμακον τὴν εἰς Θεὸν εὐλογίαν προβαλλόμενος. Ἐφ' οἷς δὲ Θεὸς τὸν λαὸν ἤμελλεν ἐλεεῖν δικαιοσύνῃ δοξάζεται κριτικῇ, φθορᾶς τε ἀπαλλάττων καὶ βασιλείαν διδοὺς οὐρανῶν· ὡς καὶ πᾶσιν ἁρμόττειν τὸν προκείμενον ὕμνον. «Καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.» Διὰ τῶν ἐντὸς τὸ ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ ἐξ ὅλης διανοίας τὸν Θεὸν ἐπικαλεῖσθαι δηλοῖ.

«Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.» Ἐνδιατρίβει τῇ περὶ τὸν ὕμνον ἑαυτοῦ προτροπῇ, εἰδὼς τοῦτο ἀντὶ τῶν μεγάλων αὐτοῦ εὐεργεσιῶν ἑαυτὸν ἐποφείλοντα. Ὁ γὰρ τῶν θείων εὐεργεσιῶν μεμνημένος οὐ παύσεται τοῦτο ὑμνῶν. «Καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.» Ἀνταπέδωκε γὰρ ἡμῖν ἀντὶ τῶν μεγάλων ἁμαρτημάτων ὧν ἡμάρτομεν, χρηστότητα, ἔλεον, οἰκτιρμούς. Ὧν δεῖ μὴ ἐπιλανθάνεσθαι.

«Τὸν εὐϊλατεύοντα πάσαις ταῖς ἀνομίαις σου.» Αὗταί εἰσιν αἱ περὶ ἡμῶν ἀνταποδόσεις τοῦ Θεοῦ· ὅτι πρῶτον μὲν ἱλασμὸν ἔθηκε τῶν ἡμετέρων ἁμαρτιῶν· δεύτερον δὲ τὰς ἡμετέρας ἀσθενείας ἰάσατο· τρίτον ἐκ φθορᾶς ἡμῶν τὴν ζωὴν ἐλυτρώσατο, ἀνελὼν τὴν ἁμαρτίαν, τέταρτον οἰκείᾳ φιλανθρωπίᾳ καὶ ἐλέῳ καὶ οἰκτιρμοῖς χρώμενος ἐστεφάνωσεν ἡμᾶς τῷ τῆς υἱοθεσίας χαρίσματι· πέμπτον τῶν πνευματικῶν ἡμᾶς ἐνέπλησεν ἀγαθῶν, ἑαυτὸν ἡμῖν ἄρτον ὄντα ζωῆς ἐπιδιδούς.

«Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.» Τοῦ Θεοῦ διὰ τῆς παλιγγενεσίας ἀνακαινίζοντος ἡμῶν ὡς ἀετοῦ τὴν νεότητα. Τὸ τῆς ἀναστάσεως ἡμῖν κατασημαίνει χάρισμα. Ἀετῷ δὲ τοὺς ἀνακαινουμένους παρείκασεν, ὀρίνθων ἁπάντων ὄντι ὑψηλοπετεστάτῳ καὶ βασιλικωτάτῳ, καὶ ταῖς τοῦ ἡλίου μαρμαρυγαῖς μόνῳ λαμπρῶς ἐνατενίζειν δυναμένῳ.

«Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.» Οὗτος, φησίν, ὁ Κύριος ὁ τῷ αὐτοῦ ἐλέει τὰ προειρημένα ἡμῖν χαρισάμενος, αὐτός ἐστιν ὁ καὶ πάλαι δίκαιον κρῖμα κρίνας, καὶ λυτρωσάμενος ἐξ Αἰγύπτου τοὺς υἱοὺς Ἰσραήλ, καὶ δοὺς τῷ τε Μωϋσῇ καὶ παντὶ τῷ λαῷ γνῶσιν τῶν αὐτοῦ ἐντολῶν.

«Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος.» Ταῦτα γὰρ καὶ τῆς τοιαύτης εὐεργεσίας καὶ πάλαι καὶ νῦν γέγονεν αἰτία, φήσαντος καὶ Μωϋ-

σέως· «Κύριος μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός·[1]» «ποιῶν ἔλεος εἰς χιλιάδας.» Ταύτας οὖν αὐτοῦ τὰς δυνάμεις ἐγνώρισε τῷ Μωϋσῇ, λεγομένας ὁδούς, καὶ τὰς ἀρετὰς καθ' ἃς τὰ πάντα διέπει. «Οὐκ εἰς τέλος ὀργισθήσεται.» Εἰ καὶ ὠργίσθη, φησί, διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ κατεδίκασε θανάτῳ τὸ γένος· ἀλλ' οὐκ ἐκτείνει εἰς τέλος τὴν ὀργήν· ἐπέλαμψε γὰρ ἐπ' ἐσχάτων τῶν χρόνων εἰς ἀθέτησιν τῆς φθορᾶς.

«Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν.» Ὡς γὰρ ἴδιον πλάσμα καὶ ἔργα τῶν χειρῶν αὐτοῦ κατῳκτείρησεν.

«Τὸ δὲ ἔλεος Κυρίου ἀπὸ τοῦ αἰῶνος.» Ὅμοιον τό· «Καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς φοβουμένοις με.»

«Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ.» Ἅγιος γὰρ ὤν, ἐν ἁγίοις ἀναπαύεται, ταῖς ἀγγελικαῖς δηλονότι δυνάμεσιν.

«Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ.» Ἐπαναπαύεται μέν, φησί, τοῖς ἄνω πνεύμασιν· οὐ μὴν οὐδὲ τὰ ἐπὶ γῆς τῆς αὐτοῦ βασιλείας ἀφέστηκεν. Αὐτὸς γάρ ἐστιν ὁ κατεξουσιάζων τῶν ὅλων ὡς Θεός. «Καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.» Δεσπόζειν δὲ πάντων, ἀλλ' οὐ βασιλεύειν εἴρηται, ἐπεὶ μὴ πάντες ἄξιοι τῆς αὐτοῦ βασιλείας. Διὸ τοῖς τὸν εὐαγγελικὸν κατορθοῦσι βίον τὴν τῶν οὐρανῶν βασιλείαν ὁ Σωτὴρ ἐπηγγείλατο. Κρατεῖ δὲ καὶ τῶν ἀξίων ὁ Κύριος.

«Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ.» Διδάσκει τὸν προσιόντα τῇ πίστει λαόν, ὡς ὁ τὸν ὕμνον ἐπιτηδεύων τὸ αὐτὸ τοῖς ἀγγέλοις ἕξει ἀξίωμα. Εἰ γὰρ αὕτη ἐκείνων ἡ λειτουργία, τὸ αἰνεῖν καὶ δοξάζειν τὸν Θεόν· αὐτὸ δὲ τοῦτο προστάττεται ποιεῖν ἡ ψυχή, ἀεὶ δὴ λέγων καὶ δοξολογεῖν, δηλονότι τῆς αὐτῆς ἀξίας τυχεῖν. Ὧν γὰρ ἐπιτήδευμα τὸ αὐτό, τούτων καὶ τὸ ἀξίωμα τὸ αὐτό.

«Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ.» Οὐ μόνον ἄγγελοι εἰς τὸν αἶνον καλοῦνται, ἀλλὰ καὶ εἴ τι ἕτερόν ἐστιν οὐράνιον τάγμα, εἴτε θρόνοι, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, εἴτε κυριότητες. Ταῦτα δὲ πάντα τὰ τάγματα διὰ τῶν δυνάμεων ἡμῖν κατεσήμανεν.

Τῷ Δαυὶδ ἐπὶ τῆς τοῦ κόσμου γενέσεως.
Ἀνεπίγραφος παρ' Ἑβραίοις.

ΡΓ'.

Ὑπόθεσις.

Διδάξας διὰ τοῦ προλαβόντος ψαλμοῦ τὸν προελθόντα τῇ πίστει λαὸν τοὺς ὕμνους ἀναφέρειν τῷ Θεῷ διὰ τῶν παρόντων διδάσκει, καὶ τῆς κατὰ πάντων προνοίας αὐτοῦ ὅσον τὸ χρῆμα δείκνυσιν. Ὅτι

1. Ἐξ. 34, 6.

οὐ μόνον τῶν ἐπουρανίων καὶ ἀερίων τίθεται πρόνοιαν, ἀλλὰ γὰρ καὶ τῶν ἐπιγείων καὶ τῶν ἐν αὐτοῖς σμικροτάτων· ὡς μηδὲ τῶν πάνυ εὐτελεστάτων ζῴων ἀμελεῖν, ἀλλὰ καὶ τούτων προνοεῖν.

«Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.» Διδάσκει καὶ ἐπὶ τῇ μεγάλῃ προνοίᾳ τοῦ Θεοῦ εὐλογεῖν τῇ ψυχῇ τὸν Θεόν, ὥσπερ καὶ ἐπὶ τῷ προλαβόντι ἐπὶ τῇ τῶν ἁμαρτημάτων ἀπαλλαγῇ. «Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.» Ἀφορῶντες εἰς τὴν σὴν πρόνοιαν, ὦ Δέσποτα, μεγαλύνομεν τῆς σῆς προνοίας τὸ μέγεθος ἐκπληττόμενοι. Οὕτω γὰρ τὴν ἡμετέραν ἐξομολόγησιν καὶ εὐπρέπειαν, τουτέστι τὸν μετὰ δοξολογίας αἶνον, ὥσπερ τι περιβόλαιον ἀμφιέννυσιν.

«Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.» Ἀπὸ τοῦ νοουμένου φωτὸς ἄρχεται τὸν ὕμνον ἀναπλέκειν αὐτῷ. Ὥσπερ δὲ ἐν ἑτέρῳ λέλεκται φῶς οἰκεῖν ἀπρόσιτον, ἐνταῦθα αὐτὸ τοῦτο τὸ φῶς ἀναβάλλεσθαι λέγεται.

«Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν.» Δεύτερον τοῦτο προνοίας τίθεται ἔργον, τὸ ἐκτείνεσθαι τὸν οὐρανὸν ὥσπερ τι ἔκταμα ἐν χερσὶ τεχνίτου. Ὁμοῦ καὶ τὸ σχῆμα παρέστησε καὶ τὴν εὐκολίαν τοῦ δημιουργήσαντος. Καθάπερ γὰρ ἀνθρώπῳ ῥᾴδιον ἐκτεῖναι δέρριν, οὕτω καὶ τῷ Θεῷ τὸν οὐκ ὄντα ποιῆσαι οὐρανόν. Ἅμα δὲ καί τι ἕτερον ᾐνίξατο νόημα ὑψηλόν, ὅτι πρὸς ἕτερον βίον ὁδεύομεν, καὶ τὰ παρόντα σκιὰ τῶν μελλόντων, καὶ οὐδέπω πρὸς τὰ ἄδυτα ἀφικνούμεθα, ἀλλ' ἔτι ἐν σκηνῇ ἐσμεν τῷ παρόντι βίῳ. Ἡ γὰρ σκηνὴ τῶν λυομένων. *Καὶ μετ' ὀλίγα*· Οὕτω καὶ τοῦ οὐρανοῦ τοῦ ἀλλασσομένου ἕτερος ἔσται τρόπος ζωῆς καὶ λῆξις τῆς παρούσης ἀμείνων. Ἔσται γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή. Ἀλλ' ἀκουσώμεθα ὅσα περὶ οὐρανοῦ λέγουσιν οἱ προφῆται, ἵνα τὰ στόματα τῶν ἐπὶ τῷ πώγωνι μέγα φρονούντων ἐμφράξωμεν· οἳ τὰ ἐπελθόντα φθεγξάμενοι, καὶ ὑπὸ γῆν οὐρανὸν εἶναι λέγουσι· πρὸς οὓς ἱστάμενος ὁ προφήτης ἔλεγε· «Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν.» Ἡ δέρρις οὐ σφαιρά τίς ἐστι κατὰ τὴν ἐκείνων λῃρῳδίαν· ἀλλ' εἰ μὴ κυκλίῳ τινὶ καὶ ἡμισφαιρίῳ προσέοικεν. Ὅπερ οὖν ἕτερος προφήτης δηλῶν ἔλεγεν· «Ὁ στήσας ὡς καμάραν τὸν οὐρανόν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖν ἐπὶ τῆς γῆς.[1]» Καὶ πάλιν, ὅτι «Οὐ περιδονεῖται· ἀλλ' ἕστηκε πεπηγώς.» Οὕτω φησὶν ὁ προφήτης, «Ὁ πήξας τὸν οὐρανόν.» Καὶ τὴν λεπτότητα δὲ αὐτοῦ τὴν εἰς ἄκρον παριστῶν ἔλεγεν, ὅτι «Ὁ οὐρανὸς ὡσεὶ καπνὸς ἐστερεώθη.[2]» «Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ·» δείκνυσιν, ὡς οὐκ εἰκῇ τὰ τῶν ὑδάτων συστήματα ἐν ἀέρι περιφέρεται· αὐτὸς γὰρ ἰδίᾳ προνοίᾳ ἄγει τὸ πρᾶγμα, ὡς καὶ δοκεῖν ἐστεγάσθαι τῇ τῶν νεφῶν εὐαρμονίᾳ τὰ περὶ τῶν οὐρανῶν μέρη.

«Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ.» Ὡσεὶ σαφέστερον ἔδειξεν· Ὁ καὶ μέχρι τῶν νεφελῶν αὐτῶν τὰ τῆς προνοίας ἐκτείνων. Τὴν γὰρ ἐπίβασιν ἀντὶ τῆς προνοίας τέθεικεν. «Ὁ περιπατῶν ἐπὶ πτερύγων

---

1. Ἡσ. 40, 22. 2. Ἡσ. 51, 6.

ἀνέμων.» Δείκνυσιν, ὡς οὐδὲ ἡ τῶν ἀνέμων φορὰ εἰκῇ φέρεται· ἀλλ' αὐτός ἐστιν ὥσπερ τις ἡνίοχος αὐτῶν γινόμενος, διὰ τοῦ ταῖς αὐτῶν ἐπιβαίνειν πτέρυξιν.

«Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα.» Ὁ κούφους, φησί, καὶ μεταρσίους τοὺς ἀγγέλους ποιῶν. «Καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.» Οὕτως εἶδε Μωϋσῆς ἐν πυρὶ φλογὸς τὸν ἄγγελον λαλοῦντα αὐτῷ.

«Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν.» Μετὰ τὸ δεῖξαι τὴν ἐν τῷ οὐρανῷ πρόνοιαν τοῦ δημιουργοῦ, πρόεισι καὶ περὶ τῶν ἐν τῇ γῇ πρόνοιαν αὐτοῦ. Αὐτὸ τοῦτο τό, στερεὰν αὐτὴν οὖσαν καὶ βαρεῖαν ἐφ' ὑγρᾶς ἑδρασθῆναι οὐσίας.

«Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ.» Αὐτοῦ μὲν τοῦ τῆς γῆς στοιχείου φησί. Λέγει δέ, ὅτι ὥσπερ ἱματίῳ περιέβαλε τῇ ἀβύσσῳ τὴν γῆν, ἔξωθεν πᾶσαν περικυκλῶν ὕδατι. «Ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα», κ.τ.λ. Ὡς ὄρη, φησί, τὰ τῆς ἀβύσσου ἀνιστῶνται ὕδατα ὑψούμενα, καὶ οἱονεὶ ἀπειλοῦντα κατακλῦσαι τὴν γῆν· ἀλλὰ τῷ σῷ νεύματι καὶ τῇ σῇ δυνάμει, ἥτις καὶ διὰ τῆς βροντῆς σημαίνεται, ἀναχωροῦσι, φησίν· ἢ τάχα καὶ τὰς βροντὰς διὰ τοῦτο γεγενῆσθαί φησι, πρὸς τὸ φόβον τινὰ λαμβάνειν ἀπὸ τῶν γινομένων τῆς ἀβύσσου τὰ ὕδατα. Εἰ δὲ ἐκεῖνα τοῦτο ὑπομένει, πολλῷ πλέον τὸ τοιοῦτον δεῖ ἡμᾶς παθεῖν.

«Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία.» Ὑψούμενα, φησί, τὰ ὕδατα παρεικασθείη ἂν ὄρεσιν· ἀλλ' ἁπλούμενα πάλιν ὑπὸ τοῦ σοῦ φόβου, οἱονεὶ πεδιὰς καὶ ὁμαλὴ γίνεται γῆ. Ἐθεμελίωσας γὰρ αὐτοῖς τόπον ὃν οὐχ οἷόν τε ὑπερβαίνειν αὐτά. Καὶ τοῦτό ἐστι, τό· «Ὅριον ἔθου ὃ οὐ παρελεύσονται.» Διὸ οὐδὲ ἐπικλῦσαι δύνανται τὴν γῆν. Ὅμοιον δὲ τὸ πρὸς τὴν θάλασσαν εἰρημένον διὰ τοῦ προφήτου· «Μέχρι τούτου στήσῃ, καὶ οὐχ ὑπερβήσῃ. Ἀλλ' ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα.[1]»

«Ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.» Κατὰ μέρος δοξολογῶν ἐπέρχεται τῇ προνοίᾳ, καὶ τὴν μετὰ σοφίας τεθαύμακεν ἀγαθότητα, καὶ τῆς τῶν ἀλόγων ζῴων πεφροντικότος διαμονῆς τοῦ Θεοῦ· ποιήσας γὰρ αὐτά, καὶ τρέφει καὶ ποτίζει. Διὸ τὰ ὄρη τεμών, πάροδον τοῖς ὕδασιν ἐτεκτήνατο.

«Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ.» Οὕτω καὶ τῶν ἀλόγων ζῴων καὶ ἑρπετῶν καὶ θηρίων προνοεῖ, ὡς καὶ τούτοις τὸ πρὸς ζωὴν χρήσιμον ἐπιχορηγεῖν. «Προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.» Καὶ τοῦτο τῆς σῆς προνοίας ἐστὶν ἔργον, τὸ μὴ μόνον διὰ τὰς περὶ χειμάρρους ὥρας ἐν ταῖς φάραγξι καὶ τοῖς θάλπουσι τόποις ὕδατα δίδοσθαι, ἀλλὰ γὰρ καὶ ἀνὰ μέσον τῶν ὀρέων, ὅπως ἂν τῶν ἀγρίων ζῴων τὰ ἥμερα διαδράσκωνται, ἐν ὥρᾳ διαναπαύσωνται.

---

1. Ἰὼβ 38, 11.

«Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ.» Ποτίζει γὰρ ὄρη καὶ πεδία οὐκ ἀπὸ τῶν ἐν ταῖς φάραγξι πηγῶν, ἢ τῶν φερομένων κατὰ γῆς ποταμῶν, ἀλλ' ἄνωθεν τοὺς αὐτάρκεις χορηγῶν ὑετούς. «Ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.» Ὥσπερ τῶν ὑδάτων δέδωκε τὴν χορηγίαν, οὕτως καὶ ἀπὸ γῆς τρέφεσθαι παρεσκεύασεν.

«Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.» Δουλείαν τῶν ἀνθρώπων τὰ ἥμερα τῶν κτηνῶν φησιν, οἷον βοῦς καὶ ὄνος καὶ τὰ ὅμοια. «Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς.» Διὰ τοῦτο, φησίν, ἐφρόντισας τῶν κτηνῶν, ἵνα δι' αὐτῶν γεωργούντων τὰ πρὸς ζωὴν εὕρωμεν. Πάντα γὰρ ἐκεῖνα ἡμῶν χάριν εὐεργετεῖ.

«Χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου.» Δείκνυσι καὶ τὰ ἐν δρυμῷ αὔξοντα ξύλα, οἷον κέδρους καὶ τὰ ἕτερα, τοῖς αὐτοῦ νεύμασιν αὐξηθήσονται. Γέγονε δὲ ταῦτα καὶ δι' ἕτερα μὲν πλεῖστα, ὧν καὶ τὴν πεῖραν ἔχομεν, καὶ τῶν στρουθίων δὲ εἰς καλιάς. «Τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν.» Αὐτῶν μὲν τῶν στρουθίων ἡγεῖσθαί φησιν ἤτοι τὴν καλιὰν τοῦ ἐρωδιοῦ, διὰ τὸ τὰ ὑψηλότατα τῶν δένδρων καταλαμβάνοντα νεοττεύειν ὡς ἐπίπαν ἐν ἐλάταις ταῖς πασῶν ὑψηλοτάταις τῶν δένδρων.

«Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις.» Καὶ ταῖς ἐλάφοις, φησί, δέδωκε τὰ ὄρη καταφυγὴν ἐπὶ τὸ ἐκφυγεῖν τῶν ζῴων τὰ ἀγριώτερα. «Πέτρα καταφυγὴ τοῖς λαγωοῖς.» Ὥσπερ τὰ ὄρη εἰς σωτηρίαν ταῖς ἐλάφοις ἀπέδωκεν, οὕτως καὶ τὰς καταδύσεις τῶν πετρῶν τοῖς λαγωοῖς. Διὸ δὴ καὶ αὐτοὶ ἐκ τούτων σῳζόμενοι ἐν τοῖς ὀπίσω ἔλεγον τό· «Ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνάς.» Αἰνοῦντες δηλονότι τὸν σῴζοντα.

«Ἐποίησε σελήνην εἰς καιρούς.» Ἀνατρέχει πάλιν ἐπὶ τὴν ἐν τοῖς οὐρανοῖς πρόνοιαν. Δι' οὐδὲν δὲ ἕτερον γεγενῆσθαι τὴν σελήνην φησὶν ἢ πρὸς ἀριθμὸν καὶ διάγνωσιν μηνῶν τε καὶ ἡμερῶν. «Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.» Θείῳ καὶ αὐτὸς προστάγματι πειθόμενος.

«Ἔθου σκότος καὶ ἐγένετο νύξ.» Τοῦτό φησιν, ἵνα μὴ ἄλλον δημιουργὸν τῆς ἡμέρας, καὶ ἄλλον τῆς νυκτὸς λογισώμεθα εἶναι.

«Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ.» Οἱ ἄνθρωποι ἐξιέναι τε πρὸς ὁδοὺς καὶ γῆς ἐργασίαν ἐκωλύοντο. Τανῦν δὲ νυκτὸς ἔξεισι ζητοῦντες βρῶσιν παρὰ Θεοῦ· ἐπεὶ μὴ καὶ αὐτοῖς ἐξανέτειλεν ἡ γῆ χόρτον ἢ χλόην.

«Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε.» Τὸν περὶ τῆς προνοίας διεξελθὼν λόγον, ἐπὶ ὕμνον τοῦ κτίσαντος τὸν λόγον μετέβαλε, διαναπαύων ὥσπερ διὰ τούτου τὴν ἀκοήν. Εἶτα πάλιν ἐφ' ἕτερον μέρος τῆς προνοίας ἔρχεται, τὴν ἐν τῇ ὑγρᾷ πορείαν ἀναγγέλλων ἡμῖν· ἥτις οὐκ ἂν ἐγένετό ποτε, μὴ τῆς τοῦ Θεοῦ ἐν αὐτῷ διακυβερνώσης προνοίας. «Πάντα ἐν σοφίᾳ ἐποίησας.» Θαυμαστικὸν δὴ τό, ὡς καὶ σοφία ἐν ᾗ πάντα ἐποίησεν ὁ Κύριος· ἔστι γὰρ Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.

«Δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.» Παρενέβαλε τῷ τῆς θαλάττης λόγῳ τὴν περὶ τοῦ δράκοντος μνήμην γεγενῆσθαι· δι' οὐδὲν ἕτερον φήσας παρῆχθαι αὐτόν, ἢ εἰς τὸ καταπαίζεσθαι. Καὶ εἰκότως ἐν τῷ περὶ τῆς θαλάσσης λόγῳ τούτου ἐμνημόνευσεν· ἅτε δὴ καὶ τοῦ βίου παντὸς τοῦ ἡμετέρου ἁλμυροῦ τινος ὄντος, καὶ πανταχόθεν ῥιπιζομένου, καὶ κύμασιν ἀγρίοις συγκλονουμένου.

«Πάντα πρὸς σὲ προσδοκῶσιν.» Εἴτε γὰρ ἄνθρωποι, εἴτε ζῴων ἀγρίων ἀγέλαι, εἴτε κτηνῶν, εἴτε ἑρπετῶν, ἄλλως οὐκ ἂν τραφεῖεν μὴ αὐτοῦ τὰ ζωαρκῆ χορηγοῦντος.

«Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσιν.» Δείκνυσι διὰ τούτων, ὡς αὐτός ἐστιν ὁ καὶ θανάτου καὶ ζωῆς δεσπότης.

«Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.» Καὶ ποῖον τὸ ἔργον αὐτοῦ; Ὃ εἰργάσατο ἀνακαινίσας τὴν ἡμετέραν φύσιν. Σημαίνει γὰρ διὰ τούτων τὴν ἐσομένην τῶν ἀνθρώπων θεογνωσίαν, ὅτε Θεὸς εὐφρανθήσεται, οὐ προσκυνούμενος, ἀλλὰ σῳζομένους ὁρῶν.

«Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν.» Τὴν καθόλου κρίσιν ἐπισυνάπτει, ἣ καὶ φόβον παρέξει πᾶσι τοῖς ἐπὶ γῆς. Οὐ γάρ ἐστιν ὁ μὴ δεδοικὼς ἐκεῖνο τὸ φρικτὸν καὶ θεῖον δικαστήριον. «Ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.» Ὄρη τὰς ἀντικειμένας δυνάμεις φησίν, ἃς καὶ ἐγκαύσει κατὰ τὸν τῆς κρίσεως καιρόν, οὗ καὶ σύμβολον ὁ καπνός.

«Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου.» Διαλογή, ἀντὶ τοῦ, ἡ ἐκλογή μου. Λέγει δὲ ὅπερ ἐξελέξατο, τὸ μόνον θέλειν ὑμνεῖν τὸν Θεόν, ὃ καὶ ἀρέσει αὐτῷ τῷ ὑμνουμένῳ.

«Ἐκλίποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς.» Ἐν ἐκείνῳ δηλονότι τῷ καιρῷ. Ἀκούσονται γάρ· «Πορεύεσθε ἀπ' ἐμοῦ, κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.[1]» «Καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς.» Ἐν τῇ τῶν εὐλογούντων τὸν Θεὸν δηλονότι μερίδι ἐκλείψουσιν. «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.» Αὐτὸς γὰρ καὶ τοῦ τῶν πονηρῶν ἀποστήσει κλήρου, καὶ τοῦ τῶν ἁγίων ἀξιοῦσθαι ποιεῖ.

Ἀλληλούϊα.

ΡΔʹ.

Ὑπόθεσις.

Ἔστι δὲ τό, ἀλληλούϊα, αἶνος τῷ ἀοράτῳ. Λέγεται δὲ τοὺς ἀγγέλους ταύτῃ τῇ φωνῇ αἰνεῖν τὸν Θεόν, ὥσπερ τὰ χερουβεὶμ τό· Ἅγιος, ἅγιος, ἅγιος.[2] Καὶ τοῦτο ἅγιοι παραδεδώκασι πατέρες, αὐτήκοοι γενόμενοι, ὥσπερ Ἡσαΐας τῶν σεραφίμ. Διαιρεῖται δὲ τὸ ἀλληλούϊα οὕτως, «ἀλ», Θεός, «ἦλ», ἰσχυρός, «οὔϊα», κραταιός.

1. Ματθ. 25, 41. 2. Ἡσ. 6, 3.

«Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ, ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ.» Ἐν τούτῳ τῷ ψαλμῷ προστάττει τοῖς ἁγίοις ἀποστόλοις τὸ Πνεῦμα τὸ ἅγιον τῷ ἐξ ἐθνῶν λαῷ φανερὰς ποιῆσαι πάσας τὰς θαυματουργίας, ἃς πεποίηται ἐπὶ τῆς παρουσίας αὐτοῦ ὁ Κύριος.

«Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ.» Ἔπαινος γὰρ καὶ δόξα τοῖς τὴν ἀρετὴν τοῦ Θεοῦ διηγουμένοις. «Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον.» Πόσον τὸ ἐκ τοῦ ἐξομολογεῖσθαι ὄφελος γίνεται διδάσκει. Εἰ γὰρ ζητήσητε, φησίν, αὐτόν, συμβήσεται ὑμῖν καὶ ἡ περὶ τὸν νοῦν εὐφροσύνη, καὶ τὸ κραταιωθῆναι καὶ δοξασθῆναι τὴν ἡμετέραν κεφαλήν.

«Μνήσθητι τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησεν.» Ὧν πεποίηται λέγει ἐν τῇ παρουσίᾳ θεοσημειῶν, εἴτε τῶν ἐν τῇ Καινῇ Διαθήκῃ, εἴτε τῶν ἐν τῇ Παλαιᾷ παρὰ Μωϋσῇ καὶ τοῖς πρότερον ἁγίοις. Πολλὰ γὰρ ἐθαυματούργησαν καὶ οὗτοι διὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ταῦτα τοῖς ἔθνεσιν ὡς ἀγνοοῦσι παραδοῦναι κελεύει τοὺς αὐτῶν κήρυκας πρὸς τοῖς ἐν τῇ Καινῇ παρὰ τοῦ Σωτῆρος γεγενημένοις, ὅσα τε κέκρικεν αὐτοῦ τὸ στόμα διά τε τῆς Παλαιᾶς καὶ Καινῆς. Ὡς ἂν βασιλικοὺς νόμους φυλάξαι κελεύσατε. «Τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ.» Τέρατα μὲν τὰ γεγενημένα θαύματα, ὡς τὸ περιπατῆσαι ἐπὶ τῆς θαλάσσης, καὶ νεκρὸν ἀναστῆσαι, καὶ τὰ λοιπά· κρίματα δὲ τοῦ στόματος αὐτοῦ τοὺς λόγους οὓς ἔλεγεν, ἐλαύνων τῶν ἀνθρώπων τοὺς ἀκαθάρτους δαίμονας· ἢ καὶ τὰς ἐντολὰς τῆς Καινῆς Διαθήκης.

«Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, Υἱοῦ Ἰακὼβ ἐκλεκτοῦ αὐτοῦ.» Ἔτι ὡς πρὸς τοὺς ἀποστόλους ὁ λόγος, ἵνα ᾖ· Ὡς σπέρμα μὲν ὄντες τοῦ Ἀβραὰμ καὶ δοῦλοι αὐτοῦ, καὶ υἱοὶ ὄντες τοῦ Ἰακὼβ καὶ ἐκλεκτοὶ αὐτοῦ (αὐτὸς γὰρ αὐτοὺς ἐξελέξατο), ἀπαγγείλατε ἐν τοῖς ἔθνεσιν, ὡς αὐτός ἐστι Κύριος ὁ Θεὸς ἡμῶν.

«Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος.» Ἀπὸ τοῦ Βαβυλωνίων ἔθνους εἰς τὸ Παλαιστίνων.

«Καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς.» Τὸν Ἀβιμέλεχ περὶ τῆς εἰς Σάρραν παροινίας.

«Μὴ ἅψησθε τῶν χριστῶν μου.» Χριστοὶ καὶ οἱ περὶ τὸν Ἀβραάμ, διὰ τὸ τῆς τοῦ Θεοῦ Λόγου ἐπιφανείας ἠξιῶσθαι ἐν ὁράσεσιν.

«Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν.» Οἰκονομικῶς ἐποίησε γενέσθαι τὸν λιμόν, ἵνα, δι' αὐτὸν κατελθόντες εἰς Αἴγυπτον καὶ αὐξηθέντες, τὴν γῆν ἀπολάβωσι τῆς ἐπαγγελίας. «Πᾶν στήριγμα ἄρτου συνέτριψε.» Τοῦτο κατ' ὀργὴν Θεοῦ ἐν τοῖς λιμοῖς εἴωθε συμβαίνειν, τὸ μὴ στηρίζεσθαι τοὺς ἀνθρώπους ἐσθίοντας.

«Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ.» Τὰ ἀποτελέσματα τῶν ἐνυπνίων φησί. Λέγει οὖν, ὅτι μέχρι τούτου ἐκακοπάθησε τὸν ὑπὲρ ψυχῆς ἀγῶνα κλαίων, ἕως ὁ τῶν ἐνυπνίων καιρὸς ἐπῆλθε τοῦ πληρῶσαι αὐτά.

«Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν.» Ὅμοιον τό· «Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν;» Οὐ γὰρ ἔλυσε τοὺς ὀνείρους τῷ Φαραώ, μὴ τοῦ Θεοῦ παρασχόντος τὸ δύνασθαι συνιέναι αὐτούς.

«Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.» Υἱοὶ Νῶε, Σήμ, Χάμ, Ἰάφετ· τοῦ δὲ Χὰμ παῖς Χαναάν. Τούτου δὲ Μεστραῒμ ἑρμηνεύεται Αἴγυπτος, ἀφ' οὗ καὶ ἡ χώρα. Ὅτε τοίνυν εἰσῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον εἰκὸς ἦν τὸν Χὰμ πάππον ὄντα τοῦ Μεστραῒμ ἐν Αἰγύπτῳ κατῳκηκέναι, τοῦ Χαναὰν ἐπὶ τῆς Παλαιστίνης οἰκοῦντος. Διὰ δὲ τοῦ Ἰσραὴλ καὶ Ἰακώβ, ὃς εἰσῆλθεν εἰς Αἴγυπτον, καὶ οἱ τούτου παῖδες δηλοῦνται. Ἐν ἑβδομήκοντα γὰρ ψυχαῖς κατέβη Ἰσραὴλ εἰς Αἴγυπτον, εἶπεν ἡ Γραφή. «Καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.» Χὰμ ἐγέννησε τὸν Χαναάν, Χαναὰν δὲ τὸν Μεστραΐμ, ὃς ἑρμηνεύεται Αἴγυπτος. Διὸ καὶ Χὰμ γῆν τὴν Αἴγυπτον καλεῖ, ὡς τοῦ ἀπογόνου οὖσαν τοῦ Χάμ.

«Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα.» Ὥστε τὸν Φαραὼ λέγειν, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ· «Ἰδοὺ νῦν πολυπληθεῖ τὸ ἔθνος, καὶ ἰσχύει ὑπὲρ ἡμᾶς.[1]» Οὐκ ἂν δὲ αὐξηθέντες ἐκραταιώθησαν, εἰ μὴ τῆς Ἰωσὴφ ἔτυχον προστασίας καὶ τῆς τοῦ Φαραὼ δεξιώσεως.

«Καὶ μετέστρεψε τὴν καρδίαν αὐτοῦ, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ.» Ἐπειδὴ ἐκ τοῦ τιμᾶσθαι παρὰ τῶν Αἰγυπτίων αὐτοὺς εἰς τὴν ὁμοίαν αὐτοῖς εἰδωλολατρείαν ἐξέβησαν, τούτου χάριν παρεσκεύασε μισῆσαι αὐτοὺς καὶ τὰ βαρέα τῶν ἔργων ἐπιθεῖναι, ἵνα κακωθέντες καταφύγωσι πρὸς τὸν Θεόν, καὶ εὕροι χώραν πληρωθῆναι ἡ ἐπαγγελία ἡ πρὸς Ἀβραάμ.

«Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ», κ.τ.λ. Μόνοις γὰρ τοῖς περὶ τὸν Μωϋσῆν καὶ Ἀαρὼν ἀπεκάλυψε τῷ λόγῳ τό, εἰς αἷμα, καὶ τὰ ἕτερα τῶν σημείων.

«Ἐξαπέστειλε σκότος καὶ ἐσκότασεν.» Ἐπειδὴ ἀφέντες τὸν δημιουργὸν Αἰγύπτιοι τῇ κτίσει ἐλάτρευον, τούτου χάριν δι' αὐτῆς αὐτοὺς τῆς κτίσεως ἐκόλαζεν, ἐξ ἀέρος λέγω δή, καὶ πυρός, καὶ γῆς, καὶ ὕδατος.

«Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα.» Οὐ γὰρ τὴν χροιὰν τῶν ὑδάτων μόνον, ἀλλὰ καί αὐτὴν μετέβαλε τῆς γεύσεως τὴν ποιότητα· ὥστε ἅπαντα διαφθαρῆναι τῶν ἰχθύων τὰ γένη.

Ἀλληλούϊα.

ΡΕ΄.

Ὑπόθεσις.

Ἐν τούτῳ τῷ ψαλμῷ τὰς ἁμαρτίας καταλέγει τοῦ προτέρου λαοῦ, διδάσκων, ὡς καὶ διαγέγονεν ἡ ἀποβολὴ αὐτῶν. Εἰσὶ δὲ αὗται· πρῶ-

1. Ἔξ. 1, 9.

τον μὲν παρεπίκραναν αὐτὸν διαβαίνοντες ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, εἰπόντες· «Παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, ἐξήγαγεν ἡμᾶς ὧδε ἀπολέσαι·[1]» δεύτερον ἐπείρασαν τὸν Θεὸν ἐν τῇ ἐρήμῳ· τρίτον παρώργισαν Μωϋσῆν ἐν τῇ παρεμβολῇ· τέταρτον ἐποίησαν μόσχον ἐν Χωρήβ· πέμπτον ἐξουδένωσαν γῆν ἐπιθυμητήν· ἕκτον ἐτελέσθησαν τῷ Βεελφεγώρ· ἕβδομον παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας· ὄγδοον τῷ μὴ ἐξολοθρεῦσαι τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς, ἀλλὰ καὶ προσκυνῆσαι τοῖς εἰδώλοις, ὡς καὶ τὰ τέκνα αὐτῶν εἰς θυσίαν αὐτοῖς εἰσαγαγεῖν.

«Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός.... Μακάριοι οἱ φυλάσσοντες κρίσιν», κ.τ.λ. Οὗτοι γὰρ ἄξιοι μόνοι τὰς δυναστείας λαλεῖν τοῦ Κυρίου, οἱ τὰ ἐν ταῖς Γραφαῖς ὑπὸ Θεοῦ κεκριμένα ποιοῦντες, πάντα τε κρίσει καὶ λόγῳ διαπραττόμενοι, καὶ δια παντὸς ἔχοντες τοῦ Θεοῦ τὴν κρίσιν πρὸ τῶν ὀφθαλμῶν. Οὗτοι γὰρ ἀκολούθως καὶ «ποιηταὶ δικαιοσύνης» εἰσίν, ἐπιτελοῦντες ἔργῳ τὸ δίκαιον.

«Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου.» Ἐντεῦθεν τὸ τῶν Ἰουδαίων πρόσωπον εἰσάγεται, εὐχομένων μεταλαβεῖν τῆς τοῖς ἔθνεσι διδομένης σωτηρίας.

«Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς.» Δηλαδὴ τῶν θλιβόντων· ὁ γὰρ συνεξελθὼν ἐπίμικτος οὐ τῶν θλιβόντων ἦν, ἀλλὰ τῶν πιστευσάντων.

«Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ.» Δι' ἀγαθότητα γὰρ τοῦ Θεοῦ προστεθέντων καὶ τῶν ἐν τῇ θαλάσσῃ κυμάτων, παραχρῆμα μὲν πιστεύσαντες, ᾖσαν αὐτῷ τὴν ᾠδὴν τὴν ἐν Ἐξόδῳ κειμένην· εἶτα πάντα παρέδωκεν λήθῃ. «Καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ.» Ὅτε ἐξῆλθον αἱ χορεύουσαι μετὰ Μαριὰμ λέγουσαι· «Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.[2]»

«Καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.» Τὸ δέ, «καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ·» παρώργισαν γὰρ αὐτὸν εὐθέως μετὰ τὴν Ἐρυθρὰν θάλασσαν.

«Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον.» Δόξαν ἦν αὐτοῖς ὁ Θεός, ὃν ἀφέντες προσεκύνησαν τῷ μόσχῳ.

«Εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς ἔστη ἐν τῇ θραύσει.» Ὅτε εἶπεν· «Εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου ταύτης ἧς ἔγραψας.[3]»

«Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν.» Πέμπτον ἔγκλημα τοῦτο μετὰ τὴν Ἐρυθράν, καὶ τὴν ἔρημον, καὶ τὴν εἰς Μωϋσῆν παροινίαν, καὶ τὸν μόσχον τὸν ἐν Χωρήβ. Ἐπανελθόντες γὰρ οἱ κατάσκοποι, κακῶς λέγοντες τὴν γῆν, καὶ τοὺς ἄλλους ἀπέστρεψαν, χωρὶς Ἰησοῦ τοῦ Ναυῆ καὶ Χαλὲβ τοῦ Ἰεφωνῆ.

---

1. Ἔξ. 14, 11. 2. Ἔξ. 15, 1. 3. Ἔξ. 32, 32.

«Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν.» Ὅτε οἱ κατάσκοποι ἐλθόντες διέστρεψαν τὴν γνώμην τοῦ λαοῦ.

«Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ.» Εἴδωλον τοῦτο Ἀμμανιτῶν, καλούμενον παρ' Ἕλλησι Κρόνος.

«Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο.» Ὅτε ἀνεῖλε τὴν Μαδιανῖτιν μετὰ τοῦ πορνεύσαντος. Διδάσκει δὲ ἡμᾶς ὁ λόγος πόσον δύναται ἑνὸς ἀνδρὸς εὐσέβεια πρὸς Θεόν.

«Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.» Ταῦτα διδάσκουσι Κριτῶν τε καὶ Βασιλειῶν αἱ βίβλοι, ὡς παρεδόθησαν ἄλλοτε ἄλλοις, Μωαβίταις, Ἀμμανίταις, Ἀμαληκίταις, Μαδιαναίοις, ἀλλοφύλοις, τῇ παραδόσει παιδευόμενοι.

«Καὶ ἐκυρίευσαν αὐτοὺς οἱ μισοῦντες αὐτούς.» Βαβυλώνιοι καὶ Ἀσσύριοι ἐπεκράτουν τοῖς Ἰσραηλίταις διὰ τὰς παρανομίας αὐτῶν.

«Πολλάκις ἐρρύσατο αὐτούς. Αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν.» Ὁ μὲν ἦν αὐτοῖς ἐκ φιλανθρωπίας γλυκύς, οἱ δὲ πικρὸν ἑαυτοῖς ἠνάγκαζον φαίνεσθαι. Καὶ πάλιν ἔσωσεν αὐτὸν οἷα Σωτήρ· οἱ δὲ ἀπώλοντο ἔργοις ἀπωλείας ἑαυτοὺς περιπείραντες· μέχρι πολλάκις αὐτοὺς ποιοῦντες τέλος ἀπώλοντο. Τὸ δέ, «πλεονάκις», ὅμοιον τῷ, «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου;[1]» τὸ δέ· «Καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν», τῷ «Οὐκ ἠθελήσατε.[2]» Ἐπάγων γὰρ τὴν παιδείαν, πάλιν μετεδίδου φιλανθρωπίας· οἱ δὲ αὐτὸν τοῖς πολεμίοις ἠμείβοντο.

«Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς.» Τοῦτό φησι διὰ Κῦρον τὸν ἀπολύσαντα αὐτοὺς τῆς αἰχμαλωσίας, καὶ Δαρεῖον καὶ Ἀρταξέρξην, τοὺς καὶ χρήματα δόντας εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ.

Ἀλληλούϊα.

ΡϚʹ.

«Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός.» Μετὰ τὴν ἀποβολὴν τοῦ Ἰουδαίων λαοῦ εἰκότως τὴν κλῆσιν τῶν ἐθνῶν κατασημαίνει, τὴν γενομένην διὰ τῶν ἀποστόλων. Διὸ καὶ αἰνεῖν προστάττει τὸν Θεόν, καὶ ἐξομολογεῖσθαι αὐτῷ ἐπὶ τῷ μεγάλῳ αὐτοῦ ἐλέῳ.

«Ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ βορρᾶ καὶ θαλάσσης.» Καὶ τίνες ἐκ τῶν τεσσάρων τῆς οἰκουμένης κλιμάτων συναχθέντες ἢ πάντα τὰ ἔθνη τὰ πάλαι ἔρημα θεοσεβείας τυγχάνοντα, καὶ μηδὲ νοτίδος θείας μεταλαβόντα, ἀλλ' ἐν πολλῷ δίψει τυγχάνοντα;

«Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον.» Οὐ γὰρ ἦν αὐτοῖς πολιτεία χρηστή, ἀλλ' ἦσαν ἐν πλάνῃ πολλῇ.

«Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλειπεν.»

---

1. Λουκ. 13, 34. 2. Λουκ. 13, 34.

Οὐδὲ γὰρ εἶχον ἄρτον τὸν στηρίζοντα καρδίαν ἀνθρώπου· οὐδὲ τὸ ὕδωρ τὸ ζῶν, περὶ οὗ λέλεκται· «Ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα.[1]»

«Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν.» Τὴν εἰς ἑαυτὸν πίστιν δηλαδή. Αὐτὸς γὰρ ἔλεγεν· «Ἐγώ εἰμι ἡ ὁδός.[2]» «Τοῦ προρευθῆναι εἰς πόλιν κατοικητηρίου.» Τὴν ἐκκλησίαν φησίν, ἢ τὴν ἐπουράνιον Ἱερουσαλήμ.

«Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ... ὅτι ἐχόρτασε ψυχὴν κενήν.» Καὶ τίς ἐκείνη ἡ ψυχή, ἢ ἐκείνων περὶ ὧν λέλεκται· «Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλειπεν; Καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.» Τοῦ νοητοῦ ἄρτου δηλονότι.

«Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου.» Σκιὰν θανάτου οὐκ ἂν ἁμάρτοις λέγων τὴν εἰδωλολατρείαν καὶ τὰς ἐν ἀθεότητι πράξεις· αὗται γάρ εἰσιν αἱ χωρίζουσαι ἡμᾶς τῆς ἀληθινῆς ζωῆς. Ἐν ταύταις δὲ ἦμεν πρότερον, διὰ τὸ παραπικραίνειν τὸν Θεόν, καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παροξύνειν. Δέον γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων τὸν γενεσιουργὸν τῶν ὅλων θεωρεῖν, καὶ τὴν ἀΐδιον αὐτοῦ δύναμιν καὶ θειότητα ἀπὸ κτίσεως κόσμου νοεῖν· ἡμεῖς οἷα τυφλοί, ἐν σκότῳ καὶ σκιᾷ θανάτου διάγοντες, καὶ τὰς λογικὰς τῆς ψυχῆς δυνάμεις πεπεδημένοι καὶ πεπηρωμένοι, ἐνηλλάττομεν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων. «Πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.» Ταῖς σειραῖς τῶν ἰδίων ἁμαρτιῶν ἕκαστος σφίγγεται, παντὸς πτωχεύων ἀγαθοῦ καὶ καλοῦ.

«Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ.» Οὐδαμῶς τὸν θεῖον παραδεχόμενοι νόμον, ἀλλὰ τοῖς σοφοῖς τοῦ αἰῶνος τούτου προνέμοντες ἑαυτούς. «Καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν.» Καὶ ποία ἦν ἡ βουλὴ τοῦ Ὑψίστου, ἢ τὸ θέλειν αὐτὸν «πάντας ἀνθρώπους σῴζεσθαι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν;[3]»

«Ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν.» Οὐ γὰρ ἴσχυέ τις τῆς ἁμαρτίας ποιήσασθαι τὴν ἀναίρεσιν.

«Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.» Τίς γὰρ μείζων ἀνάγκη τοῦ δεδουλῶσθαι πνεύμασι πονηροῖς ἐν ἀγνοίᾳ Θεοῦ, καὶ πτωχείᾳ ψυχῆς, καὶ πενίᾳ κακίας;

«Καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξε.» Τό, «διέρρηξε», τὴν ἀθρόαν τῆς ἁμαρτίας καθαίρεσιν καταδείκνυσιν.

«Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ.» Τὰ αὐτὰ δεύτερον εἶπεν ἐπὶ ταῖς εὐεργεσίαις αὐτοῦ. «Ὅτι συνέτριψε πύλας χαλκᾶς.» Τὴν μέχρις ᾅδου τοῦ Σωτῆρος κάθοδον σημαίνει, ἣν ποιησάμενος, ἀνεπέτασε τοῦ ᾅδου τὰς πύλας, πάλαι δεσμοῖς ἀρρήκτοις κεκλεισμένας πᾶσιν. Οὐ γὰρ ἦν παλινδρομῆσαι βουλομένοις· ἀλλ'

1. Ἰω. 4, 13. 2. Ἰω. 14, 6. 3. Α' Τιμ. 2, 4.

αὐτὸς εἴρηκε «τοῖς ἐν δεσμοῖς· Ἐξέλθατε, καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύφθητε.[1]»

«Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν.» Οὐ γὰρ ἦν ὁ διατρέφειν αὐτοὺς δυνάμενος λόγος. Πύλαι δὲ θανάτου αἱ φέρουσαι πρὸς θάνατον ἁμαρτίαι.

«Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως.» Ἐπὶ τοὺς ἁγίους ἀποστόλους μεταφέρει τὸν λόγον· αὐτοὶ γάρ εἰσιν οἱ τὰ μυστήρια τῆς Καινῆς Διαθήκης παραδόντες ἡμῖν.

«Ἔθετο ποταμοὺς εἰς ἔρημον.» Τὸ τῶν Ἰουδαίων εὔρυτον ἀδόκιμον γένος φησί. Τοὺς γὰρ πάλαι λιμῷ τηκομένους καὶ τῆς πνευματικῆς τροφῆς ἐνδεεῖς ἐν ἐκείνοις κατῴκισε τοῖς ποταμοῖς.

«Γῆν καρποφόρον εἰς ἅλμην.» Τὴν τῶν Ἰουδαίων φησὶ συναγωγήν. Ἦσαν γὰρ οἱ δαίμονες οἰκήτορες τῆς γηΐνης πολιτείας· ἐκαρποφόρει δὲ αὐτὴν ἡ ἀσέβεια. Ἐξήραναν δὲ αὐτὴν οἱ ἀπόστολοι τῷ ἅλατι τῆς διδασκαλίας, περὶ ὧν φησιν· «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς.[2]»

«Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων.» Τὸν ἐξ ἐθνῶν διασημαίνει λαόν· σύμμικτος γὰρ ἡ προφητεία, τῶν δύο λαῶν εἰσφέρουσα τὸ πρόσωπον· τοῦ μὲν τὴν ἀποβολήν, τοῦ δὲ τὴν εἰσβολήν.

«Καὶ συνεστήσαντο πόλεις κατοικεσίας.» Ἀγαθὴν δηλονότι καὶ οὐράνιον πολιτείαν.

«Καὶ ἔσπειρεν ἀγροὺς καὶ ἐφύτευσεν ἀμπελῶνας.» Νοήσεις τοὺς ἀγροὺς ἀπὸ τοῦ εἰρηκότος· «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ·[3]» τοὺς δὲ ἀμπελῶνας τὰς Ἐκκλησίας, καθὸ εἴρηται· «Αἱ ἄμπελοι ἐκύπρισαν, ἔδωκαν ὀσμήν.[4]»

«Καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνεν.» Κτήνη τοὺς ἀλογωτέρους τῆς Ἐκκλησίας φησί, κατὰ τὸ εἰρημένον· «Κτηνώδης ἐγενήθην παρὰ σοῦ·[5]» καί, «Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε.[6]»

«Καὶ ὠλιγώθησαν.» Οἱ ἐν τῷ προτέρῳ δηλονότι λαῷ.

«Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν.» Τοὺς Γραμματεῖς καὶ Φαρισαίους φησί. «Καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ, οὐχ ὁδῷ.» Πλανῶνται γάρ, φησίν, ἀγνοήσαντες τὸν εἰπόντα· «Ἐγώ εἰμι ἡ ὁδός.[7]»

«Καὶ ἐβοήθησε πένητι ἐν πτωχείᾳ.» Καὶ τίς ὁ πένης, ἢ ἐκεῖνος περὶ οὗ εἴρηται· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι;[8]» «Καὶ ἔθετο ὡς πρόβατα πατριάς.» Ἰδίας, φησίν, ἐλογίσατο τὰς ἐκ τῶν πατριῶν ἁπάντων συναγομένας ἀγέλας.

«Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται.» Καὶ τίνες οἱ εὐθεῖς, ἢ περὶ ὧν εἴρηται· «Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσιν.[9]»

---

1. Ἡσ. 49, 9. 2. Ματθ. 5, 13. 3. Ματθ. 13, 3. 4. Ἄσμ. 2, 13. 5. Ψαλμ. 72, 22. 6. Ψαλμ. 35, 7. 7. Ἰω. 14, 6. 8. Ματθ. 5, 3. 9. Ματθ. 13, 6.

«Καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;[1]»

Ὠδὴ ΨΑΛΜΟΥ τῷ Δαυίδ.
ΡΖ'.
Ὑπόθεσις.

Καὶ ἐν τούτῳ ἡ παρουσία τοῦ Κυρίου ἡ εἰς τὰ ἔθνη γενομένη κηρύττεται. Ἤδη δὲ πάντων τῶν στίχων τῶν ἐν τῷ παρόντι ψαλμῷ ἐν τοῖς ὀπίσω ψαλμοῖς ἑρμηνευομένων, περιττὸν ἂν εἴη πάλιν τοῖς αὐτοῖς χρήσασθαι εἰς ἑρμηνείαν τῶν προκειμένων.

«Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός.» Καὶ ἐν τούτῳ τῷ ψαλμῷ ἡ παρουσία τοῦ Κυρίου ἡ εἰς τὰ ἔθνη γενομένη κηρύττεται. Ἤδη δὲ τῶν στίχων τούτων τὴν ἑρμηνείαν ἐν τῷ νθ' ψαλμῷ τεθείκαμεν.

«Ἐξεγέρθητι, ἡ δόξα μου.» Δόξα δὲ αὐτοῦ ἡ θεωρητικὴ καὶ πρακτικὴ ἕξις, καθ' ἣν διάκειται πρὸς τὴν ἠθικὴν καὶ διακονητικὴν ἀρετήν.

«Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου.» Τοσοῦτόν σου τὸ ἔλεος, ὡς ὑπερβαίνειν ὕψος οὐράνιον, καὶ πανταχοῦ διάττουσιν αἱ τῆς σῆς ἀληθείας ἀκτῖνες, προφητῶν καὶ ἀποστόλων καὶ διδασκάλων ταῖς ἐκείνης ῥανίσιν ἀρδευόντων τὴν γῆν.

«Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός.» Ἀπ' ἀρχῆς μέχρι τῆς παρούσης λέξεως ὁ αὐτός ἐστι τῷ πεντηκοστῷ ἕκτῳ ψαλμῷ, καὶ ἀπὸ ταύτης μέχρι τέλους τῷ πεντηκοστῷ ἐνάτῳ. Καὶ εἴρηται τὰ εἰκότα.

«Ὑψωθήσομαι καὶ διαμεριῶ Σίχιμα.» Τὰ τῶν Ἰουδαίων ἔγκριτα καὶ ἐξαίρετα διαμερίζειν τοῖς ἔθνεσι καὶ εἰς κληρονομίαν καταμετρεῖν μετὰ χαρᾶς ὑπέσχετο. Ὡς γὰρ ἀγαθὸς πατὴρ χαίρει πολλοὺς υἱοὺς προσλαμβάνων καὶ κτώμενος. Συμβολικῶς δὲ ταῦτα καὶ δι' αἰνίγματος αἰνιττόμενος φθέγγεται. Ἐπὶ γὰρ τῇ κοιλάδι τῶν ἐθνῶν χωρίον τοῦτο τῆς Σιχὲμ καὶ Σίχιμα λεγομένης ἐτύγχανεν. Ὁ Ἰακώβ, ἐκ Μεσοποταμίας ἀναβὰς μετὰ τῶν τέκνων, ᾤκησεν ἔνθα τὴν Δεῖνα θυγατέρα τοῦ Ἰακὼβ Ἐμὼρ ὁ υἱὸς τοῦ Σιχὲμ ἐρασθεὶς ἥρπασε καὶ ἔφθειρεν. Οἱ γὰρ τοῦ Ἰακὼβ παῖδες αὐτὸν μετὰ παντὸς λαοῦ κατέσφαξαν ἀπαντήσαντες. Οὕτω τὰ Σίχιμα, τῶν σκηνῶν κοιλάς, κτίσματα τοῦ πατριάρχου γέγονε. Τοῦτο τοίνυν τὸ χωρίον μερίζων Ἰακὼβ τοῖς παισί, τὸν κλῆρον ἐξαίρετον Ἰωσὴφ ἀπένειμεν· ἐπειδὴ τοῖς ἀδελφοῖς νέος ὢν οὐκ ἐκοινώνει τοῦ δράματος. Καὶ τούτου χάριν καταμετρεῖν καὶ μερίζειν ἐπαγγέλλεται· ἵνα τὴν ἐξαίρετον τοῦ νέου Ἰωσὴφ τοῦ Χριστοῦ κληρονομίαν μερίζεσθαι συμβολικῶς νοήσης τοῖς ἔθνεσιν.

---

1. Ῥωμ. 8, 33.

Εἰς τὸ τέλος, ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ΡΗ.

Ὑπόθεσις.

Ὁ παρὼν ψαλμὸς τὰ πάθη τοῦ Χριστοῦ κατασημαίνει, τάς τε ἐσομένας τιμωρίας κατά τε τοῦ Ἰούδα καὶ αὐτοῦ τοῦ Ἰουδαίων λαοῦ. Ὅσα δὲ εὐκτικῶς λέλεκται ἐν τῷ ψαλμῷ, ἰστέον ὅτι προφητικῶς πάντα εἴρηται. Οἷον ὅταν λέγει· «Διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ», ἀντὶ τοῦ, «στήσεται», λέγει. Οὐ γὰρ εὔχεται τοῦτο γενέσθαι· ἀλλ' ὃ μέλει συμβῆναι διὰ τὴν ἐκείνου κακίαν τοῦτο προαγορεύει· καὶ ἐπὶ τῶν ἄλλων δὲ ὡσαύτως. Ἔξοιεν, φησί, καὶ οὗτοι τοὺς διαβάλλοντας, καὶ μὴ ἀποσταῖεν αὐτῶν. Εἰ δὲ κρίνοιντο, πρὸς αὐτοὺς κατακριθεῖεν. Ἀλλὰ καὶ εἰ ἐπεκαλέσαντό σε, φησίν, ἐν τῷ καιρῷ τῆς ἀνάγκης, εἰς ἁμαρτίαν αὐτοῖς λογισθείη, μνήμης γενομένης ὧν ἥμαρτον. Σύντεμε δὲ τὰς ἡμέρας αὐτῶν, ἵνα, ζώντων καὶ ὁρώντων αὐτῶν, τὴν ἀξίαν, ἣν οὐδὲ ὄντως ὠνήσαντο, ἕτερος ἀφαρπάσῃ. Ἔπειτα δὲ καὶ αὐτοὺς ἄνελε, ὡς διαβῆναι τὴν συμφορὰν εἰς τοὺς ἐξ ἐκείνων· ὥστε ὀρφανωθῆναι μὲν τοὺς υἱοὺς αὐτῶν, χηρείᾳ δὲ ἐκδοθῆναι τὴν γυναῖκα· ὥστε τοὺς υἱοὺς βιαζομένους καὶ συρομένους ὑπὲρ πατρῴων παρανομημάτων δίκας ὑφέξειν.

«Ὁ Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς.». Ὅσον αἱ Ἐκκλησίαι Χριστοῦ συνεστῶσιν αἱ ἀνατέλλουσαι πανταχοῦ, αἰνεῖ ὁ Θεὸς ἐν αὐταῖς τὸν Υἱόν. Λέγει οὖν ὁ Χριστὸς πρὸς τὸν Πατέρα· Εἰ καὶ προδιδούς με ὁ Ἰούδας, δόξει ἐμποδίζειν τὸν αἶνόν μου· οὕτως δὲ αἴνεσόν με, μαρτυρῶν μου τῇ θεότητι, ἣν μὴ πιστεύσας ἐν ἐμοὶ Ἰούδας, προδέδωκέ με. «Ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.» «Ἁμαρτωλοῦ» τοῦ διαβόλου· αὐτὸς γὰρ ἁμαρτωλὸς πρὸς ἀλήθειαν· «δολίου» τοῦ Ἰούδα· ἄμφω γὰρ κατὰ τοῦ Χριστοῦ ἐλάλησαν.

«Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με... καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν», κ.τ.λ. Τῶν λόγων οἱ μέν εἰσιν ἀγάπης, οἱ δὲ μίσους, οἱ δὲ οὐδ' ἑτέρως ἔχοντες. Ἐκολάκευε γὰρ ὡς διδάσκαλον, καὶ τῷ δόλῳ ὡς ἐδόκει ἠγωνίζετο εἰς προδοσίαν τοῦ διδασκάλου.

«Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν.» Ἁμαρτωλὸς μὲν αὐτὸς ὁ τῆς ἁμαρτίας εὑρετὴς ὁ Σατανᾶς· τὸ δέ, «κατάστησον», ἀντὶ τοῦ, μέλλει καθίστασθαι. «Ἐπ' αὐτὸν» δὲ τίνα ἢ τὸν προδότην Ἰούδαν; «Καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.» Καὶ ἐν τῷ Ζαχαρίᾳ δέ φησι· «Καὶ ἔδειξέ μοι Κύριος Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα πρὸ προσώπου ἀγγέλου Κυρίου, καὶ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ.[1]» Οὐκ ἀντίκειται δὲ τῷ Ἰούδᾳ.

«Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος.» Ἐν τῷ μέλ-

1. Ζαχ. 3, 1.

λοντι, φησί, δικαστηρίῳ οὐδένα ἕξει λόγον ἀπολογίας. «Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.» Εἰσί τινες ὧν αὐτὴ ἡ προσευχὴ εἰς ἁμαρτίαν γίνεται, ὡς ἐθνῶν προσευχομένων εἰδώλοις, ἢ τῇ κτίσει· καὶ Ἰουδαίων οὐ διὰ Ἰησοῦ Χριστοῦ προσευχομένων τῷ Θεῷ· καὶ αἱρετικῶν εὐχομένων Θεῷ οὐκ ὄντι· καὶ προσευχομένων δὲ μετὰ ὀργῆς καὶ διὰ λογισμῶν, ἢ διψυχίας, ἡ προσευχὴ γίνεται εἰς ἁμαρτίαν.

«Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι.» Εὐθέως γὰρ μετὰ τὴν προδοσίαν ἀγχόνῃ ἑαυτὸν μεταχειρίσας ἀπηλλάγη, καὶ οὐκ ἐφάνη. «Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.» Περὶ τοῦ Ματθίου φησίν· αὐτὸς γὰρ ἐλογίσθη εἰς δικαιοσύνην εἰς τὸν κλῆρον τῶν ἀποστόλων.

«Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί.» Υἱοὶ οἱ λογισμοὶ αὐτοῦ· ὀρφανοὶ γὰρ ἐγένοντο ἀπὸ τῆς χάριτος τοῦ Χριστοῦ. Γυνὴ δὲ ἡ ψυχὴ αὐτοῦ· ἐχήρευσε γὰρ καὶ αὐτὴ ἐκπεσοῦσα ἀπὸ τοῦ Χριστοῦ διὰ τῆς παρανομίας. «Σαλευόμενοι μεταναστήσωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν.» Οἱ γὰρ λογισμοὶ αὐτοῦ, οὓς ἔφαμεν εἶναι υἱούς, μετανάσται γενόμενοι ἀπὸ τοῦ Χριστοῦ, εἰς τὴν φιλαργυρίαν χεῖρα ἐξέτειναν εἰς τὸ ἀργύριον, ὡς ἐνδεεῖς καὶ προσαῖται.

«Ἀναμνησθείη ἡ ἁμαρτία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου.» Αὐτοῦ τοῦ λαοῦ· συνάπτει γὰρ τῷ προδότῃ τὸν παράνομον λαόν. Ἀνομίαν δὲ τῶν πατέρων λέγει τὸ ἀποκτεῖναι τοὺς προφήτας, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου· ὅτι πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἀπὸ τοῦ Ἄβελ ἕως Ζαχαρίου τοῦ προφήτου ἐκδικηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης.[1] «Καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.» Μητέρα τοῦ δυσσεβοῦς λαοῦ τὴν πονηρὰν ἐκείνην νοήσεις συναγωγήν, τὴν πολλάκις παραπικράνασαν τὸν Θεόν.

«Γενηθήτω ἐναντίον Κυρίου διαπαντός· καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.» Ὅσα, φησίν, ἐτόλμησαν ἀεὶ θεώμενος ὁ Θεὸς οὐδεμιᾶς αὐτοῦ ἀξιώσει φειδοῦς· ὡς περὶ πάντων δὲ τῶν ἠπιστηκότων. Καὶ οὐ μόνον λέγων Ἰούδαν, «τὸ μνημόσυνον αὐτῶν», ἔφη πληθυντικῶς. Λέγοις δ' ἂν καὶ ἄλλως πατέρας Ἰούδα τοὺς κατὰ προδοσίαν αὐτὸν γεννήσαντας. Οὗτοι δ' ἂν εἶεν οἱ διὰ τῶν ἀργυρίων αὐτὸν παρορμήσαντες. Καὶ πρῶτος ὁ ἐμβαλὼν τὴν καρδίαν αὐτοῦ Σατανᾶς, καὶ οἱ ἔχοντες σοφίαν τούτου τοῦ αἰῶνος ἄρχοντες, περὶ ὧν ὁ Παῦλός φησιν· «Εἰ γὰρ ἔγνωσαν, οὐ Κύριον τῆς δόξης ἐσταύρωσαν.[2]» «Καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτοῦ.» Τὸ μνημόσυνον αὐτοῦ τοῦ Ἰούδα φησίν· ἢ καὶ ἄλλως, τῶν ἀρχόντων ἐκείνων κατὰ Χριστοῦ συστάντων. Οὐδὲ γὰρ σπέρμα αὐτῶν ἔμεινεν εἰς μνημόσυνον αὐτῶν.

«Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος.» Τὸ ἔλεος, φησίν, οὐκ ἠθέλησε δέξασθαι ὃ δέδωκεν ὁ Πατὴρ τοῖς ἀνθρώποις, καὶ πρὸς τοῖς

1. Πρβλ. Ματθ. 23, 35. 2. Α' Κορ. 2, 8.

αὐτοῖς τοῖς ἀπολωλόσι προβάτοις τοῦ Ἰσραήλ. Τὸ γάρ, ποιῆσαι, ἀντὶ τοῦ, δέξασθαι, τέθεικεν.

«Καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχόν.» Αὐτόν φησι τὸν Κύριον, «ὃς ἐπτώχευσε πλούσιος ὤν, ἵν' ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν.[3]» «Καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.» Ἀντὶ τοῦ, λυπούμενον· ἐλυπεῖτο γὰρ ὁρῶν αὐτῶν τὴν ἀπώλειαν. Τοῦτον οὖν τὸν δι' αὐτοὺς λυπούμενον ἐδίωκον θανατῶσαι.

«Καὶ ἠγάπησε κατάραν....... καὶ ἐνεδύσατο κατάραν ὡσεὶ ἱμάτιον.» Ἐπειδή, φησίν, ἀφέντες τὸ εὐλογεῖν ἐμέ, καθ' ἑκάστην ἡμέραν καταρῶνται· τοῦτο γὰρ μέχρι τῆς σήμερον Ἰουδαίων παῖδες ποιοῦσιν· τούτου χάριν πάντα αὐτοῖς τὰ προλελεγμένα γενήσεται. «Καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ.» Οὐ γὰρ ἔξωθεν μόνον, ἀλλὰ καὶ ἔνδοθεν περίκεινται τὰ κακὰ περικλύζοντα. «Καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.» Τοῦτο γὰρ ἔχει μόνιμον τὴν ὑγρότητα. Φορὰν δέ φησι κακῶν, τοῦ μὲν ὕδατος τὸ σφοδρὸν δηλοῦντος, τοῦ δὲ ἐλαίου τὸ μόνιμον. Ὑφ' ὧν, φησί, καὶ ὡς ἐν ἐσθῆτι καλυπτέσθω, καὶ ὡς ζωστῆρι σφιγγέσθω.

«Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων καὶ τῶν λαλούντων πονηρὰ τῆς ψυχῆς μου.» Τούτους τρυγήσουσι τοὺς καρποὺς οἱ τὸ πρὸς ἐμὲ μῖσος ἀναδεξάμενοι, καὶ ὁ τούτοις ὑπουργήσας προδότης. Ἐπειδὴ γὰρ ἀντίθετον αὐτὸν καὶ παράνομον ἐκάλουν, εἰκότως εἶπε· «Τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου.»

«Καὶ σύ, Κύριε, Κύριε, ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου.» Καὶ ταῦτα ἀνθρωπίνως εἴρηκεν ὁ Δεσπότης Χριστός. Πάντα γὰρ τὰ ἀνθρώπινα πλὴν ἁμαρτίας πεπλήρωκεν. Ἐτέχθη γὰρ κατὰ νόμον φύσεως. Τὸ μὲν γὰρ ἐκ γυναικός, τῆς ἀνθρωπίνης φύσεως· ὑπὲρ ταύτην δέ, ἐκ Παρθένου. Ἐδέξατο σπάργανα καὶ περιτομήν, καὶ τὴν ἐκ γάλακτος τροφήν· καὶ θυσίας ἐξήνεγκεν, ἐνήστευσε, καὶ ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἐκοπίασεν· οὕτω καὶ προσευχόμενος ἐν τοῖς ἁγίοις Εὐαγγελίοις διηνεκῶς ἀναγέγραπται. Καὶ ἐνταῦθα ἀνθρωπίνως τὴν θείαν ἐπικαλεῖται βοήθειαν.

«Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.» Τοῦτο καὶ ὑπ' αὐτοῦ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις εὑρίσκομεν εἰρημένον. Μέλλων γὰρ προσιέναι τῷ πάθει εἶπε· «Νῦν ἡ ψυχή μου τετάρακται. Καὶ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. Ἀββά, διὰ τοῦτο ἐλήλυθα εἰς τὴν ὥραν ταύτην.[2]»

«Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην.» Σκιᾷ κλιθείσῃ παραπλησίως ἐδεξάμην τοῦ βίου τὸ τέλος· ἀλλὰ καὶ δίκην περιφερομένων ὑπ' ἀνέμων ἀκρίδων διετέλεσα οὐ πόλιν ἔχων, οὐ κώμην, οὐκ οἰκίαν, ἄλλοτε δὲ ἀλλαχοῦ καὶ εἰς ὄρη μεταβαίνων, ἔσθ' ὅτε καὶ τρέχων εἰς ἔρημον.

---

1. Β' Κορ. 8, 9. 2. Ἰω. 12, 27.

«Εἴδοσάν με καὶ ἐσάλευσαν κεφαλὰς αὐτῶν». Τοῦτό φησι διὰ τὸ ἐπὶ τῷ σταυρῷ ὄντι αὐτῷ κινεῖν τὰς κεφαλάς, καὶ λέγειν· «Ὁ καταλύων τὸν ναόν, σῶσον σεαυτόν.[1]»

«Καὶ γνώτωσαν, ὅτι ἡ χείρ σου αὕτη.» Χεῖρας ἐνταῦθα τὴν πρᾶξίν φησιν, ἣν εἰργάσατο ἀναστήσας ἑαυτὸν ἐκ νεκρῶν.

«Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις, οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν.» Κατῃσχύνθησαν γὰρ ἅπαντες, οὐκ ὄντος αὐτοῖς ἱερέως, οὐδὲ οὔσης θυσίας, οὔτε ἱερατείας, οὔτε λογίου, κατὰ τὴν τοῦ προφήτου φωνήν. «Ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.» Οὐδὲ τοῦτο ἡμᾶς τὸ ῥῆμα λαβεῖν εἰς ἑτέραν ὑπόθεσιν ἀναγκάσει· Παύλου λέγοντος· «Ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών.[2]» καὶ Ἡσαΐου· «Οὕτως λέγει Κύριος ὁ πλάσας με ἐν κοιλίᾳ δοῦλον ἑαυτῷ·[3]» καὶ αὐτὸς δέ φησιν ἐν Εὐαγγελίοις, ὡς «Ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι.[4]»

«Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν.» Ποία γὰρ οὐκ ἔστιν Ἰουδαίοις αἰσχύνη; Τὰ μὲν ἅγια τὰ ἑαυτῶν ὁρῶσιν ἐκ βάθρων ἠφανισμένα· τοῦτό τε τοῦ παρ' αὐτῶν ἀτιμασθέντος καὶ σταυρωθέντος προσκυνούμενον μνῆμα· καὶ τὰς Ἐκκλησίας αὐτοῦ πανταχοῦ τοσοῦτον ἐπιδιδούσας εἴς τε πλῆθος καὶ δόξαν.

«Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου.» Ἡ ἐξομολόγησις τὴν εὐχαριστίαν σημαίνει, ἣν ποιεῖται διὰ τῶν ἐθνῶν ὁ Υἱός. «Καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.» Διὰ γὰρ τῆς Ἐκκλησίας αἰνεῖ τὸν Πατέρα.

ΨΑΛΜΟΣ ΡΘ'.

«Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου.» Τὴν κατὰ σάρκα γέννησιν τοῦ Κυρίου διὰ τῶν παρόντων κατασημαίνει, καὶ τὸν εὐαγγελικὸν αὐτοῦ λόγον, τὸν πάντων κατακυριεύσαντα τῶν ἐθνῶν, καὶ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον, ἧς κατάρχεται ὁ ψαλμὸς λέγων· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου.»

«Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.» Καὶ τίνες ἂν εἶεν οἱ ἐχθροὶ ὁ Ἀπόστολος δηλοῖ βοῶν· «Ὅταν καταργήσῃ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας, ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος.[5]»

«Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.» Τὸν εὐαγγελικόν φησι λόγον τὸν ἀπεσταλμένον, ὃς καὶ πάντων τῶν ἐχθρῶν ἐκυρίευσεν.

«Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου.» Ἡ τὸν καιρὸν τῆς κρίσεως διὰ τούτων σημαίνει, ἐν ᾧ δυνάμει θείᾳ πάντας κρινεῖ

1. Ματθ. 27, 40. 2. Φιλιπ. 2, 7. 3. Ἡσ. 49, 5. 4. Ματθ. 20, 28. 5. Α' Κορ. 15, 26.

ἐλθὼν μετὰ τῶν τῶν ἁγίων ἀγγέλων αὐτοῦ· ἢ τὸν καιρὸν τῆς γεννήσεως αὐτοῦ, ἥτις καὶ ἡμέρα δυνάμεως προσαγορεύεται. Μετὰ σοῦ γὰρ ἔσται ἡ ἀρχή. Κατεξουσιάζει γὰρ τῶν ὅλων, εἰ καὶ γέγονεν ἄνθρωπος. «Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου.» Τὸ δέ, «Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου», οὐδὲν ἕτερον ἢ τὰς χορίας ἐκείνας τῶν ἁγίων ἀγγέλων ἡμῖν κατασημαίνει, τὰς παρὰ τὴν νύκτα ἐκείνην καθ' ἣν ἐγεννήθη ὁ Χριστὸς βοῶσας· «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη.[1]» «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.» Ὅρα πῶς οἰκειοῦται τὴν κατὰ σάρκα γέννησιν τοῦ Μονογενοῦς ὁ Πατήρ. Φησὶ γὰρ ὁ Πατὴρ πρὸς τὸν Υἱόν. Πρὸ γὰρ τοῦ ὁρωμένου κόσμου τούτου καὶ διαυγοῦς φωτὸς γεννήσεως, ἐγὼ γεγέννηκά σε. Οὐχ ὅτι γαστέρα ἔχει ὁ Θεός· ἀλλ' ἐπειδὴ τὰ γνήσια, καὶ οὐ νόθα, ἐκ γαστρὸς πρωτοτοκίων πεφύκασιν.

«Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται.» Ὁ ὅρκος τοῦ Θεοῦ, ὁ λόγος αὐτοῦ ἐστι, πληροφορῶν τοὺς ἀκούοντας, καὶ πίστιν ἑκάστῳ παρέχων, ὅτι ὃ ἐπήγγελται καὶ λαλεῖ, πάντως γενήσεται. Οὐ γὰρ ὡς ἄνθρωπος ὀμνύει Θεός· ἀλλ' ἡμῖν ὁ λόγος αὐτοῦ ἀντὶ ὅρκου πρὸς ἀλήθειαν γίνεται, ὡς τοῦ ἀμεταμελήτου παντὸς ἐσομένου, κατὰ τὴν ἐπαγγελίαν ὅρκου τυγχάνοντος. «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.» Ὅτι οὐ δι' ἐλαίου εἰς ἱερωσύνην ἐχρίσθη ὁ Μελχισεδέκ, ὡς Ἀαρών· καὶ ὅτι οὐ τὰς δι' αἱμάτων προσήγαγε θυσίας· καὶ ὅτι τῶν ἐθνῶν ἦν ἀρχιερεύς, καὶ ὅτι δι' ἄρτου καὶ οἴνου ηὐλόγησε τὸν Ἀβραάμ.

«Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.» Ἡμέραν ὀργῆς τὸν τῆς κρίσεως καιρόν φησιν, ἐν ᾗ τοὺς πάλαι βασιλεύσαντας ἐξ ἀπάτης τῶν δαιμόνων ἀνθρώπους συνθραύσει, εἰς τὴν ἄβυσσον καθείρξας αὐτούς.

«Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα.» Τὰ ἔθνη, φησί, τῶν ἀκαθάρτων δαιμόνων ἐν τῷ τῆς κρίσεως καιρῷ κολάζων, πτωμάτων ἀποδείξει πλήρη, τουτέστι τῆς εἰς τὰ κατώτερα μέρη τῆς γῆς τιμωρίας. «Συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.» Ὅμοιον τῷ εἰρημένῳ παρ' αὐτοῦ διὰ Ἡσαΐου· «Καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς τὴν γῆν.[2]»

«Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται.» Χείμαρρον ἡ Γραφὴ τὸν πειρασμόν φησιν. Ὁδὸν δὲ τὴν κατὰ τὴν γῆν αὐτοῦ πορείαν σημαίνει, ἐν ᾗ τὸ πάθος ὑπέμεινεν ὃ καὶ διὰ τοῦ χειμάρρου κατέρχεται. «Διὰ τοῦτο ὑψώσει κεφαλήν.» Διὰ τοῦτο, ποῖον ἢ τὸ παθεῖν αὐτὸν ἐν σαρκί; Ὅμοιον δὲ τὸ εἰρημένον, τό, «Ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου.[3]»

---

1. Λουκ. 2, 14. 2. Πρβλ. Ἡσ. 34, 3, 7. 3. Φιλιπ. 2, 8.

ΨΑΛΜΟΣ ΡΙ'.

Ἀλληλούϊα.

«Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.» Ἐκ προσώπου τῶν ἀποστόλων ὁ παρὼν εἰσφέρεται ψαλμός, διηγουμένων ὅσα τοῦ Σωτῆρος καὶ οἷα γέγονε τῆς οἰκονομίας τὰ ἔργα. Διδάσκουσι δὲ ταῦτα καὶ τὸν νέον λαόν, ἅμα εὐχαριστοῦντες ἐπὶ τῇ αὐτῶν σωτηρίᾳ. διὸ καὶ «Ἀλληλούϊα» ἐπιγέγραπται. «Ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ.» Βουλὴν εὐθέων εἶπε τὸν τῆς νέας συναγωγῆς λαὸν πρὸς τὴν τῆς παλαιᾶς διαστολήν. Ἐκείνη γὰρ οὐκ ἦν εὐθεῖα, ἅτε ἀεὶ πλανωμένη τῇ καρδίᾳ.

«Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.» Ἐν τῇ τῶν εὐθέων συναγωγῇ πάντα τὰ θελήματα τοῦ Θεοῦ εἰσιν ἐξεζητημένα. Οὐ γάρ ἐστι τῶν παρ' αὐτοῦ δεδομένων ἐντολῶν ὃ μὴ ἐκζητεῖ καὶ κατορθοῖ ἡ τῶν εὐθέων συναγωγή, τοῦ αὐτοῦ θέλημα διαπαντὸς σπουδάζουσα ἐπιτελεῖν.

«Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ.» Ἔργα φησὶν ἅπερ ἐν τῇ οἰκονομίᾳ διεπράξατο. Ὑμνείσθω ἅτε μεγαλοπρεπῆ ὑπάρχοντα. «Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.» Δικαιοσύνην τὸν εὐαγγελικὸν λόγον φησίν· ὅτι δὴ ἐπ' ἴσης πᾶσιν ἀνθρώποις τὴν σωτηρίαν προὔθηκεν.

«Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος.» Πάλαι μὲν ἐπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν τῷ τῆς οἰκονομίας καιρῷ ποιήσειν θαυμάσια· τὰ αὐτὰ ἐκεῖνα ἐκπληροῦν ἠθέλησε· ποῖα δὲ ἦν ἃ ἐπηγγείλατο, ἤ, «Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν [1]», καὶ τὰ λοιπὰ τῶν σημείων; οὐ μὴν ἀλλὰ καὶ τῶν ἐθνῶν ἁπάντων ἡ κλῆσις, ἣν καὶ λόγῳ καὶ ἔργῳ ἐπετέλεσε. «Τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν.» Τὸν νοητὸν ἄρτον φησί, τὸν ἐξ οὐρανῶν καταβάντα.

«Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.» Διαθήκης τῆς πρὸς τὸν Ἀβραάμ· ὅτι «Εὐλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη.[2]» «Ἰσχὺν ἔργων αὐτοῦ.» Ὁ ἀποστολικός, φησί, χορὸς τῷ κληθέντι πρὸς πίστιν λαῷ τὴν ἰσχὺν τῶν ἔργων ἀνήγγειλε τοῦ Χριστοῦ· ἀντὶ τοῦ· Αὐτὰ τὰ ἔργα ἃ ἀεὶ ἐργάζεται ἐν τῇ ἰδίᾳ ἰσχύϊ.

Ἀλληλούϊα. Τῆς ἐπιστροφῆς Ἀγγαίου καὶ Ζαχαρίου.

ΨΑΛΜΟΣ ΡΙΑ'.

«Μακάριος ὁ ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.» Ἐν τούτῳ διδάσκεται ὁ ἀποστολικὸς χορός, ὡς ἡ τῶν ἐντολῶν ἐκπλήρωσις, μακαρίους τοὺς ἐργαζομένους ἀποφαίνουσα, ἀγαθὰς προσδοκίας εἰς τὸν μέλλοντα αἰῶνα παρέχεται.

1. Ἡσ. 35, 5. 2. Γεν. 18, 18.

«Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ.» Σπέρμα τὰς ἀγαθὰς πράξεις φησίν, αἳ καὶ δύναμιν ἕξουσι πνευματικὴν εἰς ἐκείνην τὴν πραέων γῆν, εἰς τὸ ἀπολαβεῖν αὐτοὺς ὧν εἰργάσαντο τὰς ἀμοιβάς.

«Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ.» Καὶ ἡ δόξα καὶ ὁ πλοῦτος μὴ τῶν παρερχομένων λογιζέσθω· οὐδὲν γὰρ ὅμοιον παρὰ τοῖς ἁγίοις εὑρίσκεται.

«Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι.» Διὰ τῆς γνώσεως καὶ τῆς διδασκαλίας. Τίς δέ, ἢ ὁ ἀποστολικὸς χορὸς ὁ τὴν ἀγνωσίαν ἐξελάσας τῶν ἐθνῶν διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος;

«Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει.» Οὐ δεῖ γὰρ ἁπλῶς καὶ ἀκρίτως πᾶσι προθεῖναι τῆς μυσταγωγίας τὸν λόγον. Καὶ τοῦτο ἦν ὃ εἶπεν αὐτοῖς ὁ Κύριος· «Μὴ βάλετε τὰ ἅγια τοῖς κυσίν.[1]»

«Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.» Οὐδὲν γὰρ πρὸς τοὺς ἁγίους τῶν κολαζομένων ὁ φόβος.

«Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι.» Πένητας κἀνταῦθα τοὺς ἐνδεεῖς νοήσεις τοῦ θείου λόγου, τὰ ἔθνη δηλονότι· οἳ γεωργῶν δίκην τὸν νοητὸν κατέσπειραν λόγον. Οὐδὲν γὰρ κωλύει καὶ ἱστορικῶς αὐτὸ δέξασθαι. «Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα», καὶ τὰ ἑξῆς. Τοῦ διανείμαντος δηλονότι τὸν εὐαγγελικὸν λόγον.

«Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται.» Ἁμαρτωλὸν τὸν διάβολόν φησιν, ὃς καὶ σῳζομένων τῶν ἐθνῶν ἀγανακτήσει, ἅτε τὴν πάντων διψήσας ἀπώλειαν.

ΨΑΛΜΟΣ ΡΙΒ′.

Ἀλληλούϊα.

Ὑπόθεσις.

Ἐν τούτῳ διδάσκεται ὁ νέος λαὸς ἀδιάλειπτον ὕμνον προσφέρειν τῷ λυτρωσαμένῳ· ἅμα δὲ καὶ τῶν ἐθνῶν ἁπάντων κατασημαίνει τὴν κλῆσιν.

«Αἰνεῖτε, παῖδες, τὸν Κύριον, αἰνεῖτε τὸ ὄνομα τοῦ Κυρίου.» Διδάσκεται ὁ νέος λαός, ὡς, εἰ καὶ ἀνελήφθη ὁ Κύριος ἡμῶν, καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Πατρός, ἀλλ' οὖν καὶ οὕτως πλήρης ἐστὶ πᾶσα ἡ γῆ, καὶ ἀπολαύει τῆς ἐπισκοπῆς αὐτοῦ.

«Ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν.» Τὸν τῶν ἐθνῶν δηλονότι λαόν.

«Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ.» Στεῖρα μὲν ἡ τῶν ἐθνῶν πληθύς, ἥτις καὶ οἶκος γέγονε πνευματικός, ἅτε τὸν Κύριον ἔνοικον ἔχουσα. Γέγονε δὲ καὶ πολλῶν τέκνων μήτηρ μετ' εὐφροσύνης. Ἐσώθη γὰρ αὐτῆς τὰ τέκνα διὰ τῆς πίστεως τῆς εἰς Χριστόν. Ἔχει δέ τινα καὶ ἀντιδιαστολὴν πρὸς τὴν συναγωγήν, ὅτι ἐκείνη οὐκ εὐφράνθη ἐπὶ τοῖς τέκνοις, ἅτε ἀπωλείᾳ παραδεδομένοις.

1. Ματθ. 7, 6.

ΨΑΛΜΟΣ ΡΙΓ΄.

Ἀλληλούϊα.

Ὑπόθεσις.

Καὶ ἐν τούτῳ ἡ κλῆσις τῶν ἐθνῶν κατασημαίνεται. Διδασκαλία τε πρὸς τοῦτο αὐτοῖς τοῖς σῳζομένοις ἐπὶ τῷ καὶ τὴν Παλαιὰν εἰδέναι Διαθήκην, οὖσαν Θεοῦ, καὶ τὴν προτέραν σωτηρίαν τοῦ ἐκ περιτομῆς λαοῦ, διὰ τοῦ Κυρίου γεγενημένην.

«Ἐν ἐξόδῳ Ἰσραήλ........ Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ.» Ὅτε, φησίν, ἀπηλλάγη τῆς τῶν Αἰγυπτίων δουλείας· τότε ἡ Ἰουδαία ἁγίασμα αὐτοῦ γέγονεν. Οὐκ αὐτοῦ δὲ Ἰσραὴλ ἦρξε μόνου, ἀλλὰ νῦν, φησίν, εἰς πάντα τὰ ἔθνη ἡ χάρις δίδοται.

«Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί.» Τοῦ Θεοῦ τὰς ἐπιφανείας ἐν αὐτοῖς ποιουμένου, οἱονεὶ ἐσκίρτων ἐπὶ τῇ τοῦ Ἰσραὴλ σωτηρίᾳ.

«Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;» Ἐπειδὴ ἄλογα ἦν ἐκεῖνα καὶ ἄψυχα, αὐτὸς ποιεῖται ὑπὲρ αὐτῶν τὴν ἀπόκρισιν.

«Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ.» Τοῦτο ἕκαστον, φησί, διὰ τὸν ἐπιφανέντα γεγένηται Κύριον. Ταύτην αἰτίαν τῆς γῆς ὁ κλόνος καὶ ἡ τῆς θαλάσσης διαίρεσις. Αὐτὸς γὰρ καὶ τὴν ἄγονον πέτραν τὴν πάσης ἰκμάδος ἐστερημένην, καὶ μηδὲ τομῆς διὰ τὸ στερέμνιον ἀνεχομένην, τῇ προσχύσει τῶν ὑδάτων ἐπέκλυσε, πηγὰς ἐκεῖθεν ὑδάτων ἀφθόνους ἀναδοθῆναι κελεύσας. Οὐδὲν οὖν, φησί, θαυμαστὸν γεγένηται· προσέταξε γὰρ ὁ ποιητής, καὶ διηρέθη τὸ πέλαγος, καὶ ἡ ἀκρότομος ἔβλυσε πέτρα, καὶ ὁ οὐρανὸς ἐχορήγησε μάννα, οἱ ἄνεμοι τὴν ὀρτυγομήτραν συνήθροισαν· καὶ τἄλλα πάντα αὐτοῦ γεγένηται νεύσαντος.

«Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν.» Ἔοικεν αἰνίττεσθαι τοῦ ἐκ περιτομῆς λαοῦ τὴν ἀπόπτωσιν· εὐχήν τε τούτοις παραδιδόναι πρὸς ἐξομολόγησιν, ὡς μηκέτι τὴν ἐπισκοποῦσαν θείαν ἔχουσι δύναμιν. Διδάσκει δὴ λέγειν ὡς ἡμεῖς μὲν ἀνάξιοι τῆς χάριτος ἧς ἅπαν ἔθνος ἠξίωται. Πλὴν διὰ τὸ σὸν ὄνομα ποίησον τὸ ἐξ ἀρχῆς ἐπικληθὲν ἐφ' ἡμᾶς. Ἀλλ' οὐ δικαιοσύνης διδοὺς ἀμοιβάς, Θεὸς ὢν ἀληθινός, ἀλλ' οὐχ οἷα τὰ εἴδωλα· δι' ὅπερ ἐπήγαγεν.

«Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.» Τινῶν τῶν ἀντιγράφων ἀρχὴν ἔχει ταῦτα ἑτέρου ψαλμοῦ, ὡς εἶναι τοῦτον ἑκατοστὸν τεσσαρεσκαιδέκατον. Ἡμεῖς δέ, τῷ Ἑβραϊκῷ παρεπόμενοι μέρει, εἶναι ταῦτα τιθέμεθα τοῦ ἑκατοστοῦ τρισκαιδεκάτου. Παιδεύονται γὰρ οἱ παῖδες οἷς ἔλεγεν· «Αἰνεῖτε, παῖδες, Κύριον·[1]» τουτέστιν ὁ νέος λαός. Ποῖον Κύριον προσῆκόν ἐστιν αἰνεῖν; Αὐτὸν δὴ τὸν ἐπὶ τῶν ἐξ Αἰγύπτου τοσαῦτα

1. Ψαλμ. 112, 1.

τερατουργήσαντα, μετὰ τοῦ μαθεῖν ὁποῖοί τινες ἦσαν οἱ πάλαι τούτων θεοί. Τὰ γὰρ εἴδωλα οὐ μόνον οὐδὲν εἶχον ὅμοιον τῷ παραδοξοποιοῦντι Θεῷ, ἀλλ' οὐδὲ τοῖς τῶν ἐμψύχων ἐσχάτοις, οἷς αἰσθήσεως μετέχει. Κἀκεῖνα μὲν ἔργα Θεοῦ, ταῦτα δὲ τέχνης ἀνθρώπων. Διδάσκονται δὲ λέγειν· «Ὅμοιοι αὐτοῖς γένοιντο.» Οὐκ ἀνθρώποις ἐπαρώμενοι. Μανθάνομεν δὲ οἷον τὸ τῆς εἰδωλολατρείας τέλος ἀπόκειται. Οἱ γὰρ ἀναισθήτως ἐπανέχοντες οὐδὲν αὐτῶν κατὰ γνώμην διοίσουσιν. Τοσαύτην βλάβην αὐτοῖς τῆς ἐμφωλευούσης δαιμονικῆς ἐνεργείας ποιούσης.

«Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά.» Ἔσονται οὕτως ἀπολλύμενοι, ὡς τὰ χρήματα καὶ οἱ θησαυρίζοντες αὐτά.

«Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον.» Ταῦτα τὰ ἔθνη φασίν, ὅτι, ὥσπερ πάλαι πιστεύσαντα τὸν Ἰσραὴλ ἔσωσεν, οὕτω καὶ νῦν τὰ ἔθνη σώσει. «Οἱ γὰρ φοβούμενοι τὸν Κύριον», τὰ ἔθνη εἶεν ἄν. Ὑπεξαιρουμένου γὰρ τοῦ οἴκου Ἰσραήλ, τουτέστι παντὸς τοῦ πλήθους, καὶ τοῦ οἴκου Ἀαρὼν καὶ τοῦ οἴκου Λευΐ· τίνας ἑτέρους εἶναι συμβαίνει τοὺς φοβουμένους τὸν Κύριον, ἢ τὸν ἐξ ἐθνῶν λαόν;

«Προσθείη Κύριος ἐφ' ἡμᾶς, ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ἡμῶν.» Αὐτὸς γάρ ἐστιν οὗ τοὺς νόμους φυλάττομεν. Ἵνα γὰρ μὴ νομίσῃ τις ἄλλου τινὸς εἶναι τὴν διὰ Μωϋσέως νομοθεσίαν, πρὸ τῆς τούτων δόσεως τὰ περὶ τῆς κοσμοποιίας παρέδωκε· δι' ἧς ἕνα Θεὸν εἶναι διδάσκει, τὰ δὲ λοιπὰ γενητά.

«Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε.» Νεκροὺς καλεῖ τοὺς τῶν δαιμόνων θεραπευτάς, τοὺς μὴ ἔχοντας ἐν αὐτοῖς τὴν ζωήν, τουτέστι τὴν γνῶσιν τοῦ μόνου Θεοῦ.

Ἀλληλούϊα.

ΨΑΛΜΟΣ ΡΙΔ'.

Ὑπόθεσις.

Ἐν τούτῳ ἀγῶνα τῶν τὴν εὐαγγελικὴν πολιτείαν μετερχομένων σημαίνει, καὶ τὴν κατὰ Θεὸν αὐτῶν νίκην, καὶ τὸν ἐσόμενον ὑπὲρ τῶν πόνων στέφανον.

«Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.» Καὶ τίνα ἠγάπησε; Κύριον τὸν Θεὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς διανοίας, καὶ ἐξ ὅλης τῆς ἰσχύος· καὶ τῆς ἀγάπης μισθὸν ἐδέξατο τὴν ὑπακοήν.

«Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.» Καὶ ποίαις ἡμέραις, ἢ ταῖς τοῦ ἀγῶνος, ὅτε ἐκινδύνευσεν αὐτοῦ ἡ ψυχή;

«Περιέσχον με ὠδῖνες θανάτου.» Τὴν ὑπερβολὴν κατασημαίνει τῶν θλίψεων, τῶν γενομένων αὐτῷ διὰ τὴν εὐσέβειαν, ἣν καὶ ὠδῖνας θανάτου καὶ κινδύνους ᾄδου, καὶ θλῖψιν καὶ ὀδύνην ἀποκαλεῖ. Ἀλλὰ διὰ τοῦ ἐπικαλεῖσθαι τὸν Θεὸν ὑψηλότερος τούτων γέγονε, φησί.

Διὸ καὶ ἐν προοιμίοις ἔλεγεν· «Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς δεήσεώς μου.»

«Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου.» Ἑνικῶς ἀνωτέρω, ὅτι «Καὶ ἐπεκαλεσάμην ἐν ταῖς ἡμέραις μου.» Τίς ἡ ἐπίκλησις διδάσκει. Καὶ ποία αὕτη, ἤ τό, «Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου;» Εἶπε δὲ ταῦτα εἰδώς, ὡς ἐλεήμων ἐπακούσεται. «Καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.» Ἔλεός ἐστι πάθος ἐπὶ τοὺς παρ' ἀξίαν τεταπεινωμένους παρὰ τῶν συμπαθῶς τεθειμένων γινόμενον. Ἐπεὶ οὖν καὶ ἡμεῖς ἐξ ἐνδόξων γεγόναμεν ἄδοξοι, τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς ἐκπεσόντες, οἷοι ἀνθ' οἵων γεγόναμεν ὁρῶν ἡμᾶς, ὁ Θεός, ἐλεεῖ. Ἐλέου γὰρ ἀνεκαλεῖτο φωνὴ τὸν Ἀδάμ· «Ποῦ εἶ;[1]» δῆλον τό, Πόθεν ποῖ πέπτωκας;

«Φυλάσσων τὰ νήπια ὁ Κύριος.» Νήπιά φησι τοὺς διὰ Πνεύματος ἁγίου ἐν Χριστῷ ἀναγεννηθέντας, τοὺς κατὰ τὴν Ἰησοῦ ἐντολὴν νηπίους ὄντας, τῷ ἐπιστρέφθαι· καὶ γεγονέναι ὡς τὰ παιδία. Αὐτοὺς ὁ Κύριος φυλάσσει, οὐκ ἐῶν προσβαλεῖν αὐτοῖς τοὺς πολεμίους, τῷ μήπω καιρὸν ἔχειν ἀγῶνος. Νήπια γάρ φησι τοὺς διὰ Πνεύματος ἁγίου ἐν Χριστῷ Ἰησοῦ ἀναγεννηθέντας. Καὶ κατὰ τὸν ἁπλοῦν γὰρ λόγον, αὐτὸς ἐν μήτρᾳ φυλάττει τὰ βρέφη· ἐν ᾧ τῷ μόρῳ σμικρῷ καὶ τοσαύτης ὑγρότητος πλήρης καὶ μήτε κινεῖσθαι μήτ' ἀναπνεῖν συγχωροῦντα κωλύων ἀποπνιγῆναι, καὶ κίνησιν διδοὺς καὶ τροφήν, καὶ περιψυχόμενα κωλύων ἀποθανεῖν, ἐπειδὰν ἐκ τῆς ἐν μήτρᾳ θερμότητος εἰς ἀήθη τόπον προέλθοι. Ἢ καὶ οὕτως· Ἐπειδὴ ἐταπεινώθην ὡς νήπιον, καὶ ὡς παιδίον ἐδεξάμην τὴν βασιλείαν τῶν οὐρανῶν, ὁ φυλάσσων τὰ νήπια Κύριος ἔσωσέ με. Καὶ ἄλλως· Τοὺς κατὰ τὴν ἐντολὴν Ἰησοῦ νηπιάζοντας, τὸ στραφέντας καὶ ὡς παιδία γεγονέναι, αὐτὸς ὁ Κύριος φυλάσσει, τὸ μήπω καιρὸν ἔχειν ἀγῶνος, ἀπειράστους τηρῶν. Ἀλλ' ἐμέ, ὡς ὑπεραναβεβηκότα τοὺς παῖδας, διὰ μεγάλων ταπεινώσας ἀγώνων, ἀκαταγώνιστον ὅμως ἐτήρησεν.

«Ἐπίστρεψον, ἡ ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου.» Ἀνάπαυσιν αὐτοῦ τὰς ἄνω λέγει μονάς, ἃς ἀπολήψεται τῶν ἀγώνων εἰς ἀντιμισθίαν. Ἀνάπαυσις δ' αὖ πάλιν τῆς ψυχῆς ἡ τῶν ἁμαρτημάτων ἀποχή.

«Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου.» Θανάτου τῆς ἁμαρτίας φησίν· ὃν καὶ δεδοικὼς μήπως ἄρα εἰς αὐτὸν κατηνέχθη, οὐ διέλειπε δακρύων, τὴν ἐξ αὐτοῦ φυγὴν αἰτῶν, οὗ δὴ χάριν καὶ οἱ πόδες αὐτοῦ, τουτέστι τὰ διαβήματα τῆς ψυχῆς, ἐν τῇ κατὰ Θεὸν ἔστησαν στάσει, παντὸς ὀλίσθου κρείττους γενόμενοι. Χώραν δὲ ζώντων τὴν ἐπουράνιόν φησι Ἱερουσαλήμ, ἐν ᾗ οἱ κατὰ Θεὸν ἀγωνισάμενοι ὡς ἄριστοι νικηφόροι ἀκούσονται, τό, «Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ.[2]»

1. Γεν. 3, 9. 2. Ματθ. 25, 21.

Ἀλληλούϊα.
ΨΑΛΜΟΣ ΡΙΕ΄.

«Ἐπίστευσα, διὸ ἐλάλησα.» Εἰρηκώς· Ἐπίστευσα, διὸ ἐλάλησα, ὡς εὐαρεστήσας τῷ Κυρίῳ, ἐν ταῖς ἄνω παραγενόμενος μοναῖς, φησίν· ὡς οὐκ ἂν τοῦτον προσέφερε τὸν λόγον, εἰ μὴ θαρρήσας ἦν ταῖς τοῦ Θεοῦ ἐπαγγελίαις· αἱ δὲ ἦσαν ἐλέους γέμουσαι· «Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι αὐτοὶ χαρήσονται.[1]» Εἰ δὲ πλήρεις ἦσαν οἱ ὀφθαλμοὶ δακρύων, δηλονότι τὴν ἀγαλλίασιν ἐν ἐκείναις ἀπολήψονται ταῖς μοναῖς. Τὴν δὲ λέξιν ταύτην προσφέρει Κορινθίοις ὁ Παῦλος, «Ἔχοντες», εἰπών, «τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τό, Ἐπίστευσα, διὸ ἐλάλησα.[2] Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν·[3] καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν.[4]» Πνεῦμα πίστεως λέγων, ἤτοι τὴν ἕξιν τὴν ἀπ' αὐτῆς ἐγγινομένην, ἢ τὸ ἐπιχορηγούμενον ἐκ Θεοῦ τῷ πίστιν ἔχοντι πνεῦμα. Συνᾴδει δὲ τῷ· «Ἐπίστευσα, διὸ ἐλάλησα», τοιοῦτον καὶ τό· «Ἐὰν μὴ πιστεύητε, οὐδ' οὐ μὴ συνῆτε.[5]» Πρῶτον πιστεύει τις, εἶτα συνιεῖ, καὶ μετὰ ταῦτα λαλεῖ. Ὅτε δέ, φησί, πιστεύσας ἐλάλησα μεγάλα, τότε μηδὲν ἐμαυτὸν ἰδὼν «ἐταπεινώθην σφόδρα.» Τοιοῦτον τὸ τοῦ Ἰωάννου περὶ τοῦ Ἰησοῦ· «Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι.[6]» Ἠλαττοῦτο γάρ, οὐκ ἀποβαλών τι οὗπερ εἶχε μεγέθους· ἀντιπαραθέσει δὲ τῆς καθ' ὑπεροχὴν Χριστοῦ διδασκαλίας καὶ πολιτείας. Οὕτω νῦν τό, «ἐταπεινώθην», οὐ κατὰ ὕψους ἀφαίρεσιν εἶπεν, ἀλλ' ἐκ τῆς μείζονος ἢ καθ' ἑαυτὸν θεωρίας.

«Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης.» Γενόμενος, φησίν, ὑπὲρ ἄνθρωπον, πάντα τὰ ἀνθρώπινα ἐξηυτέλισα. Ἡ γὰρ ἔκστασις τὴν ἀλλοίωσιν σημαίνει. Εἰρηκώς, φησίν, ὡς «Εὐαρεστήσω Κυρίῳ», εἶτα εἰδώς, ὡς πᾶς ἄνθρωπος ψεύστης· λογισμοὶ γὰρ ἀνθρώπων δόλιοι· τούτου χάριν ἐταπείνουν ἑαυτὸν καὶ ἐσκληραγώγουν ταῖς κακοπαθείαις, μήπως τῆς τοιαύτης ἐκπέσω στάσεως.

«Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.» Ἄλλη, φησίν, οὐκ ἔσται ἡμῖν ἀμοιβὴ ὧν εἰλήφαμεν παρὰ Θεοῦ, ἢ ὑπὲρ αὐτοῦ ὑπομεῖναι θάνατον, καὶ ταύτῃ μιμεῖσθαι τὸν ἑαυτῶν Δεσπότην. Οὗτος δὲ δὴ ὁ θάνατος καὶ τῶν σφόδρα τιμίων ἔσται παρὰ Θεῷ.

«Ὦ Κύριε, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου.» Θαρρῶν δοῦλον ἑαυτὸν εἶναί φησι κατὰ τὸν ἀπόστολον· παιδίσκης δὲ υἱόν, τῆς προτέρας εἰσαγωγῆς τῆς διὰ νόμου φησίν.

«Διέρρηξας τοὺς δεσμούς μου.» Καὶ τίνες οἱ δεσμοὶ ἢ οἱ τῆς ἁμαρτίας, κατὰ τὸ εἰρημένον· «Σειραῖς γὰρ ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος

---

1. Πρβλ. Ματθ. 5, 4. 2. Β' Κορ. 4, 13. 3. Ῥωμ. 10, 10. 4. Β' Κορ. 4, 13. 5. Ἠσ. 7, 9. 6. Ἰω. 3, 30.

σφίγγεται;[1] Σοὶ θύσω θυσίαν αἰνέσεως.» Ὡς ἐν προκοπῇ γενόμενος τὰς μὲν δι' αἱμάτων παραιτεῖται, τὰς δὲ αἰνέσεως ἐπιτελεῖν ἐπαγγέλλεται.

«Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω.» Εὐχὰς τὰς ἐπαγγελίας φησί. Τί δὲ ἐπηγγείλατο, ἤ, τὸ ποτήριον τοῦ Κυρίου λαβών, ἐπικαλεῖσθαι αὐτοῦ τὸ ὄνομα; Ὃ καὶ ποιήσω, φησίν, ἐπειδὰν ἐν ταῖς θείαις αὐλαῖς γενοίμην· τὴν Ἐκκλησίαν Χριστοῦ, ἢ τὴν ἐπουράνιον Ἱερουσαλήμ.

Ἀλληλούϊα.

ΨΑΛΜΟΣ ΡΙϚ'.

«Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη... ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς.» Οὐκ ἄν, φησί, τῆς τοιαύτης μεταβολῆς ἐτύγχανε τὰ ἔθνη, εἰ μὴ ἐπικρατέστερον τῶν ἡμετέρων ἁμαρτιῶν τὸ ἔλεος ἐγένετο τοῦ Θεοῦ. «Καὶ ἡ ἀλήθεια Κυρίου μένει εἰς τὸν αἰῶνα·» ἣν γὰρ διὰ τῶν ἁγίων προφητῶν ὑπέσχετο δέδωκε σωτηρίαν. Τοῦτο καὶ ὁ μακάριος Παῦλος, τῶν πρὸς Ῥωμαίους γραμμάτων ἀρξάμενος· «Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις·[2]» καὶ πάλιν δέ· «Λέγω Χριστὸν Ἰησοῦν διάκονον γενέσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων· τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν.[3]» Ἐπειδὴ τοίνυν πεπλήρωκε τὰς ὑποσχέσεις ὁ τῶν ὅλων Θεός, καὶ ἣν ὑπέσχετο δέδωκε σωτηρίαν, καὶ ἀνέῳξεν ἅπασι τὰς τοῦ ἐλέους πηγάς, καὶ ὑμεῖς οἱ ἐξ Ἰουδαίων προσεληλυθότες, καὶ ὑμεῖς οἱ ἐξ ἐθνῶν πεπιστευκότες, σύμφωνον ὑμνῳδίαν κεράσαντες, τὸν εὐεργέτην ἀμείψασθε.

Ἀλληλούϊα.

ΨΑΛΜΟΣ ΡΙΖ'.

Ὑπόθεσις.

Διδάσκεται ὁ νέος λαὸς ὁ συνεστηκὼς ἔκ τε Ἰουδαίων καὶ τῶν ἐθνῶν, ὡς ἕνα μόνον δεῖ ἐπικαλεῖσθαι βοηθόν, αὐτὸν τὸν ἐνανθρωπήσαντα τοῦ Θεοῦ Λόγον, καὶ ἐξ αὐτοῦ ἐν καιρῷ διωγμοῦ τὴν ἐπικουρίαν ζητεῖν πᾶσαν, τὴν ἐξ οὐρανοῦ παραπεμπομένην βοήθειαν· αὐτῷ τε ἀναφέρειν τῆς νίκης τὰ χαριστήρια· αἰτεῖν τε τὰς διὰ τῶν ἀρετῶν ὁδούς, καὶ πρὸς τούτοις ἅπασιν ἐξομολογεῖσθαι τῷ Κυρίῳ τῷ ὀνομαζομένῳ λίθῳ· ἀπηγορευμένῳ μὲν παρὰ τῶν οἰκοδόμων, γενομένῳ δὲ εἰς κεφαλὴν γωνίας.

«Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ

1. Παρμ. 5, 22. 2. Ῥωμ. 1, 1-2. 3. Ῥωμ. 15, 8-9.

ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος Ἰσραήλ.» Πρώτους αὐτοὺς τῆς ἐξομολογήσεως ἄρχεσθαι παρακελεύεται, ἅτε πρώτους κεκλημένους διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος.

«Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν.» Δύο διδάσκει ὁ παρὼν στίχος, ὡς καὶ θλίψεως ἔχειν δεῖ τοὺς προσερχομένους τῇ πίστει, κατὰ τό, «Προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν.[1]» Καὶ θλιβόμενον μὴ ἕτερον ἐπικαλεῖσθαι βοηθὸν ἢ αὐτὸν τὸν Κύριον, ὃς καὶ τὴν θλίψιν ἡμῶν εἰς εὐρυχωρίαν ἄγει πολλήν. Τῶν μικρῶν γὰρ πόνων μεγάλας ἀποληψόμεθα τὰς ἀμοιβάς.

«Πάντα τὰ ἔθνη ἐκύκλωσάν με... Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.» Ὁ μὲν γὰρ τοῦ Θεοῦ λαὸς μόνον ἐκάλει τὸν Θεόν, καὶ τὸ ὄνομα λέγων αὐτοῦ ἠμύνετο τοὺς φαινομένους καὶ ἀφανεῖς πολεμίους· οἱ δὲ τούτοις ἐπιβουλεύοντες ἄνθρωποι μόναις θαρροῦσιν ἀρχαῖς τε καὶ δυναστείαις ἀνθρώπων. Τὸ δέ, «πάντα τὰ ἔθνη», ὑπερβολικόν· τὴν γὰρ Ἰουδαίαν πᾶσαν ἐκύκλουν πάντα τὰ ἔθνη. Ἢ παρέοικε τῷ· «Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς·» δηλαδὴ τοὺς ἐμπαθεῖς λογισμοὺς ὑπὸ δαιμόνων ἐπαγομένους, καὶ λόγους ἐπαφεῖεν σοφιστικούς. Ταῦτα γὰρ ἀνατρέψει τὰ ἔθνη. Ἔσθ' ὅτε καὶ ἀναιρεῖται τούτους ἐπικλήσει Θεοῦ, τὰς παθητικὰς ἐκκόπτων ὁρμάς, καὶ λόγους ἀνατρέπων σοφιστικούς. Οἱ δὲ κηφῆνες, ταῖς μελίτταις παρεοικότες, ὡς καὶ λανθάνειν τοὺς ἀγνοοῦντας, οὐ κέντρον ἔχουσιν, οὐκ ἐργάζονται μέλι· σῶμα δὲ μεῖζον ἔχοντες, τῶν μελιττῶν τὸ ἔργον ἐσθίουσιν· οὓς καὶ διαφθείρουσι μετ' ἀλλήλων αἱ μέλιτται συνιστάμεναι. Ἔστιν οὖν ἡ Ἐκκλησία μέλισσα· μελιττουργὸς δὲ ἡ τὴν τοῦ Θεοῦ προτιμῶσα σοφίαν· ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται, καίπερ ἀσθενοῦς οὔσης· κατὰ τό, «Μὴ ἐν πειθοῖ σοφίας ἀνθρωπίνης[2]» ἔχειν τὸ κήρυγμα. Ὅμως ἔχει τὸ κέντρον ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως Θεοῦ, τὸν τῆς πίστεως ἔχουσα λόγον· ὡς καὶ ἀναιρεῖν τὰς αἱρέσεις, καθάπερ κηφῆνας, ἐλέγχῳ ταύτας διχοτομοῦσα τῆς ἀληθείας. Μία μὲν ἡ τιμήσασα τὴν σοφίαν τοῦ Θεοῦ μέλισσα· πολλαὶ δὲ τῆς τοῦ Θεοῦ σοφίας ἀπέστησαν· οὐ μέλισσαι, ἀλλ' ὡς μέλισσαι κηφῆνες ὑπάρχουσαι· βουλόμενοι τῆς μιᾶς ἀναλῶσαι τὸ μέλι, καὶ ὡσεὶ πῦρ ἐν ἀκάνθαις ἐκκαίονται· τὸ γὰρ αἰσχρὸν ἐπιθυμιῶν οἱ ἀπὸ τῶν αἱρέσεων ἐκκαίουσι πῦρ· καθώς φησιν ὁ Παῦλος· «Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν.[3]» Ἀκάνθας δὲ τὰς ἡδονὰς ἡρμήνευσε τὸ Εὐαγγέλιον· ὧν τοὺς λόγους ὁ τὸν Θεὸν καλῶν ἀνατρέπει. Τὰ γὰρ ὅπλα αὐτοῦ οὐ σαρκικά, «ἀλλὰ δυνατὰ τῷ Θεῷ καθαιροῦντα πᾶν ὕψωμα ἐπαιρόμενον τῆς γνώσεως τοῦ Θεοῦ.[4]»

1. Σοφ. Σειρ. 2, 1. 2. Α' Κορ. 2, 4. 3. Ἐφ. 5, 12. 4. Β' Κορ. 10, 5.

«Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.» Ὡς ἤδη ἀνῃρημένων τῶν νοητῶν ἐχθρῶν τῶν κατὰ καιροὺς διωξάντων τὸν τοῦ Θεοῦ λαόν, εἰκότως λοιπὸν τῆς ἀγαλλιάσεως αἱ φωναὶ ἀκούονται, καὶ οὐχ ἑτερωθί που ἢ ἐν ταῖς τῶν δικαίων σκηναῖς.

«Δεξιὰ Κυρίου ἐποίησε δύναμιν.» Αὕτη ἡ τῆς ἀγαλλιάσεως φωνὴ ἡ γενομένη παρὰ τὴν Ἐκκλησίαν, τὸ ὁμολογεῖν, ὅτι αὐτὴ μόνη ἡ τοῦ Κυρίου δύναμις τοὺς ἀγωνιζομένους διέσωσε καὶ ὑψηλοτέρους ἀπέδειξεν.

«Ἀνοίξατέ μοι πύλας δικαιοσύνης.» Πύλας δικαιοσύνης τὰς κατ' ἀρετὴν νοήσεις προκοπάς, ἃς καὶ ὁδεύουσιν οἱ τοὺς καιροὺς τῶν θλίψεων ὑπομείναντες. «Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ». Οἱ διὰ τῶν ἀρετῶν περιπατοῦντες εἰς ἐκείνην ἀπαντήσουσι τὴν πύλην, τὴν εἰς αὐτὴν ἄγουσαν τὴν τοῦ Κυρίου θεωρίαν. Καὶ ποία αὐτὴ ἢ τῆς καρδίας καθαρότης; «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι τὸν Θεὸν ὄψονται.[1]»

«Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.» Σοὶ αὐτῷ τῷ γεγονότι δι' ἡμᾶς λίθῳ ἀπηγορευμένῳ ἀπεδοκίμασαν μὲν οἱ οἰκοδομοῦντες· μετὰ δὲ τὴν τῶν ἐθνῶν μεταβολὴν ἑτέρας γωνίας κεφαλὴ γέγονας· καὶ ποία αὕτη; «Συνῆψε τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον.[2]»

«Αὕτη ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος.» Καὶ τίς ἂν εἴη, ἢ ἡ ἀναστάσιμος τοῦ Κυρίου ἡμέρα; Ποία δὲ αὕτη ἡμέρα ἀλλ' ἢ ἡ σωτήριος τῶν ἐθνῶν ἁπάντων, καθ' ἣν ὁ ἀποβληθεὶς λίθος γέγονεν εἰς κεφαλὴν γωνίας; Σημαίνει δὲ ὁ λόγος τὴν ἀναστάσιμον τοῦ Σωτῆρος ἡμῶν, τήν γε ἐπώνυμον αὐτοῦ γενομένην, δηλαδὴ Κυριακήν.

«Ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, εὐόδωσον δή. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.» Τοῦτο καὶ ἡ ἐν Ἱεροσολύμοις δοξολογία ἐπὶ τίνα φέρεσθαι ἐδίδαξεν. Τὸ δέ, «Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου», ταῦτα οἱ προφῆταί φασι πρὸς τοὺς πιστεύοντας τῷ Χριστῷ. Μακαρίους, φασίν, ἀποκαλέσομεν ὑμᾶς, ὅτι δὴ οἶκος γεγόνατε πνευματικός· ἐνοικεῖ γὰρ ἐν ὑμῖν ὁ Κύριος. «Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσι. Συστήσασθε ἑορτήν.» Συνιέναι κελεύει τοὺς προσελθόντας τῇ πίστει, καὶ πληροῦν τὴν θείαν σκηνήν, ὡς καὶ μέχρι τῶν κεράτων φθάνειν τοῦ θυσιαστηρίου διὰ τὸ πλῆθος. Πυκάζοντα δὲ τὰ χερουβὶμ φησι, τὰ ἐπισκιάζοντα τὸ ἱλαστήριον· τοῦτο γάρ ἐστι τό, «πυκάζουσι.» Πυκάζειν γὰρ τὸ σκέπειν. Τὰ χερουβὶμ δὲ ἔσκεπον ταῖς πτέρυξι τὸ ἱλαστήριον.

1. Ματθ. 5, 8. 2. Ἐφ. 2, 15.

«Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι.» Ταύτην ἀναφέρειν τῷ Σωτῆρι Χριστῷ διδάσκονται τὴν φωνήν.

'Αλληλούϊα.

ΡΙΗ'.

'Υπόθεσις.

'Εν τούτῳ τῶν ἁγίων διαγράφει τὴν πολιτείαν, τοὺς ἀγῶνας, τὰς θλίψεις, τὰ σκάμματα, τὰς τῶν δαιμόνων ἐπαναστάσεις, τοὺς μυρίους ὑποβαλλομένους λογισμούς, τὰς παγίδας, τὰ θήρατρα· οὐ μὴν ἀλλὰ καὶ τὰ δι' ὧν περιγένωνται, τὸν νόμον, τὰ λόγια, τὴν ὑπομονήν, τὴν ἄνωθεν συμμαχίαν· ἔπειτα μετὰ τοὺς πόνους, βραβεῖα, τοὺς στεφάνους, τὰς ἀμοιβάς.

«Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ.» 'Ο μηδαμῇ μηδαμῶς ἁμαρτάνων, οὗτος ἂν εἴη ἄμωμος καὶ μὴν καὶ μακάριος.

«Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.» Οὐ γὰρ δεῖ ποτὲ μὲν κατορθοῦν τὸν νόμον, ποτὲ δὲ παραβάτην γενέσθαι. Τί γὰρ κέρδος τοῦ ἐξερευνῆσαι τὰ μαρτύρια αὐτοῦ ἁπλῶς, καὶ ἐξ ὅλης δὲ καρδίας τὸν Θεὸν μὴ ἐκζητεῖν;

«Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.» Οὐκοῦν τὸν θεῖον νόμον οὐκ οἶδεν ὁ ἁμαρτάνων· τὸ γὰρ γινώσκειν ἐστὶ τὸ ἐργάζεσθαι αὐτόν.

«Σὺ ἐνετείλω τὰς ἐντολάς σου φυλάξασθαι σφόδρα. Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.» Γνούς, ὡς τῆς ἄνωθεν ἐπικουρίας χωρὶς οὐ δυνατόν τινα φύλακα γενέσθαι τοῦ νόμου, εὐχῇ τοῦτο ἑαυτῷ κατορθοῖ· τό, «ὄφελον», ἀντί τοῦ, γένοιτο, κεῖται.

«'Εξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας.» Μετὰ τὴν εὐχὴν καὶ τὸ ἀπὸ προαιρέσεως τίθησιν. 'Αρχὴ δὲ τῆς σωτηρίας ἡ ἐξομολόγησις.

«Μή με ἐγκαταλείπῃς ἕως σφόδρα.» Πάλιν τὴν ἄνωθεν συμμαχίαν ἐπικαλεῖται.

«'Εν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ;» Πολλῶν, φησίν, ἐστὶν ἡ νεότης σκανδάλων μεστή. Πῶς οὖν τις ταῦτα ὑπερέβη, ἢ διὰ τοῦ ἔχειν τὴν μνήμην τοὺς τοῦ Θεοῦ λόγους διαπαντός; ἡ γὰρ ἔννοια τοῦ θείου νόμου καὶ καθαρτικὴ καὶ φυλακτικὴ πάντως ἐστίν.

«'Εν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε.» Εἰ ἡ μνήμη τοῦ Θεοῦ, φησί, τοὺς Σατανικοὺς ἐκδῦναι παρασκευάζει βρόχους, ἐγὼ δὲ ἐμαυτοῦ ὅλην τὴν διάνοιαν ἀνέθηκά σοι τῷ Θεῷ· ἄξιός εἰμι τῶν σῶν ἔξω μὴ μένειν ἐντολῶν. Ἅ φησι, μὴ ἀπογνόημά τις ἢ πρὸς ὅπερ ἐροῦμεν, ἐπιθυμίᾳ τῇ περὶ τὸν νόμον χρώμενοι, δέδωκε τὴν ἀσυνεσίαν· ἢ πολλοῖς τὴν σπουδὴν εἰς τοὐναντίον περιίστησι, καὶ ἐν οἷς δοκοῦσι κατορθοῦν

ἐσφάλησαν, κατὰ τὸ λεγόμενον παρὰ Σολομῶνι· «Ἔστιν ὁδὸς ἣ δοκεῖ παρὰ ἀνθρώποις ὀρθὴ εἶναι· τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου.[1]» Οὐκοῦν ὅστις ἐξ ἡμισείας καρδίας τὸν Θεὸν ἐπιζητεῖ, νῦν μὲν αὐτῷ, νῦν δὲ τῷ κόσμῳ σχολάζειν βουλόμενος, τοῦτον ἀποβάλλει τῶν οἰκείων ἐντολῶν, ὡς στρατιώτην ἀδόκιμον.

«Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου.» Εἰ μὴ γὰρ καθάπερ ἐν θησαυροῖς τις τῇ καρδίᾳ ἐναποκλείσῃ τὰς τοῦ Θεοῦ ἐντολάς, ἔρχεται ὁ κακοῦργος καὶ ἁρπάζει αὐτάς. Ἁμαρτάνει τῷ Θεῷ ὁ ἀξιωθεὶς λογίων ἀπορρητοτέρων, καὶ κρύπτεσθαι ἀπὸ τῶν πολλῶν ἀξίων, καὶ μὴ κρύπτων αὐτὰ ἀφ' ὧν δεῖ. Κίνδυνος γὰρ οὐ μόνον τὸ τὰ ψευδῆ λέγειν, ἀλλὰ καὶ τὸ τὰ ἀληθῆ, ἐπὰν ὅλως ἃ μὴ δεῖ ἀπαγγείλῃ τις· «Οὐ γὰρ δεῖ τοὺς μαργαρίτας βάλλεσθαι ἔμπροσθεν τῶν χοίρων, οὐδὲ διδόναι τὰ ἅγια τοῖς κυσίν.[2]»

«Εὐλογητὸς εἶ, Κύριε δίδαξόν με τὰ δικαιώματά σου.» Αἰσθόμενος τῆς ἑαυτοῦ προκοπῆς τῆς ἀπὸ τοῦ ἐν ὅλῃ καρδίᾳ ἐκζητῆσαι τὸν Θεόν, εὐλογεῖ αὐτόν, εὐχαριστῶν ἤδη ἐφ' οἷς ἠξιώθη· καὶ παρ' αὐτοῦ ζητεῖ μαθεῖν τίνα νοῦν ἔχει τὰ δικαιώματα αὐτοῦ.

«Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.» Ἃ μὲν ἐχρῆν κρύπτειν ἔκρυπτον, φησίν, ἃ δὲ ἐξαγγέλλειν ἐξήγγελλον· ὅτι τῷ σῷ κριτηρίῳ τοὺς πάντας παραστῆναι δεῖ· ἵνα κομισώμεθα πρὸς ἃ ἐπράξαμεν.

«Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.» Τίς ὁ κατὰ Θεὸν πλοῦτος παιδεύεται· διό φησιν· Οὐδέν με εἷλεν ἐν τῷ παρόντι βίῳ, οὐ χρυσός, οὐκ ἀξίωμα, οὐ δυναστεία· ἀντὶ δὲ πάντων ἐμοὶ τὰ μαρτύριά σου, εὐφροσύνη καὶ πλοῦτος.

«Ἐν τοῖς δικαιώμασί σου μελετήσω· οὐκ ἐπιλήσομαι τῶν λόγων σου.» Οὐ μέχρι λέξεως ἡ μελέτη· ἀλλὰ τὸν νενοηκότα ποιεῖ αὐτά. Οὐ γὰρ ἀκροαταὶ δικαιωμάτων Θεοῦ δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ αὐτῶν. Οὕτω γὰρ οὐδέποτέ τις αὐτῶν ἐπιλήσεται.

«Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με.» Καὶ τί βούλεται ἀντιδοθῆναι αὐτῷ ἀνθ' ὧν εἰσενέγκατο, εἰς τὸ φωτισθῆναι αὐτοῦ τὴν διάνοιαν, εἰς τὸ γνῶναι τὰ θαυμαστὰ ἔργα τοῦ Θεοῦ; «Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.» Οὐκ οἰκείαν, φησί, τὴν ἐν τῷ βίῳ πεποίημαι ματαιότητα· διὸ αἰτῶ γνῶσιν τῶν θείων δέξασθαι ἐντολῶν· αἱ μὲν γὰρ γνωσταί εἰσιν· αἱ δὲ ἄγνωστοι· γνωσταὶ μὲν ὡς τό, «Οὐ φονεύσεις[3]», καὶ τὰ ἕτερα· ἄγνωστοι δὲ τό, τίνος χάριν ἐν τῇ ὀγδόῃ ἡμέρᾳ τὰ βρέφη περιτέμνεται· ἤ, τίνος χάριν ὑπὲρ ἀρτιγεννήτων ἀναφέρονται θυσίαι.

«Ἐπετίμησας ὑπερηφάνοις.» Ὁ ἀντιτασσόμενος τοῖς ὑπερηφάνοις, οὗτος καὶ ὑπερηφάνοις ἐπιτιμᾷ. Κύριος δὲ ὑπερηφάνοις ἀντιτάσσεται, Κύριος ἄρα καὶ τοῖς ὑπερηφάνοις ἐπιτιμᾷ.

---

1. Παρμ. 16, 25. 2. Ματθ. 7, 6. 3. Ἔξ. 20, 15.

«Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν.» Οἱ ἀσεβεῖς ἐν καιρῷ διωγμοῦ ὀνειδίζοντες εξουδενήσουσί με. Αἰτοῦμαι οὖν ἵνα μάταια γένωνται κατ' ἐμοῦ ὀνείδη. Καὶ εἴ ποτε, φησί, πεφρόνηκα κατὰ τῆς σαρκός, ἀλλ' ἐπιστρέψας αἰτῶ τοῖς θείοις ζωοποιηθῆναι λόγοις· εἰ οὕτω, εἰς ἐσχάτην ἧκον ἀπορίαν, φησίν, ἐλαυνόμενος, ἐκ τῶν παρανομούντων ἀξιῶ σωθῆναι κατὰ τὴν ἐπαγγελίαν σου.

«Καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ' ἐμοῦ κατελάλουν.» Διὰ τοῦτο, φησίν, ἤτησα περιαιρεῖσθαι τὸ ὄνειδος, ἐπεὶ ἔργον εἶχον τὸ λαλεῖν κατ' ἐμοῦ. Πλὴν καὶ τῶν ἀρχόντων τῆς ἀδικίας ταῦτα ποιούντων, ὁ τοῦ Θεοῦ δοῦλος οὐκ ἀφίσταται τῶν δικαιωμάτων αὐτοῦ· τοὺς τοῦ Θεοῦ λόγους, ἅπερ ἔφη δικαιώματα, συμβούλους ἔχων πρὸς τοῦτο. Οὐδ' ἕνα δὲ πονηρὸν ὁ τοιοῦτος ἐπιδέχεται σύμβουλον. Ἀλλὰ καὶ οἱ ἄρχοντες τούτου τοῦ αἰῶνος, καθάπερ ἐπὶ Χριστοῦ «συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.[1]» Ὧν ἐστιν ἡ σοφία τοῦ αἰῶνος τούτου.

«Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου.» Εἰς ἐσχάτην ἧκον ἀπορίαν, φησίν, ἐλαυνόμενος ὑπὸ τῶν παρανομούντων, καὶ ἀξιῶ σωθῆναι κατὰ τὴν ἐπαγγελίαν σου τὴν λέγουσαν· «Καὶ χείμαρροι οὐ συγκλείσουσί σε.»

«Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου... Ὁδὸν δικαιωμάτων σου συνέτισόν με.» Σύνεσιν γὰρ τῶν ἐν αὐτοῖς μυστηρίων λαβών, ὡς καὶ ταύτην ὁδεῦσαι, δυνήσομαι περὶ τῶν ἐν αὐτοῖς θαυμασίων ὁμιλεῖν τε καὶ λόγον ποιεῖσθαι.

«Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας.» Διδάσκει, ὡς τὸ πνεῦμα τῆς ἀκηδίας οὐκ ἔστιν ἄλλως ἐκβάλλειν ἢ ἐκ τῆς μελέτης τῶν θείων λογίων. Νήφειν οὖν καὶ γρηγορεῖν χρὴ διὰ τὸν εἰπόντα. «Γρηγορεῖτε καὶ προσεύχεσθε.[2]»

«Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. Ὁδὸν ἀληθείας ἡρετισάμην.» Τὸ μὲν αἰτεῖ παρὰ Θεοῦ, τὸ δὲ ἑαυτῷ εἰσφέρειν ὁμολογεῖ.

«Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα.» Ματαιότης ἐστὶν ἡ περὶ τὰς θέας μανία, ἡ περὶ τῶν μὴ δεόντων θεωρία, καὶ ἡ κατὰ διάνοιαν δὲ ἄτοπος φαντασία, ἣν καὶ σαφηνίζει ὁ Παῦλος λέγων· «Ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν ἐσκοτωμένοι τῇ διανοίᾳ ὄντες, ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ.[3]» Ὅρα ματαιότητα νοὸς λεγομένην, ὅτ' ἂν σχῇ τις νοῦν, καὶ τούτου μὴ χρήσηται πρὸς τὴν τῶν ἀληθῶν θεωρίαν, ἀλλὰ παρέχει αὐτὸν τῷ δεσμεύοντι Σατανᾷ. Τοῦτο τοίνυν εὐχόμενός φησιν· «Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητας.» Καὶ τοῦτο γὰρ χάρις Θεοῦ. Τοῦ αὐτοῦ. Τὰ ἐν σώματι ὡραῖα καὶ σαρκὸς ὀφθαλμοῖς φαινόμενα καλά, ματαιότητα ἀποκαλεῖ.

---

1. Ψαλμ. 2, 2. 2. Ματθ. 26, 41. 3. Ἐφ. 4, 17, 18.

«Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.» Ἐπειδὴ παιδαγωγοῦ δίκην ἀναγκαῖος ὁ φόβος τοῦ Θεοῦ ἐν πάσαις ἐντολαῖς· τούτου χάριν ἐφιστάναι αὐτῷ αὐτὸν εὔχεται τὸν Θεόν. Τὸ δέ, «Περίελε τὸν ὀνειδισμόν μου», μετὰ τὸ ἐπιστῆσαι ὥσπερ τινὰ φύλακα τῶν θείων νόμων. Καὶ περὶ ὧν ἤδη πρότερον συνέγνω ἑαυτὸν ὀνειδῶν ἐξομολογεῖται.

«Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου.» Ἐπεὶ δοῦλός σου τυγχάνων φοβοῦμαί σε, βούλομαι δὲ λογικῶς καὶ κατὰ τὸν λόγον φόβον ἔχειν, στῆσον τὸ λόγιόν σου εἰς τὸν φόβον σου, τὸν ὄντα σόν, οὐκ ἀφ' οὗ φοβῇ σύ, ἀλλ' ἀφ' οὗ ἐγὼ φοβοῦμαί σε. Ἵνα μὴ δὲ ἄνευ λόγου φόβον, μηδὲ ἄνευ φόβου λόγον ἔχωμεν· ἵστησι δὲ ὁ Θεὸς τὸ λόγιον αὐτοῦ εἰς τὸν φόβον αὐτοῦ, βεβαιῶν δι' ἀποδείξεως αὐτὸ τοῖς εὐλαβέσιν. Ὥσπερ γάρ τινές εἰσιν ἔχοντες ζῆλον, ἀλλ' οὐ κατ' ἐπίγνωσιν[1], οὕτως εἰσί τινες ἔχοντες φόβον Θεοῦ, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. «Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα.» Ποιήσας ὁ προφήτης ὡς ἄνθρωπος ἁμαρτίαν, παρακαλεῖ, ἐπεὶ ὁρᾷ τὸν ὀνειδισμὸν παρακολουθοῦντα ἐν τῷ θείῳ δικαστηρίῳ μετὰ τὴν ἀνάστασιν, καὶ λέγει τὸν προκείμενον στίχον. Οὐκ ἂν δὲ λέγοις τοῦτο λέγων· Περίελε τὸν ὀνειδισμόν σου. Ὅταν γὰρ ὀνειδίζομαι διὰ τὸν Χριστόν, ἐκεῖνος ὁ ὀνειδισμὸς οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ Χριστοῦ· ὅταν δὲ ὀνειδίζομαι διὰ τὰς ἐμὰς ἁμαρτίας, καὶ μὴ μετανοῶ, οὐκ ὀφείλω λέγειν· «Περίελε τὸν ὀνειδισμόν μου ἀπ' ἐμοῦ, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.»

«Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.» Ἀμοιβὴν αἰτεῖν τὴν δικαίαν ζωὴν καὶ κατ' ἀρετήν, οὐ μόνον φυλάξας τὰς ἐντολάς, ἀλλὰ καὶ ἐρωτικῶς περὶ αὐτὰς διακείμενος, καὶ οὐκ ἄλλων χάριν, ἀλλ' αὐτὰς καὶ δι' αὐτὰς ἐκτελῶν. Καὶ ἐπεὶ δικαιοσύνη τοῦ Πατρὸς ὁ Υἱός, ὁ ἐν Υἱῷ ζῆσαι βουλόμενος τοῦτό φησι.

«Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε.» Εἰ τοῦ σοῦ ἐλέους τύχω, φησί, τοῦτο δὲ τὸ ἔλεος διὰ τοῦ σωτηρίου σου γενήσεταί μοι, παρρησίαν ἕξω πρὸς τοὺς ὀνειδίζοντας καὶ ἐπανισταμένους μοι.

«Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.» Ἐρῶ γάρ, ὡς οὐκ ἄξιος ὀνειδίζεσθαι τὸν τὰ τοιαῦτα δόγματα ἔχοντα, ἅτινα γελῶσιν οἱ τῆς πίστεως ἀλλότριοι οἱ μωροί. Ἐγὼ δὲ συνέσεως ἀποδείξω καὶ σοφίας πεπληρωμένα. Ἀποκριθήσομαι δὲ λόγον, «ἐπεὶ εἰς τοὺς λόγους σου ἐπήλπισα.»

«Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα· ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.» Μέχρι τῆς ἐσχάτης πνοῆς, φησίν. Ἐὰν ἀναξίως ὧν καλῶς λέγομεν βιώσωμεν, περιελεῖ τὸν λόγον τῆς ἀληθείας ἐκ τοῦ στόματος ἡμῶν ὁ Θεός.

«Καὶ φυλάξω τὸν νόμον σου διὰ παντός.» Φύλαξ, φησίν, ἔσομαι

1. Ῥωμ. 10, 2.

τοῦ νόμου σου, οὐ ποτὲ μὲν κατορθῶν, ποτὲ δὲ οὔ· ἀλλὰ καὶ ἐν τῇ παρούσῃ ζωῇ, φησί, καὶ ἐν τῇ μελλούσῃ τοῦτον κατορθώσω.

«Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων.» Τοιοῦτος γέγονεν ὁ Παῦλος, τοιοῦτος ὁ Πέτρος, τοιοῦτος τῶν ἀποστόλων ὁ χορὸς καὶ τῶν μαρτύρων. Ἁρμόσει τοῦτο τῷ μάρτυρι τῷ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀγομένῳ διὰ Χριστόν· ἁρμόσει καὶ τοῖς ἀνοίγουσι τὸ στόμα ἐπὶ τῶν βασιλικῶν τὰς ψυχὰς ἁγίων. Αἰσχύνης γὰρ ἄξιος ὁ μὴ πρὸς τὸ εὐαγγελίζεσθαι δυνάμει πολλῇ ῥῆμα λαβὼν ἐκ Θεοῦ· ἡ γὰρ ἔννομος ζωὴ παρρησίας δημιουργός.

«Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα σφόδρα. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου.» Χεῖρας ἐνταῦθα τὰς πρακτικὰς ἐνεργείας εἶναί φησιν. Ἡ γὰρ πρᾶξις τέλος μελέτης ἐστὶν ἐντολῶν· μετὰ γὰρ ἀνάληψιν τοῦ τῶν ἐντολῶν Λόγου καλὸν τὸ ἐπᾶραι τὰς χεῖρας ἐπὶ τὰς τῶν ἐντολῶν πράξεις· μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης, ἀλλὰ καὶ διαθέσεως· καὶ μετὰ ταῦτα συνεχῶς περὶ αὐτῶν ἀδολεσχεῖν τε καὶ διαλέγεσθαι.

«Μνήσθητι τὸν λόγον σου τῷ δούλῳ σου.» Καὶ ποῖος ὁ λόγος οὗ μνησθῆναι αὐτὸν ἀξιοῖ, ἢ τὸ εἶναι μετ' αὐτῶν, καθ' ἣν δέδωκεν αὐτοῖς ἐπαγγελίαν, ἥτις καὶ παράκλησις αὐτοῖς ἐν τοῖς διωγμοῖς ἐγίνετο;

«Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου.» Οἱ ἑβδομήκοντα· «ἀναζωώσεις με.» Αὕτη τις ἡ ἐλπίς, ἐγγινομένη μοι ἀπὸ σοῦ λόγου, παρεκάλεσέ με, καὶ παρεμυθήσατό με, εἰς τό· εἴ ποτε περιστάσεις ἢ κίνδυνος, ἢ θανάτου δοκιμή, νόσος χαλεπή, ἢ ἀπώλεια τῶν ὑπαρχόντων, ἢ διωγμοῦ, ἢ εἴ τι δήποτε τῶν νομιζομένων χαλεπῶν κατελάμβανέ με, ἡ ἐπὶ σὲ ἐλπὶς παράκλησίς μου ἦν. «Ὅτι τὸ λόγιόν σου ἔζησέ με.» Οὐδὲν ἄλλο ποιεῖ ζῆν λογικὴν ψυχὴν τὴν ἑαυτῆς ζωὴν ὡς τὸ λόγιον τοῦ Θεοῦ. Καθ' ὃ γὰρ αὔξει τὸ λόγιον τοῦ Θεοῦ, καὶ νοούμενον καὶ παραλαμβανόμενον εἰς τὴν τοῦ ἀνθρώπου ψυχήν, κατὰ τοῦτο αὔξεται καὶ τὰ τῆς ζωῆς. Ταῦτα δέ ἐστι τὸ σὺν ἀρετῇ ζῆν ἐνταῦθα· μετὰ ταῦτα δὲ καὶ τὴν αἰώνιον δίδωσι ζωήν.

«Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.» Ἐν αὐτῷ γὰρ ἐπολιτευόμην τηρῶν τὸ ἡγεμονικόν μου, ἵνα μὴ γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ μου ἀνόμιμον. Ἐκείνων γὰρ λίαν παρανομούντων, οὐδὲ κατὰ μικρὸν ἐγὼ τὸν νόμον σου παρέβαινον.

«Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.» Μεμνημένος γὰρ τῶν ἀπ' αἰῶνος καὶ ἕως αἰῶνος ἀποδοθησομένων ἑκάστῳ, παρακαλεῖται καὶ ἄλυπος ὁ δίκαιος μένει λέγων· «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.[1]» Ὧν ἐποίησας πάλαι τοῖς ἀδικοῦσι τὸν Ἰσραήλ, μνημονεύσας κριμάτων, παρεκλήθην· εἰδώς, ὡς οὐδὲ αὐτὸς

1. Ῥωμ. 8, 18.

ἐν τοῖς διωγμοῖς ἐγκαταληφθήσομαι, καὶ ὡς πάντα κατὰ Θεοῦ κρίσιν τοῖς ἀνθρώποις συμβαίνει.

«Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.» Ἐπὶ τῶν ἁμαρτωλῶν, οἱ μὲν ἀνόμως ἁμαρτάνουσι, τῷ μηδὲ τὴν ἀρχὴν πειρασθῆναι νόμων· οἱ δὲ ἐν νόμῳ, τῷ παραβαίνειν αὐτόν. Καὶ μετ' ὀλίγα· «Εἴ τι γὰρ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· καὶ ἐὰν δοξάζηται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη.[1]» Καὶ ἐπὶ τοῖς ἀδελφοῖς οὖν ἡμῶν τοῖς ἁμαρτάνουσι, λυπεῖσθαι καθήκει, ὅτι τοιοῦτοί εἰσι, καὶ οὕτω διακεῖσθαι κατὰ τὸν ἅγιον τοῦτον.

«Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.» Τόπον παροικίας τὸν παρόντα βίον φησί· κατὰ τό· «Εἰδότες, ὅτι ξένοι καὶ παρεπίδημοι ἦσαν ἐπὶ τῆς γῆς.[2]» Ἐν ᾧ εὐρύθμως εὐφραινόμην λέγω τὰ δικαιώματά σου· τοῦτο μὲν θεωρῶν, τοῦτο δὲ πράττων αὐτά.

«Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.» Ἐπειδὴ πᾶσαν τὴν γνώμην εἰς τὰς σάς, φησίν, ἀνέθηκα ἐντολάς, τούτου χάριν τῶν μαρτυρίων ἐπορεύθην τὴν ὁδόν.

«Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην.» Εἰδὼς τὸ εἰρημένον· «Τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν·[3]» καὶ τοῦτο μελετῶν διαπαντὸς ἐν ταῖς ἐφόδοις οὐκ ἐταραττόμην, ἅτε μεμελετηκὼς αὐτὰς φέρειν γενναίως.

«Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι.» Καὶ τίνα ἦν τὰ σχοινία, ἢ οἱ πονηροὶ λογισμοί, δι' ὧν τῆς κατὰ Θεὸν στάσεως ἐπεχείρουν καταβαλεῖν;

«Μεσονύκτιον ἐγεγειρόμην τοῦ ἐξομολογήσασθαί σοι.» Οὐ γὰρ μεθ' ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ, κατ' αὐτὸ τῆς νυκτὸς τὸ μεσαίτατον, ἐν ᾧ μετὰ πλείονος ἡδονῆς ὁ ὕπνος τοῖς ἀνθρώποις ἐπέρχεται, ὑμνῶν σε διετέλουν, καὶ τὰς δικαίας σου ψήφους ἀνηυφήμουν. Τοῦτο καὶ ὁ θεῖος Ἀπόστολος μετὰ τοῦ Σίλα πεποίηκε, καὶ τὸν πόδα κἀκεῖ προσδεδεμένος, μετὰ αἰκίας καὶ μάστιγος τῇ προσευχῇ τὴν ὑμνῳδίαν ἐκέρασε, καὶ τῆς καλῆς ἀγρυπνίας ἐτρύγησε τὸ καρπόν.[4] Τῆς θείας γὰρ φιλοτιμίας ἀπέλαυσεν.

«Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε.» Ὁ μὲν τέλειος Χριστοῦ ἂν εἴη μέτοχος, κατὰ τὸ εἰρημένον· «Μέτοχοι γὰρ τοῦ Χριστοῦ γεγόναμεν.[5]» Ὁ δὲ παρών, ὡς εἰσαγόμενος, τῶν φοβουμένων τὸν Κύριον μέτοχον ἑαυτὸν εἶναι λέγει· οὐχ ἁπλῶς δὲ τῶν φοβουμένων, ἀλλὰ τῶν διὰ τὸ φοβεῖσθαι φυλασσόντων τὰς ἐντολὰς τοῦ Θεοῦ. Δεῖγμα δὲ τοῦ θείου φόβου ἡ τῶν ἐντολῶν φυλακή.

«Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ. Τὰ δικαιώματά σου δίδαξόν με.» Προφητικῶς τὰ ἐσόμενά φησιν, ὡς ἔσται πᾶσα ἡ γῆ πλήρης τῶν

---

1. Α' Κορ. 12, 26. 2. Ἑβρ. 11, 13. 3. Σοφ. Σειρ. 2, 1. 4. Πρβλ. Πράξ. 16, 25. 5. Ἑβρ. 3, 14.

φοβουμένων τὸν Κύριον. Καὶ οὐκ ἐξ ἑτέρας φησὶ τοῦτο χρείας γενήσεται ἢ ἐκ τοῦ σοῦ ἐλέους· καὶ αὐτὸς γὰρ τοῦτο ἐλεητικῶς ποιεῖς, ἐπιδιδοὺς ἑαυτὸν τῶν ἀνθρώπων εἶναι διδάσκαλον.

«Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε.» Διδάσκεται ὁ τὰ θεῖα λόγια πεπαιδευμένος μὴ ἀναισθήτως ἔχειν τὰς τοῦ Θεοῦ εὐεργεσίας. Οὐ γὰρ ἄλλως ἀπήλλακτο μὲν τῆς ἁμαρτίας, κατηρίθμητο δὲ ἐν δούλοις Κυρίου, εἰ μὴ θεία τις χάρις τούτων αὐτῷ αἰτία γέγονεν.

Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα.» Διὰ τὰς προτέρας μου, φησί, πραχθείσας ἁμαρτίας παραδοθείς, ἐταπεινώθην, κρίσει δικαίᾳ τοῦ Θεοῦ τοῦτο παθών. Οὗ δὴ καὶ χάριν παιδείᾳ παραδοθείς, δέομαι διδασκαλίας ὡς ἂν γνῷ, ὅτι ἡ ταπείνωσις ἡ γενομένη μοι κατὰ χρηστότητα καὶ παιδείαν ἐγένετο.

«Χρηστὸς εἶ σύ, Κύριε.» Ὁ δίκαιος ἐπὶ πᾶσι, κἂν ᾖ πικρὰ τὰ συμβαίνοντα, λέγει τῷ Θεῷ· «Χρηστὸς εἶ σύ.» Τοιοῦτον καὶ τό· «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ.[1]» «Καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.» Καὶ δεῖται τὸ χρηστῷ Θεοῦ διδαχθῆναι· ὅτι χρηστὰ τὰ δικαιώματα τοῦ Θεοῦ πρὸς τὴν ἀξίαν ἑκάστου γινόμενα· ἐφ' οἷς λέγειν ἄξιον· «Ἐδικαιώθη τὰ κρίματά σου, ὁ Θεός.[2]»

«Ἐπληρώθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων.» Ἐπὶ τοσοῦτον, φησίν, ἤλασαν ὑπερηφανίας, ὡς γενέσθαι τὴν καρδίαν ἐν αὐτοῖς. «Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν.» Τοῖς πονηροῖς καὶ μοχθηροῖς πειρασμοῖς παραδοθήσῃ βίῳ καὶ πολιτείᾳ ταπεινοῦσι, καὶ διδάσκουσιν ὑποπιάζειν τὸ σῶμα καὶ δουλαγωγεῖν, καὶ μὴ ὁδεύειν τὴν πλατεῖαν καὶ εὐρύχωρον τὴν τῶν ὑπερηφάνων, ἀλλὰ τὴν στενὴν καὶ τεθλιμμένην· λεπτὴ μὲν γὰρ ἡ τῶν ἁγίων, πίων δὲ ἡ τῶν ὑπερηφάνων καρδία.

«Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με.» Ὡσεὶ ἔλεγεν· Εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἄξιος ὀφθῆναι τῶν σῶν δικαιωμάτων, ζητῶν ἅπερ οὐκ ἔστιν ἄλλως μαθεῖν.

«Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.» Ὅσης ἠξίωται ἄνθρωπος διδάσκεται εἰσαγόμενος.

«Αἱ χεῖρές σου ἐποίησάν με.» Ἕτερον ἀξίωμα τὸ δεκτικὸν αὐτὸν εἶναι καὶ χωρητικὸν τῆς αὐτοῦ διανοίας. «Συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.» Τῇ ἐπὶ τῆς ποιήσεως εὐχαριστίᾳ λίαν ἀκολούθως ἡ τῆς νοητικῆς δυνάμεως τῆς συνιέναι ποιούσης τὰς ἐντολάς.

«Οἱ φοβούμενοί σε, ὄψονταί σε, καὶ εὐφρανθήσονται.» Διδάσκει, ὡς οὐκ αὐτὸς μόνος καθέξει τὸ χάρισμα, φθάσει δὲ καὶ εἰς πάντας τοὺς φοβουμένους τὸν Κύριον. Τοῖς γὰρ εὐσεβέσι μόνοις ἐστὶν ἡδύς, αἰσθητῶς δὲ ὁραθεὶς καὶ κατὰ τὸν λόγον καὶ κατὰ τὰ νοήματα τῆς σοφίας ἣν ἔχει· τοῖς δὲ ἄλλοις βαρύς ἐστι καὶ βλεπόμενος. Ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ, διὰ

1. Ψαλμ. 33, 2. 2. Ψαλμ. 18, 10.

τοῦτο δέ φησιν· «Εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.»

«Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου.» Διδασκόμεθα, ὡς πάντα ἡμῖν ὁ Θεὸς δικαίως ἐπιφέρει· ὥστε ἀναγκαῖον μὴ ὀλιγωρεῖν ἡμᾶς ἐν ταῖς παιδείας, προσπίπτειν δὲ μᾶλλον, καὶ ἐκ τῆς τοῦ νόμου φυλακῆς τὸν ἔλεον ἐξαιτεῖν.

«Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με.» Ἔλεος τοῦ Πατρὸς ὁ Υἱός, ὃς καὶ παρεκάλεσεν ἡμῶν τὰς καρδίας τυραννουμένας ὑπὸ τοῦ Σατανᾶ. Ἢ καὶ οὕτως· Δέομαι κατὰ τὸν σὸν Λόγον ἐμοὶ τῷ δούλῳ σου ἐπὶ παρακλήσει καὶ παραμυθίᾳ τὸ ἔλεός σου γενέσθαι. Πολλοὶ γὰρ παρακλήσεως τυχόντες ἀπατῶνται, ὡς ἐξ ἰδίας φρονήσεως τοῦτ' ἐσχηκέναι. Ὅπως μὴ ὡσαύτως τούτοις πλανηθῶ, ἐμοὶ τῷ δούλῳ σου τὸ ἔλεός σου, κατὰ τὸ λόγιόν σου, γενέσθω.

«Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι.» Ὥσπερ ὑπέσχου, φησί, τὴν παράκλησιν οὕτως ποίησον, τοὺς σοὺς οἰκτείρων οἰκέτας.

«Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ.» Εἰ τύχοιμι, φησί, τῆς παρὰ σοῦ βοηθείας, τότε οἱ πονηροὶ δηλαδὴ δαίμονες καὶ ἄνθρωποι τῆς ἀληθείας ἐχθροὶ αἰσχυνθήσονται. Ἐγὼ δέ, ἐκείνων αἰσχυνομένων, οὐκ ἐπαρθήσομαι· ἀλλ' «ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω.»

«Ἐπιστρεψάτωσάν μοι οἱ φοβούμενοί σε.» Τῆς παρὰ τῶν σῶν οἰκετῶν διδασκαλίας τύχοιμι. Ἔσται δὲ τοιαύτη, οἷα καὶ ἐπιστρέφειν εἰδυῖα ψυχάς, διὰ τὸ πλουτεῖν τὸν φόβον τὸν σόν.

«Γενηθήτω ἡ καρδία μου ἄμωμος.» Οὐκ ἂν μετὰ τοσαῦτα ἔχων καρδίαν ἄμωμον ἔλεγε· «Γενηθήτω ἡ καρδία μου ἄμωμος.» Τούτῳ παραπλήσιον· «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός.[1]» Τότε γὰρ μόνον οὐκ αἰσχυνθήσομαι, ὅταν ἀμώμως τὰς τοῦ Θεοῦ φυλάξω ἐντολάς.

«Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, καὶ εἰς τὸν λόγον σου ἐπήλπισα.» Διδάσκει ἡμᾶς, ὁ Προφήτης ἐπιθυμεῖν τοῦ λόγου, καὶ ἐρωτικῶς ἔχειν πρὸς τὸ σωτήριον τοῦ Θεοῦ. Καὶ τί ἂν εἴη ἕτερον τὸ σωτήριον ἢ ἡ παρουσία τοῦ Κυρίου; «Εἰς τὸν λόγον σου ἐπήλπισα.» Νόει ἀντὶ τοῦ, τὴν ἐπαγγελίαν. Λέγεται δὲ λόγιον καὶ ἡ θεόπνευστος Γραφή. Ἐκλείπει τοίνυν οὐ μόνον ὁ τὴν ὑπόσχεσιν τὴν θείαν ἀναμένων, καὶ τὴν λύσιν τῶν ἐπικειμένων κακῶν προσδεχόμενος, ἀλλὰ καὶ ὁ τοῖς θείοις ἐντυγχάνων λογίοις, καὶ τὴν τούτων διάνοιαν καταμαθεῖν ἀκριβῶς ἐφιέμενος, καὶ παράκλησιν καὶ ψυχαγωγίαν ὑπολαμβάνει τὴν εὕρεσιν.

«Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου.» Εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, φησίν. Αὐτὸν γὰρ «ἔχομεν παράκλητον πρὸς τὸν Πατέρα», κατὰ τὴν τοῦ ἀποστόλου φωνήν· «καὶ αὐτὸς ἱλασμός

1. Ψαλμ. 50, 12.

ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν.[1]» Λέγοντες, «πότε παρακαλέσεις με;» Ὅταν γὰρ ἐπιδημήσει μοι λόγος, τότε παρακαλοῦμαι.

«Ὅτι ἐγενήθην ὡσεὶ ἀσκὸς ἐν πάχνῃ.» Νεκροὶ μὲν μᾶλλον οἱ ζῶντες ὑπὸ τῶν κακώσεων γίνονται οἱ δίκαιοι, ὡς ἀσκοῖς ἐοικέναι μᾶλλον ἢ ἀνθρώποις ἀποψυχόμενοι καθάπερ πάχνῃ περιπηγνυμένῃ, τὸ θερμὸν καὶ πρακτικὸν προαιρούμενοι. Τοῦ αὐτοῦ· Ἀσκὸς ἐν πάχνῃ γίνεται ὁ τὴν ἑαυτοῦ σάρκα κατατήξας, καὶ μηδὲν ἐν αὐτῷ πυρῶδες καὶ ἐπιθυμητικὸν ἐῶν, ἀλλ' ἀποψύξας ὥσπερ αὐτήν.

«Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου;» Ὀλίγαι γὰρ αἱ τῶν ἀνθρώπων ἡμέραι ἐπὶ τῆς γῆς, ἐν αἷς εὔχεται εὐθέως συντριβῆναι τὸν Σατανὰν ὑπὸ τοὺς πόδας αὐτοῦ, ὡς ἂν ὑποτάσσοιτο τὴν ψυχὴν τοῦ θείου Λόγου γεγονότος ἐν αὐτῇ.

«Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας.» Ἢ τοὺς γραώδεις μύθους τῶν Ἰουδαίων φησὶ τὰς διδασκαλίας, ἢ καὶ τὰ ἐντάλματα τῶν ἀνθρώπων, καὶ τὰς φλυαρίας τῶν σοφῶν τοῦ αἰῶνος τούτου.

«Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με· βοήθησόν μοι.» Εἰδώς, ὡς ἐν τῷ θείῳ δικαστηρίῳ ἀπολήψεται ὑπὲρ ὧν πέπονθεν ἀδικιῶν, ἐπισπεύδει ἰδεῖν καιρὸν ἐκεῖνον.

«Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ.» Μικροῦ δεῖν ἐκ τοῦ διωγμοῦ αὐτῶν.

«Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.» Στόμα Θεοῦ οἱ διακονήσαντες προφῆται τοῖς μαρτυρίοις, καὶ ἐντολαῖς, τοῖς δικαιώμασιν αὐτοῦ.

«Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.» Ἐν προκοπῇ γινόμενος, καὶ ὑψηλοτέρων ἅπτεται δογμάτων, τοῦ τε ἀϊδίου Λόγου τοῦ Πατρὸς μνημονεύων, καὶ μονονουχὶ τό· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος[2]», λέγων, καὶ τῆς δακοσμήσεως τοῦ παντός, σαφῶς τε δούλην αὐτοῦ τὴν σύμπασαν κτίσιν ἀποκαλεῖ.

«Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου.» Δύο εἰσὶ γενεαί, αἱ χωρήσασαι τὴν τοῦ Θεοῦ ἀλήθειαν, ὅ τε τῶν Ἰουδαίων λαὸς ἔχων τὸν νόμον καὶ τοὺς προφήτας, καὶ ἡ Ἐκκλησία. Οὐκ εἰς γενεὰς οὖν ἡ ἀλήθεια τοῦ Θεοῦ, ἀλλ' εἰς γενεὰν τὴν προτέραν καὶ εἰς γενεὰν τὴν δευτέραν. Τὰ δὲ ἄλλα ἔθνη πεπλάνηνται. Ὅτε δὲ καὶ ἡ προτέρα γενεὰ ἐξέβαλε τὴν ἀλήθειαν, καὶ εἶπεν· «Αἶρε, αἶρε[3]» ἀπὸ τῆς γῆς τὸν τοιοῦτον, μεταβέβηκεν ἡ ἀλήθεια ἀπ' ἐκείνης τῆς γενεᾶς ἐπὶ ταύτην τὴν γενεάν. «Ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.» Ταύτῃ δὲ τῇ ἀληθείᾳ ἡ γῆ τεθεμελίωται. Ἐπὶ τούτῳ γὰρ τῷ ἀκρογωνιαίῳ λίθῳ καταβεβλημένῳ θεμελίῳ οἰκοδομοῦνται πάντες οἱ ἐκ γῆς σῳζόμενοι. Ὅθεν καὶ διαμένει ἡ γῆ, ἀρραγῆ καὶ ἀσφαλῆ κρηπῖδα καὶ θεμέλιον ἔχουσα. Ἀλλὰ καὶ γῆν φωτίσασα ἡ ἀλήθεια ἡμέραν ἐποίησε, Θεοῦ ἐπιλάμψαντος αὐτήν.

1. Α' Ἰω. 2, 2. 2. Ἰω. 1, 1. 3. Ἰω. 19, 15.

«Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλά σοι.» Οὐκ ἀλλαττομένη, οὐδὲ τέλος λαμβάνουσα, ὡς ὁ κατὰ τὴν Παλαιὰν Γραφὴν φωτισμός. Ἐπεὶ καὶ μέχρι καιροῦ διορθώσεως τέθειτο. Ταῦτα δὲ πάντα ὑπὸ Θεοῦ ὑπῆρκται. Ἐπείπερ κτίστου καὶ προνοητοῦ ὄντος, δοῦλα τὰ σύμπαντά ἐστιν αὐτοῦ.

«Εἰ μὴ ὁ νόμος σου μελέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.» Εἰσβαλόντων, φησί, τῶν πονηρῶν λογισμῶν, καὶ τῶν ἀντικειμένων δυνάμεων πολεμούντων ἐμοί, εἶχον ἂν ἀπολέσθαι, εἰ μὴ ὁ σὸς νόμος εἰς στήριγμα ἐγένετο.

«Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.» Τοῖς σοῖς νόμοις ὄψομαι, φησίν· ἔξω γὰρ ἐν αὐτοῖς τὴν ζωήν, καθὰ δή μοι καὶ εἴρηκας, «ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς.[1]» Ζῶν οὖν μόνος ὁ δίκαιος, κἂν τεθνηκέναι δοκῇ· νεκροὶ δὲ οἱ ἄδικοι, κἂν ζῆν φαίνωνται. Ἐκεῖνοι μὲν γὰρ τὴν τῆς ζωῆς σύστασιν ἐν ἑαυτοῖς ἔχουσι, τὴν δικαιοσύνην· οἱ δὲ ταύτην οὐκ ἔχοντες τοῖς οὐ παρ' ἑαυτῶν, ἀλλ ἔξωθεν κινουμένοις ἀψύχοις ἐοίκασιν.

«Σός εἰμι ἐγώ, σῶσόν με.» Προσυπακούεται τῷ, σός εἰμι δοῦλος, σός εἰμι κατὰ χάριν υἱός, εἰμὶ σὸς θεράπων.

«Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα.» Ἀντὶ τοῦ, ἐμελέτησα, καὶ διὰ τῆς σῆς μελέτης ἄπρακτον αὐτῶν ἀπέφηνα τὴν ἐπιβουλήν.

«Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.» Συντέλειαν τὴν ἐπιβουλήν φησι τὴν παρὰ τῶν δαιμόνων. Ταύτης εἶδον τὸ πέρας ἐκβὰν εἰς οὐδέν, ὅτε καὶ πλατεῖά μοι γέγονεν ἡ ἐντολή. Τοῦτο τοῦ διὰ πάσης προκοπῆς, εἰς τὸ τέλος ἀφιγμένου τῆς ἀρετῆς, ἐπὶ τὸ τέλειον ἀγαθὸν διαβαίνοντος· πολλὰς ἀρχὰς καὶ τέλη καταβαλλομένου. Ἡ γὰρ τῆς προτέρας βελτιώσεως περιγραφὴ ἀρχὴ τῆς ἐχομένης ἐστί, κατὰ τό· «Ὅταν συντελέσῃ ἄνθρωπος, τότε ἄρχεται.[2]»

«Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε; ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν.» Ὁ πάντα κατὰ τὸν νόμον καὶ λέγων καὶ πράττων μελετᾷ τὸν νόμον τοῦ Θεοῦ. Ἐν δὲ τῷ πρώτῳ ψαλμῷ τῇ ἡμέρᾳ πρὸς τὴν μελέτην καὶ τὴν νύκτα προσέθηκε τῷ μακαρίῳ γενησομένῳ. Ἐλέγομεν γάρ, ὡς μικτός ἐστιν ἐνταῦθα τῶν ἀνθρώπων ὁ βίος. Διὸ νῦν ἔχομεν ἡμέραν καὶ νύκτα· γενομένους δὲ ἁγίους οὐ διαδέξεται νύξ. Ὁ τοίνυν προκόπτων ἡμέραν μὲν ἄγει κατὰ τὸν νόμον βιούς· νύκτα δέ, ὅτε μὴ μελετᾷ ἐν ὅλῃ καρδίᾳ αὐτοῦ· «Μὴ πράττῃ τι κατά....»

«Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου.» Τοῦτο γάρ ἐστι τὸ φυλάξαι τὸν θεῖον νόμον, τὸ ἔργοις αὐτὸν ἀποπληρῶσαι.

«Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα.» Διαπαντὸς ἐμεμνήμην τοῦ θείου δικαστηρίου.

---

1. Λευϊτ. 18, 5. 2. Σοφ. Σειρ. 18, 7.

«Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου!» Γλυκέα διὰ τὴν ἐπ' αὐτοῖς λογικὴν τέρψιν· ἀλλ' «ὑπὲρ μέλι», τῶν παρ' ἀνθρώποις πάντων ἡδέων δι' αὐτοῦ δηλουμένων.

«Λύχνος τοῖς ποσί μου ὁ νόμος σου.» Ὁ γὰρ τῷ φωτὶ τοῦ θείου νόμου περιπατῶν ὀρθὴν καὶ ἀπρόσκοπον τὴν πορείαν ποιεῖται τοῦ βίου.

«Ἐταπεινώθην ἕως σφόδρα.» Ἢ ταῖς τῶν νοητῶν ἐχθρῶν ἐπιθέσεσιν, ἢ ταῖς ἰδίᾳ καὶ ἐκ προαιρέσεως γινομέναις σκληραγωγίαις.

«Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.» Τοὺς σοφοὺς τοῦ αἰῶνός φησι καὶ τοὺς τῶν αἱρεσιωτῶν ἄρχοντας.

«Ἐκκλίνατε ἀπ' ἐμοῦ, πονηρευόμενοι.» Ἢ τοὺς πονηροὺς λογισμούς φησιν, ἢ τοὺς προειρημένους διδασκάλους.

«Βοήθησόν μοι, καὶ σωθήσομαι.» Εἰ γάρ καί, ἔφη, βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, ἀλλὰ δεῖται βοηθείας ἀδιαλείπτου. Ἐν ὅσῳ γὰρ ἐσμεν ἐνταῦθα, οὔπω τέλειον τό, «σωθήσομαι·» ἀλλ' ὅταν μετὰ τῶν ἀγγέλων ζήσωμεν τοῦ Θεοῦ, τότε γὰρ καὶ μελέτη δικαιωμάτων πρόσωπον πρὸς πρόσωπον, οὐ κατὰ τὴν σκιάν, ἀλλὰ κατὰ τὴν ἀλήθειαν.

«Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου.» Τοῦτο γὰρ περιμένει τὸ τέλος τοὺς τὸν νόμον ἀθετοῦντας τοῦ Θεοῦ.

«Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.» Τὸ πατῆσαι βούλεσθαι τὸν θεῖον νόμον.

«Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου.» Τό, «καθήλωσον», ἀντὶ τοῦ, πῆξον. Πῆξον οὖν, φησίν, εἰς ἁγνείαν τὰς σάρκας μου. Οὕτως γὰρ μόνως δυνηθεῖεν εἰπεῖν Χριστῷ· «Συνεσταύρωμαι·[1] ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.» Τὸν θεῖον δηλονότι νόμον. Οὐ γὰρ ἄλλως τις ἐπιτελεῖ τὴν ἁμαρτίαν, μὴ ἔξω ἑαυτὸν πρότερον καταστήσας τοῦ φόβου τοῦ Θεοῦ.

«Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου.» Εἰς τὴν θείαν ἐπιφάνειαν, φησί, δι' ἧς ἤλπιζε σωθήσεσθαι καὶ αὐτὸς καὶ ἅπαν τῶν ἀνθρώπων τὸ γένος. «Καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.» Εἰ καὶ παρανομοῦντές τινες, καὶ τὸν σὸν πρὸ ὀφθαλμῶν οὐκ ἔχοντες φόβον, τὸν σὸν ἐκ μέσου πεποίηνται νόμον· ἀλλ' ἐγὼ τὸν πάντα καιρὸν ἕνα ἐποιούμην τοῦτον, ἐν μελέτῃ ἔχων διαπαντός.

«Δοῦλός σου εἰμί, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου.» Ὁ μὴ δουλεύων κατ' οὐδὲν τῇ ἁμαρτίᾳ λεγέτω· «Δοῦλός σου εἰμὶ ἐγώ.» Μισθὸν δὲ δουλείας τὴν σύνεσιν ἀπαιτεῖ διδομένην παρὰ Θεοῦ, καὶ παρ' αὐτῷ κειμένην ὡς ἐν θησαυροφυλακίῳ. Πνεῦμα γὰρ σοφίας καὶ συνέσεως καὶ τὰ ἑξῆς τῶν ἀγαθῶν τὰ χαρίσματα. Πρὸς

1. Γαλ. 2, 19.

ἑτέραν γὰρ ἀντιδιαστέλλων, ἐν Παροιμίᾳ φησί· «Σύνεσις δὲ ἀγαθὴ δίδωσι χάριν.[1]» Εἰ γὰρ πᾶσα σύνεσις ἀγαθή, οὐκ ἂν προσέθηκεν ἀγαθή.

«Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.» Ἐγὼ μὲν ἐποίησα κρῖμα καὶ δικαιοσύνην· ἔσται δέ ποτε καί σοι καιρὸς τῷ Θεῷ τοῦ ποιῆσαι δηλονότι κρῖμα καὶ δικαιοσύνην κατὰ τῶν διασκεδασάντων τὸν νόμον σου.

«Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ τὸ χρυσίον καὶ τοπάζιον.» Ταῦτα συνᾴδει τῷ· «Ἀγαθόν μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου·» καὶ τῷ· «Λάβετε παιδείαν, καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον. Κρείσσων γὰρ σοφία λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν.[2]»

«Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην. «Διὰ τοῦτο», ποῖον, ἢ τὸ μελέτην ἔχειν διαπαντὸς τοῦ νόμου;

«Καὶ συνετιεῖ νήπια.» Νήπια νοήσεις τοὺς ἐν ἀγνοίᾳ κατεχομένους καὶ βρέφεσιν ἐοικότας. Τούτους γὰρ ὁ λόγος σου, φησί, τῷ σῷ καταυγαζομένους φωτὶ συνέσεως ἐμφορεῖ.

«Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα.» Διανοίξεως δὲ δεῖται τὰ λόγια. Διὸ καὶ ὁ Σωτὴρ διήνοιξε τὸν νοῦν τῶν μαθητῶν τοῦ συνιέναι τὰς Γραφάς. Καὶ τὴν δι' ἡδονῆς ἢ δόξης ἀπάτην ἡ διὰ τῶν λόγων σύνεσις ἐνδιδομένη κωλύει.

«Ἐπίβλεψον ἐπ' ἐμέ, καὶ ἐλέησόν με, κ.τ.λ.» Ὡς κέκρικας, φησίν, ἐπιβλέψαι, καὶ πολλῆς ἐπισκοπῆς ἀξιῶσαι τοὺς ἀγαπῶντας τὸ ὄνομά σου· οὕτω με τῆς αὐτῆς ἀξίωσον ἐπιστοπῆς, τοῦ αὐτοῦ ἐλέους.

«Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου.» Κατὰ τὸ λόγιον αὐτοῦ ὁ Θεὸς κατευθύνει τὰ διαβήματα τοῦ ἀπὸ κακίας καὶ ἀγνοίας εἰς ἀρετὴν καὶ γνῶσιν διαβαίνοντος. Ὁ γὰρ ὀρθὸς λόγος τῶν τοιούτων ἡγεῖται· Οἱ μὴ ποιοῦντες τὴν ἁμαρτίαν οὐκ εἰσὶ δοῦλοι τῆς ἁμαρτίας.

«Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων.» Συκοφαντίαν ἀνθρώπων τὴν τῶν αἱρετικῶν διδασκαλίαν φησί, καὶ τὴν τῶν σοφῶν τοῦ αἰῶνος τούτου. Τούτου τετύχηκεν αἰσθητῶς Ἰωσὴφ καὶ Σωσάννα. Τροπικῶς δὲ ἀνθρώπους τὰς πονηρὰς λέγει δυνάμεις, ἀφ' ὧν τῆς συκοφοντίας μόνου λυτροῦσθαι Θεοῦ.

«Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου.» Τὴν παρουσίαν ἐπιποθεῖ τοῦ Κυρίου θεάσασθαι. Αὐτὸς γάρ ἐστιν ὁ χαρακτὴρ τοῦ Πατρός. «Καὶ δίδαξόν με τὰ δικαιώματά σου.» Τὴν Νέαν Διαθήκην φησί, δι' ἧς δεδικαίωκεν ὁ Θεὸς καὶ Πατὴρ τοὺς ἐπὶ τῆς γῆς.

«Διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου.» Πλῆθος ἠφίειν δακρύων τοὺς τὸν σὸν παραβαίνοντας νόμον ἀποθρηνῶν.

«Δίκαιος εἶ, Κύριε, καὶ εὐθὴς ἡ κρίσις σου.» Τὴν αἰτίαν ἀποδίδωσι

1. Παρμ. 13, 15. 2. Παρμ. 8, 10-11.

δι' ἣν ἀπεκλαίετο τοὺς παραβαίνοντας τὸν τοῦ Θεοῦ νόμον· ὅτι δὴ τοῖς τοῦτον παραβαίνουσιν ἐν τῷ θείῳ δικαστηρίῳ τιμωρίαν ἠπείλησε, καὶ ταύτην ἐντεῦθεν ἤδη διεμαρτύρατο. «Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου», κ.τ.λ. Τὰ μετὰ μαρτύρων οὐρανοῦ καὶ γῆς τίνων ἄλλων ἐνετείλω μαρτύρια, δικαιοσύνην ὄντα καὶ ἀλήθειαν τρανωτάτην; Ἀλλ' οὐκ ἠμαύρους· ἤγουν εὐθύτατοι τῶν σῶν κριμάτων κανόνες τὴν σὴν δικαιοσύνην μηνύουσι. Τὰ οὖν σὰ μαρτύρια αἱ θεῖαι Γραφαί· δικαιοσύνη μὲν κατὰ τὰ ἠθικὰ τυγχάνουσι παραγγέλματα, ἀλήθεια δὲ κατὰ τὴν θεωρίαν τῶν λόγων.

«Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.» Οἷον ζῆλον ἀνελάμβανον, εἴ ποτε ἑώρων τινὰ ἐπιλελησμένον τῶν σῶν λόγων. Καὶ οὐχ ἁπλῶς ζῆλον, ἀλλὰ διὰ τὸν τιθέντα μοι ἐκτήκεσθαι ἀπὸ τοῦ ζήλου τοῦ πρὸς σέ, εἰ ἐθεώρουν τινὰς ἐπιλανθανομένους σου τῶν λόγων. Περὶ τούτου τοῦ ζήλου ἐμνήσθησαν οἱ μαθηταί, ἐκ προσώπου τοῦ Κυρίου ἐν ψαλμῷ εἰρημένου. «Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.[1]»

«Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα.» Τὸ λόγιον τοῦ Θεοῦ πεπυρωμένον ἐστὶ σφόδρα καὶ ἐξιστάμενον, καὶ πάσῃ βασάνῳ ἀνέλεγκτον. Καὶ εἴ τις ἔχει πεπυρωμένον τοῦτο τὸ λόγιον, ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.

«Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενώμενος.» Νεώτερος μὲν ὁ τοῖς θείοις λόγοις στοιχειούμενος, ἐξουδενωμένος δὲ διὰ τὸ ταπεινοῦν ἑαυτόν.

«Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα.» Ἡ μὲν γὰρ παρ' ἀνθρώποις δικαιοσύνη πρὸς ὀλίγον ψηφίζεται χρόνον τῷ κρινομένῳ τὸ δίκαιον, ἡ δὲ τοῦ Θεοῦ τὴν κρίσιν αἰώνιον ἀποδίδωσιν.

«Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με.» Οὐδὲ ἐν ταῖς περιστάσεσι, φησί, τοῦ τὸν σὸν μελετᾶν ἠμέλησαν νόμον.

«Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα.» Ἃ δέδωκάς μοι, φησί, μαρτύρια, οὐ πρὸς ὀλίγον ὄντα ὠφέλιμα, δικαιοσύνη εἰς τὸν αἰῶνα τυγχάνουσι, δικαιοῦντα τὸν διαθέσει συνεγγίζοντα αὐτοῖς. «Συνέτισόν με, καὶ ζῆσόν με.» Ἣν γὰρ ἀσκοῦμεν ἐπὶ τοῦ παρόντος δικαιοσύνην ἀποδίδοται οὐκ ἐν ὀλίγαις ἡμέραις ἡμῶν, ἀλλ' εἰς τὸν αἰῶνα. Ἀλλὰ καὶ ζήσομαι, φησίν, ἐάν με συνετίσῃς· εἰς ἐκείνην γὰρ τὴν μακαρίαν ζωὴν ἀνόητος οὐκ εἰσέρχεται. Αἰτητέον οὖν σύνεσιν παρὰ τοῦ διδόντος πᾶσι τοῖς ἐξ ὅλης ψυχῆς αἰτοῦσιν αὐτόν.

«Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου.» Πρότερον· «Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου, Κύριε· τὰ δικαιώματά σου ἐκζητήσω.» Δεύτερον· «Ἐκέκραξά σοι, σῶσόν με.» Ὃ γὰρ ἐλάλουν κατὰ τὸ ἡγεμονικόν, οὐκ ἄλλο τι ἦν ἢ ὁ Θεός. Μεγάλως οὖν σε καλέσας, μεγάλως ἐπαγγέλλομαι τὰ σὰ φυλάξαι μαρτύρια.

1. Ψαλμ. 68, 10.

«Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα.» Ἀωρία τὸν σκότον, ἤτοι τὴν σύγχυσιν τῶν πραγμάτων φησί. Ταῦτα δὲ λέγει· Καίτοι τῶν παρανόμων ἐν συγχύσει πάντα ποιούντων, πολλὰ ἐν τῷ σῷ νόμῳ ἐστοίχουν.

«Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ.» Συνῆψαν οἱ πολεμοῦντές με τῇ ἀνομίᾳ, φησίν. Οὐδὲ γάρ τις διώκει τὸν δίκαιον μὴ ἀνομίᾳ συνεῖναι βουλόμενος.

«Ἐγγὺς εἶ σύ, Κύριε.» Ὁ Θεὸς ἀλλαχοῦ φησι· «Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐχὶ Θεὸς πόρρωθεν, λέγει Κύριος.[1]» Ἡ δύναμις γὰρ τοῦ Θεοῦ πανταχοῦ ἐστι, κατὰ τὸν τῆς δημιουργίας καὶ προνοίας λόγον.

«Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με.» Λόγον τὴν ἐπαγγελίαν φησίν· ἐπηγγείλατο γὰρ ἥξειν, καὶ σώσειν ἡμᾶς.

«Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία.» Ἣν ἐπλεονέκτησαν οἱ ἄρχοντες τοῦ αἰῶνος τούτου. «Ὅτι δικαιώματά σου οὐκ ἐξεζήτησαν.» Αὕτη ἡ αἰτία τοῦ καταδιώκειν τὸν δίκαιον, τὸ μακρὰν ἑαυτοὺς ἀποστῆσαι τοῦ θείου νόμου.

«Οἱ οἰκτιρμοί σου πολλοί, Κύριε.» Ἔγνων, φησίν, ὡς διεμαρτύρω τὰς ἐντολὰς ἡμῖν, ὅτι βέβαιοί εἰσι καὶ ἀμετακίνητοι. Τοῦτο γὰρ δηλοῖ καὶ ἐν τῷ ἄνω στίχῳ, τό, «Κατ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου.»

«Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην.» Εἴ τινα ἑώρακα μὴ συνιέντα ἐγώ, ἐπὶ τὸν τοιοῦτον ἐξετηκόμην ἀπὸ τοῦ ζήλου κατὰ τὴν θεοσέβειαν.

«Ἰδέ, ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε.» Ὄψει γὰρ ἐν ἐμοὶ τῶν ἀγαθῶν ἔργων τοὺς τύπους· οὐ γὰρ ἁπλῶς ἐτήρησα, ἀλλ' ἠγάπησα, μηδὲν ἔχων πρὸς ταύτας ἠναγκασμένον. Ἀλλ' οὐδὲν ἧττον ἐλεοῦντός σου δέομαι πρὸς τὸ ζῆσαί με.

«Ἀρχὴ τῶν λόγων σου ἀλήθεια.» Αὕτη πρώτη τῶν σῶν δέδοται ἐντολῶν, τὸ ἀληθεύειν ἐν πᾶσι, καὶ πράξει, καὶ λόγῳ, καὶ διανοίᾳ.

«Ἄρχοντες κατεδίωξάν με δωρεάν.» Ἔθλιβόν με, φησίν, οἱ κατὰ καιροὺς ἄρχοντες, ἐχθροὶ ὄντες τῆς ἀληθείας. Ἀλλ' οὐ δέδοικα τὰς ἐκείνων θλίψεις, τὸν σὸν λόγον δεδοικώς. Καὶ ποῖος οὗτος, ἢ τό· «Μὴ φοβήθητε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν ἀποκτεῖναι μὴ δυναμένων· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι εἰς γεένvην;[2]»

«Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.» Οὐ φόβῳ δὲ μόνον τὴν ὑπακοὴν τὴν πρὸς τοὺς θείους λόγους πεποιῆσθαί φησιν, ἀλλὰ καὶ χαρᾷ, ἥτις ἐπὶ πλούτῳ χαίρει πολλά. Βεβαιοτέρα δὲ τήρησις ἡ ἐν χαρᾷ γινομένη. Πολεμίων δὲ διωκόντων

1. Ἱερ. 23, 23. 2. Ματθ. 10, 28.

μνησθείς, καὶ σκύλων εἰκότως ἐμνήσθη. Οὐκ ἂν γάρ, φησί, πάντας ἀνελὼν καὶ σκυλεύσας, τοσοῦτον ᾠήθην, ὡς ἐπὶ τοῖς λόγοις τοῖς σοῖς. Ποίοις λόγοις, ἢ περὶ ὧν λέγει ὁ Παῦλος· «Πρῶτοι γὰρ ἐπιστεύσαμεν τὰ λόγια τοῦ Θεοῦ [1]», περὶ τῶν Ἰουδαίων φάσκων.

«Ἀδικίαν ἐμίσησα», κ.τ.λ. Οὐ γὰρ κατ' ἐκείνους νεκρὸν ἤμυνα καὶ σκῦλα λαβὼν βδελύττομαι· μόνον γὰρ ὠφέλιμον ἀδικίαν βδελύττεσθαι· διό σου καὶ δεόντως τὸν νόμον νοήσας ἠγάπησα, μηδαμῶς αὐτὸν ἕλκων ἐπὶ τὰ γήϊνα. Ἡμεῖς γὰρ ὡς συνεγερθέντες Χριστῷ τὰ ἄνω ζητοῦμεν, οὐ τὰ ἐπὶ τῆς γῆς.

«Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σοι.» Παρ' ὅλον τὸν βίον αὐτοῦ ὁ δίκαιος φωτιζόμενος ἐν ἡμέρᾳ ἔσται τελείᾳ, οὐ μεσολαβουμένῃ ὑπὸ νυκτός· καὶ αἰνεῖ τὸν Θεὸν ἑπτάκις ὑπερκόσμιος γεγονώς, τοῦ ἄνω κεχωρηκέναι τοῦ ἐν ἓξ ἡμέραις γενομένου κόσμου· ἅτε καὶ ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ γεγενημένος, τὸν τῆς δημιουργίας καὶ προνοίας Θεοῦ λόγον θεωρήσας, ἐξομολογεῖται ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης τοῦ Θεοῦ· καθ' ἃ κρίματα ἑκάστων ποικίλην δημιουργίαν καὶ πρόνοιαν ἔσχεν. Τὸ ἀδιάλειπτόν φησιν. Λέγει δέ, ὅτι διαπαντὸς ἐμνημόνευον τῶν σῶν κριμάτων, ὧν δικαίως ἐπήγαγες· τοὺς μὲν πλεονεκτήσαντας ἐκβαλὼν ἄρχοντας, τοὺς δὲ ἀδικηθέντας λυτρωσάμενος.

«Ἐγγισάτω ἡ δέησίς μου.......... Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε.» Ὅρα τῶν θείων ῥημάτων τὸ εὔτακτον. Πρῶτον γὰρ τό, «ἐγγισάτω·» εἶτα, τὸ μεῖζον, τό, «εἰσέλθοι τὸ ἀξίωμά μου·» πρὸ γὰρ τοῦ, εἰσέλθοι, τό, ἐγγίσαι. Ἐγγίσας γάρ τις οἰκίαν, ἐὰν ᾖ φίλος τοῦ οἰκοδεσπότου, εἰσέρχεται. Ἣν δὲ κέκληκε δέησιν, νῦν εἶπεν ἀξίωμα, παρὰ τὸ «ἀξιοῦν.» Μήποτε ὡς ἔστι κοσμικὰ καθ' ὑπεροχὴν ἀξιώματα, οὕτω καὶ ψυχικά; Ἀξίωμα γὰρ ἀπόστολον εἶναι Χριστοῦ· ἀξιώματα καὶ τάγματα τὰ ἐκκλησιαστικά. Ἀξίωμα δὲ ψυχῆς καὶ τὸ ἔχειν τὰς ἀρετάς, ἢ μίαν αὐτῶν. Ὁ τοιοῦτον ἔχων ἀξίωμα τὰ παρόντα φησίν.

«Ἐξερεύξοιντο τὰ χείλη μου ὕμνον.» Ἡ ἐρυγὴ ὡς ἐπὶ πᾶν γίνεται τοῖς κεκορεσμένοις. Οἶδεν οὖν ὁ θεῖος λόγος πνευματικὴν τροφήν. Αὐτὸς οὖν ὁ Λόγος φησὶν ἄρτος εἶναι. «Ἐγὼ γάρ εἰμι ὁ ἄρτος τῆς ζωῆς ὁ ἐξ οὐρανοῦ καταβάς· [2]» λέγει δὲ καί· «Ὁ τρώγων μου τὴν σάρκα ἔχει ζωὴν ἐν ἑαυτῷ.[3]» Τοῦτον δὴ φαγόντες, ὕμνον ἐρευγόμεθα. Τοιαύτης εὔχομαι τυχεῖν ἐρυγῆς. Ὅπερ ἀδύνατον, ἐὰν μή με διδάξῃς τὰ δικαιώματα.

«Φθέγξοιτο ἡ γλῶσσά μου τὰ λόγιά σου.» Εὔχεται ἃ δ' ἂν εἴποι λόγον εἶναι Θεοῦ, κατὰ τό· «Ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ.[4]» Ὁ δὲ τοιοῦτος ἀργὸν ῥῆμα οὐ λαλεῖ. Διό φησιν ὁ Παῦλος· «Τὸ γάρ, Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, καὶ εἴ τις ἑτέρα ἐντολή,

---

1. Ῥωμ. 3, 2. 2. Ἰω. 6, 35. 3. Ἰω. 6, 54. 4. Παρμ. 24 (Ἑβρ. 31, 8).

ἐν τῷ λόγῳ τούτῳ ἀνακεφαλαιοῦται τό, Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.[1]» Δικαιοσύνη γὰρ τοῦτό ἐστι τό· «Ἀγαπήσεις τὸν πλησίον σου.»

«Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με.» Δηλοῖ γὰρ οὐ τὴν κατ' οὐσίαν γένεσιν αὐτῆς, ἀλλὰ τὴν πρὸς τὰ σῳζόμενα σχέσιν. Ὁποῖον καὶ τό· «Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν.[2]»

«Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε.» Ἐὰν θέλῃς ἐπαναβῆναι τῷ λόγῳ, τὸ σωτήριόν σου ὁ Χριστός ἐστιν. Ἰησοῦς γὰρ ἑρμηνεύεται «Θεοῦ σωτηρία.» Οὗτος ἡμῖν ἐπέμφθη. Ἔργον ἐστὶ τὸ ἐπιποθεῖν τοῦ Θεοῦ τὸ σωτήριον. Οἱ γὰρ πολλοὶ τὸ κατὰ σάρκα ποθοῦσι. Τὸ δὲ τοῦ Θεοῦ, τὸ ἐν αὐτῷ σωθῆναι, τὸ ἐν αὐτῷ ἀναπαύεσθαι, κληρονομῆσαι τὰ ἅγια. Τοῦτο γάρ ἐστι τὸ σωτήριον τοῦ Θεοῦ, ἡ αἰώνιος ζωή. Ἀλλὰ καὶ Ἰησοῦς ἑρμηνεύεται «Θεοῦ σωτήριον», πεμφθεὶς ἡμῖν ἐπὶ σωτηρίᾳ· οὗ πρὸς τὸν πόθον ὁ θέλων ὁδεῦσαι μελετήσει τὸν νόμον.

«Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε.» Περὶ μελλούσης λέγει ζωῆς. «Ἡ γὰρ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.[3]» Τότε κυρίως αἰνέσω, τότε βοηθῆσαί μοι· τὰ ἐπιβόητα γενόμενα τῶν κρινομένων σοι κρίματα τῷ μὲν δικαίῳ χωρὶς βασάνων, τῷ δὲ δεομένῳ διὰ βασάνων.

«Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός.» Μετὰ τὸ εἰπεῖν περὶ αὐτοῦ ἔργα κατωρθωκότος, πάλιν πρόβατον ἑαυτὸν πεπλανημένον εἶναι λέγει, ταπεινοφροσύνην ἐπιτηδεύων, κατὰ τὸ εἰρημένον ὑπὸ Κυρίου· «Ὅταν πάντα κατορθώσητε, λέγετε· Δοῦλοι ἀχρεῖοί ἐσμεν.[4]»

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΙΘ'.

Ὑπόθεσις.

Τὴν πρώτην ᾠδὴν τῶν ἀναβαθμῶν ᾄδει τῷ Θεῷ ὁ ἐν Βαβυλῶνι λαός, ἀδημονῶν ἐπὶ τῷ μήκει τῆς αἰχμαλωσίας, καὶ εὐχόμενος ἐλευθερωθῆναι.

«Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα..... Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.» Πῶς γὰρ οὐκ ἄδικα χείλη τῶν Βαβυλωνίων, τὰ τὴν εἰδωλολατρείαν ὡμολογηκότα. Αὐτὴ δὲ καὶ γλῶσσα κληθείη δολία, ἅτε μηδὲν εὐθὲς λαλοῦσα περὶ Θεοῦ.

«Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα.» Τί πλέον δοθῆναί σοι αἰτεῖς, φησίν, ἢ τί θέλεις ἕτερον προστεθῆναί σοι τοῦ κατὰ τῶν δολίων χειλέων;

---

1. Ῥωμ. 13, 9. 2. Ψαλμ. 30, 3. 3. Κολ. 3, 3. 4. Λουκ. 17, 10.

Βέλη πυρὸς μεστὰ ἐξαφθῆναι παρὰ τοῦ δυνατοῦ. Σημαίνει δὲ τὴν κατὰ τῶν Βαβυλωνίων ὅσον οὔπω τιμωρίαν ἐσομένην.

«Οἴ μοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη.» Ἑτέραν αἴτησιν εὔχεται παρὰ Θεοῦ, τῆς παροικίας ἐλευθερωθῆναι. «Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ.» Χώρα τίς ἐστιν ἡ Κηδὰρ ἐπὶ τῆς ἐρήμου τῆς πρὸς ἀνατολὰς κειμένη, καὶ μέχρι της Περσῶν παρατείνουσα, ἣν γένος Σαρακηνῶν οἰκεῖ. «Πολλὰ παρῴκησεν ἡ ψυχή μου.»

«Μετὰ τῶν μισούντων εἰρήνην ἤμην εἰρηνικός.» Κακία Βαβυλωνίων τὸ πολεμεῖν ἀντ' οὐδενὸς τοῖς εἰρηνεύουσιν. Εἰ μή τι δέοι κριτικῆς τιμωρίας, ἣν κατὰ Χαναναίων καὶ Ἀμορραίων ἐπέταττεν ὁ Θεός, τὴν πρὸς αὐτοὺς ἀπαγορεύων φιλίαν. Οἱ δὲ φαῦλοι πρὸς τούτους ἀσύμβατοι, τὴν θεοσέβειαν βδελυττόμενοι. «Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.»

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΚʹ.

Ὑπόθεσις.

Τὴν δευτέραν ᾠδὴν ᾄδει, προαπολυθεὶς μὲν τῆς αἰχμαλωσίας, ἐν ὁδῷ δὲ ὁδεύων τῆς μακρᾶς ὁδοῦ τῆς μεταξὺ Βαβυλῶνος καὶ Ἱερουσαλήμ. Ὅς, καὶ μέσος τῶν ὀρέων ἀπολειφθείς, εὔχεται αὐτῷ βοήθειαν γενέσθαι· οὗ καὶ ἐπακούσας, τὸ Πνεῦμα τὸ προφητικὸν ἀποφθέγγεται· «Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου.»

«Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη. . . . . Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.» Τοῦ Θεοῦ δεικνύντος τὸ δυνατόν, «Τοῦ ποιήσαντος», φησί, «τὸν οὐρανὸν καὶ τὴν γῆν.»

«Μὴ δῴη εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.» Ταύτην ἔχε τὴν ἐλπίδα, καὶ σῴζῃ. Τὸ δέ, «οὐ νυστάξει», οὐ τὸ ἐπίπονον ἀπὸ τῶν φυλαττόντων τὰς στρατιὰς καὶ πόλεις καὶ ποίμνια, ἀλλὰ τὸ ἀπαθὲς τὸ Θεῖον δηλοῖ τό, «οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων Ἰσραήλ.» Δοκεῖ δὲ νυστάζειν, ἐπειδὰν τοῖς ἀστάτοις τοῦ βίου σαλευόμεθα πράγμασι, ταῖς καθ' ἡμῶν ἐπιβουλαῖς.

«Κύριος φυλάξαι σε, Κύριος σκέπη σοι, ἐπὶ χεῖρα δεξιάν σου.» Τοῦτο καὶ ἐν τῷ ιεʹ ἔφη ψαλμῷ· «Προεωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.[1]» Καὶ ἐνταῦθα πάλιν φησίν, ὅτι Παρὰ τὴν δεξιάν σου χεῖρα γενόμενος, καὶ σκεπάσει, καὶ φρουρήσει, καὶ πάσης ἀξιώσει προνοίας.

1. Ψαλμ. 15, 8.

Ὠδὴ τῶν ἀναβαθμῶν.
ΡΚΑ'.
Ὑπόθεσις.

Ἡ τρίτη ᾠδὴ τοὺς ἔτι ὁδοιποροῦντας εὐαγγελίζεται, τὴν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἄφιξιν. Διὸ καὶ ἀναφθέγγεται.

«Ηὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον Κυρίου πορευσόμεθα.»

«Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ.» Αὕτη τῶν γεγηρακότων ἡ φωνή, τῶν καὶ τὴν αἰχμαλωσίαν ὑπομεινάντων, διηγουμένων, ὡς ἄρα αὐτῶν οἱ πόδες, οἱ νῦν τὴν πορείαν ποιούμενοι, πάλαι ἔστησαν ἐν Ἱερουσαλήμ.

«Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις.» Οὕτω, φησίν, ἦν πάλαι ὡς πόλις, οὐ διεσπαρμένη ὧδε κακεῖσε· ἀλλ' οὕτως ἦν ἡρμοσμένη, ὡς δόξαι ἕνα οἶκον εἶναι τῇ συναφείᾳ καὶ τῇ ἁρμονίᾳ τῶν οἰκοδομημάτων.

«Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί.» Πᾶσαι αἱ φυλαί, φησίν, ἐξ Αἰγύπτου δυνάμει Κυρίου ἐξελθοῦσαι, εἰς αὐτὴν ἔσπευδον τὴν πόλιν μαρτυρῆσαι, ἤτοι εὐχαριστῆσαι τῷ Θεῷ τοῦ Ἰσραήλ. «Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.» Ἐφ' οἷς ἐπλήρωσε τὴν θαυμασίαν ὑπόσχεσιν, θρόνους τε τοῦ οἴκου Δαυὶδ ἱδρυνθῆναί φησιν ἐπ' αὐτῆς· ἐπεὶ καὶ βασιλείαν πάντων ὁ Δαυὶδ προφητεύει· οὐχ ἑνὸς λέγων ἀρχήν, ἀλλὰ κοινήν, ὑπὲρ ἀρίστων καὶ θεοσεβεστάτων· δι' ὧν βασιλεία Δαυὶδ ἀνορθοῦται χάριτι τοῦ Χριστοῦ, τοῖς δώδεκα δεδωκότος ἀποστόλοις, τοῖς ἐπὶ δώδεκα θρόνοις καθεζομένοις κρίνειν τὸν Ἰσραήλ.

«Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν.» Καὶ κατὰ τὴν ἱστορίαν ἐκεῖ τὰ βασίλεια, καὶ τῶν ἱερέων οἱ θρόνοι· ὥσπερ τινὶ διπλῷ στεφάνῳ καὶ διαδήματι καλλωπιζομένης τῆς πόλεως. Νῦν δὲ πάντων ἔκπτωσις, καὶ τῆς παλαιᾶς εὐδαιμονίας ἐλάχιστα λείψανα. «Θρόνοι ἐπὶ οἶκον Δαυίδ.» Ἐν ταύτῃ, φησί, τῇ πόλει, τουτέστι τῇ Ἱερουσαλήμ, θρόνοι ἐτέθησαν βασιλικοὶ κρῖμα δίκαιον κρίνοντες· ὧν πρῶτος κατῆρξε Δαυίδ, ἔπειτα οἱ ἐξ αὐτοῦ κατὰ σάρκα. Διὸ καὶ οἶκον αὐτοῦ ὀνομάζει τοῦ Δαυίδ.

«Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ.» Μαθόντες, ὦ οὗτοι, τίς ποτε ἦν Ἱερουσαλήμ, εὔχεσθε ὑπὲρ τῆς εἰρήνης αὐτῆς, μηδὲν ἐκζητοῦντες ἕτερον ἢ τὰ πρὸς εἰρήνην αὐτῆς συντελοῦντα.

«Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν τοῖς πυργοβάρεσί σου.» Ἀντὶ τοῦ, ἐν τοῖς βασιλείοις σου. Εὔχομαί σοι, φησί, τὰ ἀγαθὰ διὰ τοὺς ἐνοικοῦντας ἐν σοί, πλησίον ὄντας καὶ ἀδελφούς. Ταῦτα γὰρ οἱ γεγηρακότες εὔχονται τῇ Ἱερουσαλήμ, τὸ ἐν τοῖς τείχεσιν αὐτῆς εἶναι εἰρήνην. «Δυνάμει» γὰρ τὰ τείχη φησίν· ἢ καθ' ἕτερον λόγον τοὺς ἐν αὐτῇ ἁγίους.

«Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.» Ἐπεὶ ἐν σοί ἐστιν, ὦ Ἱερουσαλήμ, ὁ οἶκος τοῦ Θεοῦ ἡμῶν, ἀμειβόμενός σε «ἐξεζήτησα ἀγαθά σοι.»

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΚΒ'.

Ὑπόθεσις.

Ἡ τετάρτη ᾠδὴ εὐχὴν περιέχει τῶν ἐν τῇ ὁδοιπορίᾳ διὰ πολλῶν ἐτῶν τὴν ἐπάνοδον ποιουμένων. Οἵ καί, καμόντες κατὰ τὴν ὁδόν, ἐλέους καὶ οἴκτου δέονται τυχεῖν παρὰ τοῦ Θεοῦ, ὡς ἐξουθενημένοι παρὰ τῶν ἐθνῶν. Διὸ καὶ ἀναφθέγγεται πρὸς αὐτοὺς παραμυθούμενον τὸ Πνεῦμα, καὶ λέγον· «Τοῖς εὐθηνοῦσι τὸ ὄνειδος.»

«Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν.» Τῶν μὲν ἐχόντων τὸ πνεῦμα τῆς δουλείας[1] εἰς φόβον ὀφθαλμοὶ εἰς χεῖρας κυρίων τε καὶ κυρίας· τοῦ δὲ τὸ πνεῦμα τῆς υἱοθεσίας[2] ἔχοντος πρὸς Κύριον τὸν Θεόν.

«Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.» Ὁ ἀναδιπλασιασμός, δηλοῖ τὸ θερμὸν τῆς αἰτήσεως, οὐχ ὡς ἄξιοι τὸν ἔλεον αἰτοῦμεν, ἀλλ' ὡς ἐπονείδιστοι λίαν γενόμενοι.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΚΓ'.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν.

Ὑπόθεσις.

Τὴν πέμπτην ᾠδὴν ᾄδοντες οἱ ἐπιβάντες τῆς Ἰουδαίας γῆς, εὐχὰς ἀναπέμπουσιν, ἐφ' οἷς ἐρρύσθησαν ἀπὸ τῆς αἰχμαλωσίας καὶ τῶν μεταξὺ ἐχθρῶν.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΚΔ'.

Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών.

Ὑπόθεσις.

Τὴν ἕκτην ᾠδὴν ᾄδουσιν ἐπ' αὐτὸ τὸ ποθούμενον ὄρος γενόμενοι, Εἶτα ὁρῶντες τὴν πόλιν ἀτείχιστον, τεῖχος αὐτῇ τὴν τοῦ Κυρίου ἐπικουρίαν εὔχονται γενέσθαι, φησί, καὶ μὴν καὶ τῶν ἐχθρῶν θαρροῦσι διαφυγεῖν τὰς ἐπιβουλάς· ἐξ αὐτῆς δὲ τῆς ἐπικουρίας πάλιν τοῦ Θεοῦ,

---

1. Πρβλ. Ῥωμ. 8, 15. 2. Πρβλ. Ῥωμ. 8, 15.

«μὴ ἀφιέντος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων καὶ τῶν ἁγίων αὐτοῦ.»

«Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.» Ἡ γὰρ ὑπερέχουσα πάντα νοῦν εἰρήνη[1] μόνῳ τῷ νοῦν ἔχοντι δίδοται. Ἀλλὰ καὶ τῶν πολεμίων ἀπολωλότων, οὗτοι τῆς εἰρήνης ἀπήλαυσαν.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΚΕ'.

Ὑπόθεσις.

Τὴν ἑβδόμην ᾄδουσιν ᾠδὴν οἱ τὸ ἀσφαλὲς ἐσχηκότες τῆς λυτρώσεως διὰ τὸ ἐν αὐτῇ γεγενῆσθαι τῇ πόλει. Παρακαλοῦσι δὲ ὑπὲρ τῶν λοιπῶν, τῶν ἔτι ὄντων ἐν τῇ Βαβυλῶνι, ὅπως ἂν καὶ αὐτοὶ λυτρωθῶσιν.

«Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.» Οἱ ἀπόστολοι ταῦτα προφητεύονται περὶ ἑαυτῶν καὶ τῶν ἐν τοῖς ἔθνεσι. Κατὰ γὰρ τοὺς τοῦ Δαυὶδ χρόνους οὐκ ἦν αἰχμαλωσία. Τάχα οὖν περὶ τῆς νοητῆς ταῦτά φησι. Τὸ γάρ, «ἐροῦσι», προφητικῶς τὸ μέλλον δηλοῦται.

«Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν· Ἐμεγάλυνε Κύριος», κ.τ.λ. Τοῦτο δὲ ἡμᾶς πολυθρηνήτους παρὰ πᾶσιν ἀπέφηνεν. Ἅπαντες γὰρ τὴν τοῦ Θεοῦ μεγαλουργίαν θαυμάζουσιν, ὅτι τῆς πικρᾶς ἐκείνης ἡμᾶς δουλείας ἀπήλλαξε· καὶ ἡμεῖς μέντοι βοῶμεν, οὐ γὰρ ἀναισθητοῦμεν, εἰ καὶ μὴ τοὺς λοιποὺς ἀπειλήφαμεν· περὶ ὧν ἱκετεύομεν λέγοντες· «Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάρρους ἐν τῷ νότῳ.» Δηλοῦσι τὸ πολὺ πλῆθος ἐναπομεῖναν ἐν Βαβυλῶνι, ὡς καὶ τὴν ἐπιστροφὴν αὐτοῦ, παρεικάζειν αὐτοὺς τῷ ῥεύματι τοῦ Αἰγυπτίου ποταμοῦ. Νότον γὰρ τὴν ἔρημόν φησιν.

«Οἱ σπείροντες ἐν τοῖς δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι. Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον.» Τοῖς εὐξαμένοις περὶ τῶν καταλοίπων ἀποκρίνεται τὸ προφητικὸν Πνεῦμα, καί φησιν, ὅτι, Εἰ κλαύσαιεν ὑπὲρ τῶν ἐν Βαβυλῶνι, ἔσται καὶ αὐτοῖς ἡ ἐπιστροφή.

Ὠδὴ τῶν ἀναβαθμῶν τῷ Σολομῶνι.

ΡΚϚ'.

Ὑπόθεσις.

Ἡ ὀγδόη ᾄδεται ᾠδή, καταβεβλημένων ἤδη τῶν θεμελίων τοῦ ἱεροῦ· ἐλπιζόντων ἀδιάσειστον εἶναι τὸ τείχισμα. Λεληθότως οὖν προφητεύει τὴν ἐσομένην αὐτοῦ πτῶσιν πάλιν ἐπὶ τῆς Ῥωμαίων ἀρχῆς. Συνάπτει δὲ καὶ προφητείαν περὶ τῆς Χριστοῦ Ἐκκλησίας. Ἄδεται δὲ προφητικῶς ὑπὸ τοῦ Σολομῶνος· καθάπερ ἀμέλει καὶ

3. Πρβλ. Φιλιπ. 4, 7.

Ζαχαρίου εἰσὶ ψαλμοὶ καὶ Ἀγγαίου. Ἡ δὲ ὀγδόη εἰκότως ἀρχὴ τῆς Νέας Διαθήκης.

«Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.» Ὡς μέγα φρονούντων τῶν Ἰουδαίων ἐπὶ τῷ στερεῷ τῆς οἰκοδομῆς, τὰ τοιαῦτά φησιν.

«Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον, ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοί.» Μὴ μέγα φρονεῖτε, φησίν, ἐπὶ τῷ ἱερῷ, ὡς ἐν αὐτῷ τῆς κληρονομίας ὑμῶν διδομένης. Οὐ γάρ ἐστιν αὕτη. Ἀλλ' ὅταν ἀναπαύσῃ τοὺς ἠγαπημένους αὐτοῦ ἐκ τοῦ προτέρου λαοῦ, τουτέστι τοὺς προφήτας· τότε τοῖς ἐκείνου υἱέσι τὴν κληρονομίαν δώσει. Τίνες δ' ἂν εἶεν οὗτοι ἢ οἱ μαθηταί; Ἡ γὰρ θεία ὑπόσχεσις, καὶ ἡ περὶ τοὺς παῖδας εὐλογία, καθάπερ τις μισθὸς τοῖς ἐπ' αὐτὸν ἠλπικόσι δεδώρηται. «Ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.» Ὁ καρπὸς τῆς γαστρὸς εἴη ἂν ἡ σωτηρία τοῦ πνεύματος, κατὰ τό· «Ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς.[1]» Τούτου τοῦ καρποῦ μισθὸς ὥσπερ καὶ κληρονομία δοθήσεται ἡ υἱοθεσία.

«Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.» Ἐκτετιναγμένους τοὺς ἀπορριφέντας φησὶ τοῦ προτέρου λαοῦ· ὧν οἱ υἱοί, τουτέστιν οἱ ἀπόστολοι, γεγόνασι βέλη τοῦ δυνατοῦ. Δι' αὐτῶν τὰς ἀντικειμένας δυνάμεις κατετόξευσεν.

«Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν.» Ἐξ αὐτῶν μακαρίζει τοὺς ἐκ τῆς διδασκαλίας ὠφεληθησομένους. «Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.» Σαφῶς τὴν παρουσίαν τοῦ κηρύγματος δηλοῖ.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΚΖ'.

Ὑπόθεσις.

Ἡ ἐνάτη ᾠδὴ μακαρίζει τὸν προσελθόντα τῷ φόβῳ τοῦ Θεοῦ. Εἰκότως δὲ μετὰ τὴν ἀνάδειξιν τῶν ἀποστόλων μακαρίζει τοὺς πιστεύσαντας.

«Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον.»

«Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα.» Τῷ φοβουμένῳ τὸν Κύριον δῶρον δίδοται οὐχ ἡ τυχοῦσα γυνή, ἀλλ' ἡ καρποῖς ἀγαθοῖς κεκοσμημένη. Γυνὴ γὰρ ἀγαθὴ μερὶς ἀγαθή.

«Καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.» Τὰ νοητὰ δηλονότι· «Ἃ ὀφθαλμὸς οὐκ οἶδε[2]», καὶ τὰ ἑξῆς.

«Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου, εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.» Τὰς ἐπαγγελίας λέγει. Ὥσπερ γὰρ πρῶτοι καρποὶ τῆς θεοφιλοῦς ψυχῆς εἰσι τὰ γεννήματα, οὕτως καὶ δεύτεροι αἱ ἐπαγγελίαι.

---

1. Ἡσ. 26, 18. 2. Α' Κορ. 2, 9.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΚΗ'.

Ὑπόθεσις.

Ἡ δεκάτη ᾠδὴ τοὺς πολλοὺς διωγμοὺς τῷ Χριστοῦ λαῷ ἐκδιδάσκει, καὶ ὥσπερ πάντα ὑπερπηδήσει κρείττων ἀεὶ τῶν ἐπιβουλευόντων γενόμενος. Τοῦτό φησι διὰ τὸ ἀπ' ἀρχῆς τοῦ κηρύγματος γενέσθαι τοὺς διωγμούς.

«Πλεονάκις ἐπολέμησάν με.... Κύριος δίκαιος συνέτριψεν αὐχένας ἁμαρτωλῶν.» Πάντες γὰρ οἱ διώξαντες κακοὶ κακῶς ἀπολοῦνται.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΚΘ'.

Ὑπόθεσις.

Ἡ ἑνδεκάτη ᾠδὴ εὐχὴν περιέχει μαρτύρων, καὶ διδασκαλίαν ἐξομολογήσεως τῷ νέῳ λαῷ. Σαφῶς δὲ ἀρετῆς ἱλασμὸν κηρύσσει, ὅς ἐστι Χριστός. Περὶ αὐτοῦ γὰρ εἴρηται· «Καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν.[1]»

«Ἐκ βαθέων ἐξέκραξά σοι, Κύριε..........

«Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.» Ὦτα ἐπὶ Θεοῦ, καὶ τὰς ἀγγελικὰς δυνάμεις νοοῦμεν, δι ὧν αἱ δεήσεις ἡμῶν πρὸς Θεὸν εἰσέρχονται.

«Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται;» Ὁ δὲ τοῦ, «Κύριε, Κύριε», διπλασιασμὸς θαυμάζοντός ἐστι τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὸν ὄγκον, παρ' ἧς καὶ τὸν ἱλασμὸν εἶναί φησιν, ἀλλ' οὐκ ἐν τοῖς ἡμετέροις κατορθώμασιν.

«Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε.» Ταῦτα τῶν μὴ διὰ χρείαν πνευματικήν, δι' αὐτὸ δὲ τὸ σεπτὸν ὄνομα προσιόντων, «οὕτω καὶ ἐν ὑπομονῇ τρεχόντων τὸν προκείμενον ἀγῶνα[2]», καὶ κατὰ μηδ' ἕνα καιρὸν ἀφισταμένων Θεοῦ καὶ τῶν ἀρεσκόντων αὐτῷ.

«Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.» Δεῖ γὰρ καὶ ἐν τοῖς σκυθρωποῖς προσδοκᾶν ἐπὶ Κύριον. Οὐ γὰρ μόνον ὅτε φυλακὴ πρωῒ μὴ καὶ λαμπρὰ τὰ παρόντα, ἀλλὰ καὶ μέχρι τῶν ζοφερῶν περιστάσεων. Ἀλλὰ καὶ ἀνατέλλοντος τοῦ ἀληθινοῦ φωτὸς ὁ διορατικὸς νοῦς προσθήκην λαμβάνει ἐκ Θεοῦ τῶν φαιδρῶν, καὶ τῶν σκυθρωπῶν ἀπαλλαγήν· ἐλπισάτω παρ' αὐτῷ γὰρ ὡς ἐν πηγῇ, καὶ παρ' αὐτοῦ τὸ ἔλεος, τῷ αὐτῷ ὄντι λυτρώσει, καὶ τῷ ἱλασμῷ, τῷ ἱκανώσει πολλῇ τὰς ἁμαρτίας περικαθαίροντι.

1. Α' Ἰω. 2, 2. 2. Ἑβρ. 12, 1.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΛ΄.

Ὑπόθεσις.

Ἡ δωδεκάτη ᾠδὴ τὸν καταξιωθέντα τοῦ ἱλασμοῦ διδάσκει μὴ ἐπαίρεσθαι, τῇ ἑαυτοῦ βελτιώσει θαρροῦντα, ἀλλὰ ταπεινοφρονεῖν. «Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου.... οὐδὲ ἐπορεύθην ἐν μεγάλοις οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ», κ.τ.λ. Πρὸς δὲ τὸ μὴ ἐπαρθῆναί φησι τὴν ἐναντίαν ἀρετὴν εἰς ὑπερβολὴν ἐπιτήδειον, ἣν καὶ ὁ Σωτὴρ ἐδίδαξε λέγων· «Ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[1]» Ἀπογαλακτισθέντα δὲ λέγει παιδία, τὴν θλίψιν δηλῶν. Οὐ γὰρ ἀφίσταται τῆς μητρός, ὀδυνώμενον ἐπὶ τοῦ στερηθῆναι τοῦ γάλακτος. Οὕτως ὢν ἐν συμφοραῖς κἀγώ, φησίν, ηὐχόμην ἀεὶ τοῦ Θεοῦ. Εἰ δὲ μὴ οὕτως μὴ εἴην, δίκην δοίην ἐσχάτην.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΛΑ΄.

Ὑπόθεσις.

Ἡ τρισκαιδεκάτη ᾠδὴ εὐχὴν περιέχει ὑπὲρ τοῦ Δαυίδ. Τοῦ γὰρ ἱλασμοῦ πᾶσι προξενοῦντος ἁμαρτιῶν ἄφεσιν, ἀναγκαίως τὸ Πνεῦμα τὸ προφητικὸν μετὰ τῶν λοιπῶν τῶν σῳζομένων, καὶ τοῦ Δαυὶδ φησι· «Κύριε, μνήσθητι, κατὰ τὴν πραότητα αὐτοῦ ἀποδιδοὺς αὐτῷ.» Ὡς γὰρ αὐτὸς πρᾶος ὢν ἠφίει τῷ Σαοὺλ τὰ εἰς αὐτὸν ἀδικήματα, οὕτω καὶ αὐτῷ συγχώρησον τὰς πλημμελείας.

«Μνήσθητι, Κύριε, τοῦ Δαυὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ», καὶ τὰ ἑξῆς. Μαθὼν γὰρ ἐξ ἁγίου Πνεύματος, ὡς ἐπιδημήσει τοῖς ἀνθρώποις ὁ Κύριος, ἄφεσιν διδοὺς τῶν πολλῶν ἁμαρτημάτων, καὶ αὐτὸς σωθήσεσθαι διὰ ταύτης ἐλπίδας, σπεύδει μαθεῖν πότε ἔσται, καὶ ποῦ γενήσεται, τίνα δὲ τρόπον ἐπιδημήσει. Ταῦτα γνῶναι ποθῶν, εἰς τοσαύτην ἑαυτὸν ὑπέβαλε κάκωσιν, ὡς πᾶσαν μὲν παραιτεῖσθαι στρωμνήν, ἀποτάξασθαι δὲ τῷ οἴκῳ, κεῖσθαι δὲ πρὸ τοῦ Θεοῦ κατὰ πρόσωπον τοῦ ἁγιάσματος ἐπ' ἐδάφους, ὅρκῳ βεβαιώσας μὴ ἀναστῆναι πρὶν ταῦτα μαθεῖν. Ἐπὶ δὲ τῇ τούτου εὐτονίᾳ λαβὼν οἶκτον ὁ Θεὸς ἐπινεύει· ὡς ἓν ἅπαξ ὠμόσας μὴ ψεύσατο· ὅθεν ἐπήνεγκεν· «Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφρανθά·» αὕτη ἐστὶν ἡ Βηθλεέμ. Τίνα δὲ αὐτὴν ἢ τὴν μέλλουσαν ἔσεσθαι Κυρίου ἔλευσιν;

1. Ματθ. 18, 3.

«Εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.» Τὸ γὰρ σπήλαιον ἐν ᾧ γεγένηται ὁ Χριστὸς ἐν πεδίοις ἐστίν, ἤτοι τοῖς ἀγροῖς.

«Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ.» Τὰς κατὰ καιρὸν ἐσομένας Ἐκκλησίας σημαίνει. «Προσκυνήσομεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.» Τὸ ὄρος τῶν Ἐλαιῶν φησιν, ἔνθα πᾶς παρερχόμενος προσκυνεῖ.

«Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου.» Τὴν εἰς οὐρανοὺς ἀνάληψιν ἐπισπεύδουσιν αὐτοῦ. «Σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.» Κιβωτὸν τοῦ ἁγιάσματος τὴν ἁγίαν αὐτοῦ σάρκα φησίν.

«Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην.» Οὐκέτι, φησί, κατὰ τὸν νόμον στολάς, ἀλλ' αὐτὴν τὴν δικαιοσύνην. Δικαιοσύνη δὲ ὁ Χριστός.

«Ἕνεκεν Δαυὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου.» Μετὰ τῆς εἰς πάντας ἀνθρώπους εὐεργεσίας καὶ τοῦ Δαυὶδ μνήσθητι, ὁ ποιήσας αὐτὸν ἐπιστρέφειν διὰ τὴν ἁμαρτίαν. Δοῦλος γὰρ ὁ ἐξ αὐτοῦ κατὰ σάρκα λαβὼν τὴν τοῦ δούλου μορφήν.

«Ὤμοσε Κύριος τῷ Δαυὶδ ἀλήθειαν.» Καὶ ποῦ τό, ὤμοσεν; ἐν τῷ εἰπεῖν πρὸς αὐτόν· «Καὶ ἔσται, ὅταν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, ἀναστήσεται ἐκ τοῦ σπέρματός σου ἄλλος, ὃς ἔσται ἐκ τῆς κοιλίας σου. Καὶ ἑτοιμάσω εἰς τὸν αἰῶνα τὴν βασιλείαν αὐτοῦ. Αὐτὸς οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου· καὶ ἀνορθώσω τὴν βασιλείαν αὐτοῦ εἰς τὸν αἰῶνα. Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν.[1]»

«Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου.» Τὴν μέλλουσαν σαφῶς ἀνακηρύττει διαθήκην, ἣν εἰ ἦσαν φυλάξαντες οἱ κατὰ σάρκα υἱοὶ τοῦ Δαυίδ, ἔμελλον ἂν μὴ ἐκπεσεῖν τῆς ἡτοιμασμένης βασιλείας.

«Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα.» Εἰ γὰρ ὁ πάλαι ναὸς ἔρημος διὰ μανίαν τῶν Ἰουδαίων, ἀλλ' οὖν ἐκεῖ πάλιν καὶ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως, καὶ τῆς ἀναλήψεως τὰ χωρία τῆς θείας ἠξίωται χάριτος.

«Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω.» Ἕκαστος γὰρ τῶν τοιούτων, δικαίου σπέρμα τυγχάνων, οὐκ ἐλαττοῦται ἄρτοις. Γράφεται δὲ καί, «Τὴν χήραν αὐτῆς», καὶ δηλονότι τὴν ἀπροστασίαστον. «Τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων.» Τοὺς κατὰ Θεὸν μὲν πτωχεύσαντας· ἄρτων δὲ τῶν νοητῶν.

«Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν.» Αὐτός ἐστι πάλιν ὁ Χριστὸς ἡ σωτηρία, ὁ καὶ δικαιοσύνη ἐν τοῖς ἀνωτέροις ὠνομασμένος.

«Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυίδ.» Κατ' ἐκεῖνον τὸν χρόνον καθ' ὃν ἐπιφανεῖ τὸ σωτήριον, δηλονότι ἡ δόξα ἀνατελεῖ τοῦ Δαυίδ. «Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.» Τοῦτο περὶ Ἰωάννου φησί, κατὰ τὸ εἰρημένον παρὰ τοῦ Κυρίου· «Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαινόμενος.[2]»

---

1. Β' Βασ. 7, 12-14. 2. Ἰω. 5, 35.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΛΒʹ.

Ὑπόθεσις.

Ἡ τεσσαρεσκαιδεκάτη ᾠδὴ ἀκολούθως τῇ τοῦ Σωτῆρος ἐπιλάμψει τὸ ἐξ αὐτοῦ δωρούμενον τοῖς ἀνθρώποις καλὸν φανερὸν ποιεῖ λέγουσα.

«Ἰδοὺ δὴ τι καλόν, ἢ τί τερπνόν. Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα.» Ἐπειδάν, φησί, συναχθείη ἡ Ἐκκλησία, καὶ μίαν ὥσπερ τινὰ ἁρμονίαν ποιήσηται, τότε δὴ τότε καὶ χρίσις τοῦ ἁγίου Πνεύματος καὶ ἱεράτευμα προσαχθῇ πρῶτον μὲν ἐπὶ τὴν κεφαλὴν τῆς Ἐκκλησίας, ἥτις ἐστὶν ὁ Χριστός, ἔπειτα καὶ εἰς τὸν πώγωνα, ὅς ἐστιν εὐπρέπεια τοῦ προσώπου τῆς Ἐκκλησίας. Νοοῦνται δὲ διὰ τούτου οἱ ἀπόστολοι. Τὸ τελευταῖον δὲ καὶ εἰς ὅλον τὸ σῶμα μεταβέβηκε, τουτέστιν εἰς ἅπαντας τοὺς ἐν τῇ Ἐκκλησίᾳ ἐνδεδυμένους Χριστόν.

«Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, καὶ ζωὴν ἕως τοῦ αἰῶνος.» «Ἐκεῖ», φησί· δῆλον δέ, ὅτι παρ' αὐτοῖς τοῖς κατοικοῦσιν ἀδελφοῖς ἐπὶ τὸ αὐτό· «καὶ ζωήν·» οὐ τὴν τυχοῦσαν, ἀλλὰ τὴν ἀθάνατον. Ἐπὶ τὴν Σιὼν γὰρ ἡ τοῦ παναγίου Πνεύματος ἐπὶ τοὺς ἱεροὺς ἀποστόλους ζωοποιὸς κατεπέμφθη δρόσος, δι' ἧς ἅπαντες οἱ πιστεύοντες τὴν αἰώνιον εὐλογίαν καρποῦνται. Ἐκείνων γὰρ ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία.

Ὠδὴ τῶν ἀναβαθμῶν.

ΡΛΓʹ.

«Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.»

Ὑπόθεσις.

Ἡ πεντεκαιδεκάτη ᾠδὴ τοῖς ἔτι κατηχουμένοις ἐν τῇ Ἐκκλησίᾳ αἰνεῖν τὸν Θεὸν παρακελεύεται. Δούλους δὲ αὐτοὺς καλεῖ, ἅτε μήπω τῆς υἱοθεσίας ἠξιωμένους. «Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια.» Ἐν νυκτὶ ἔτι ἑστάναι αὐτούς φησιν, ἅτε μὴ φωτίσματος τοῦ ἁγίου Πνεύματος ἠξιωμένους.

«Εὐλογήσαι σε Κύριος ἐκ Σιών.» Ἐκ Σιὼν δέ φησιν· ἐπειδὴ καὶ τοὔνομα ποθεινὸν ὑπῆρχεν αὐτοῖς, ἔνθα πάσης ἁγιστείας ὑπόθεσις ἦν. Εἶτα διδάσκει πανταχόθεν καλεῖν λέγων· «Ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.»

'Αλληλούϊα.

ΡΛΔ'.

«Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, Κύριον.» Ἔτι καὶ οὗτος τοῖς εἰσαγομένοις λέγεται ψαλμός, παρακελευόμενος, Αἰνεῖτε τὸν Θεόν. Τὸ γάρ, «ἀλληλού», ἑρμηνεύεται, «αἰνεῖτε», τὸ δέ, «ἴα», τὸν Κύριον.

«Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος· ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν.» Ψάλλειν αὐτοὺς προτρέπεται, ἀφ' ὧν ἤδη καὶ ἕτερον ἐν Αἰγύπτῳ εἰδωλολατρήσαντες. Οὗτοι δὲ ἦσαν οἱ ἐξ 'Ιακώβ. 'Εκλήθησαν δὲ εἰς τὸ ὑμνεῖν τὸν Θεόν. «'Ισραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.» 'Αντὶ τοῦ, ἐξαίρετον· ὁ γὰρ διορατικὸς νοῦς ἐστιν 'Ισραήλ.

«Ὅτι ἐγὼ ἔγνων, ὅτι μέγας Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.» 'Απὸ τῆς δημιουργικῆς δυνάμεως ἔγνωκεν αὐτὸν Κύριον.

«'Εν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ἀβύσσοις. 'Ανάγων νεφέλας ἐξ ἐσχάτων τῆς γῆς.» Τοῦτό φησιν, ἐπειδὴ ἔξωθεν τὴν γῆν περιέχουσιν αἱ θάλασσαι, ἀφ' ὧν τὰς νεφέλας ἀνάγει. «'Αστραπὰς εἰς ὑετὸν ἐποίησε.» Καὶ τοῦτο σύμβολον εἴη τῆς θεοπρεποῦς δυνάμεως, τὸ ἐν τῷ αὐτοῦ συμμίξαι τὸ πυρῶδες τῶν ἀστραπῶν καὶ τὸ ὕδωρ. «Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτῶν.» Τὸ ἀκατάληπτον ἀνθρώποις τῆς τῶν ἀνέμων ἐδήλωσε φύσεως διὰ τῶν θησαυρῶν. Ὅμοιον δὲ τὸ εἰρημένον παρὰ Κυρίου· «Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει.[1]»

«Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους.» Τὴν τελευταίαν πληγὴν ἔθηκε πρώτην, ἐπεὶ μετ' αὐτὴν ἐδέξαντο τὴν ἐλευθερίαν. Λέγει δὲ καὶ κτηνῶν, ἐπειδὴ διὰ τὸν ἄνθρωπον ταῦτα γεγένηται, καὶ δι' αὐτὸν καὶ κολάζεται. Ὥστε πρὸς αὔξησιν φόβου δειχθῆναι θεήλατον τὴν πληγήν.

«Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.» Μετὰ τὸ δεῖξαι τὴν θείαν πρόνοιαν καὶ δοξολογῆσαι, ὡς ἔτι δούλοις τοῖς ἀπὸ τῶν ἐθνῶν ἀρτίως προσελθοῦσι διαλεγόμενος, παραβάλλει τῶν θεῶν ὧν ἡγοῦντο πάλαι τὸν ἔλεγχον ἀκολούθως· ὡς εἶπεν· «Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.» Ὁ μὲν γὰρ τοσαῦτα καὶ τοιαῦτα πεποίηκεν· οἱ δὲ πρότερον ὑμῶν θεοὶ μόνον εἴδωλα νεκρὰ καὶ κωφά, οἷς ὅμοιοι γένοιντο οἱ ποιοῦντες αὐτά. Πῶς γὰρ οἱ τοῖς ἀψύχοις προσκυνοῦντες οὐκ ἀπελιθώθησαν τὰς ψυχάς; καὶ οὓς ἔφη κατὰ τὴν συνήθειαν ἄνωθεν θεούς, νῦν ἐπαισχύνει καὶ κέκληκεν εἴδωλα, διαβάλλων τῇ τε ὕλῃ καὶ τῇ ἐργασίᾳ.

1. 'Ιω. 3, 8.

Ἀλληλούϊα.

ΡΛΕʹ.

«Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.»

«Τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις.» Λόγος ἀρχαῖός φησιν εἰς δώδεκα τμήματα διαιρεθεῖσαν τὴν θάλασσαν, ἑκάστῃ φυλῇ μίαν ἀποδοῦναι ὁδόν.

«Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ.» Οὐκ ἔλαττον τῆς θαλάσσης τῆς ἐρήμου τὸ θαῦμα. Πολλὰ γὰρ τὰ θάνατον ἀπειλοῦντα, λιμός, αὐχμός, δίψα, πλῆθος θηρίων, ἁπάντων ἐπιτηδείων ἡ ἐρημία. Οἱ δὲ μηδενὸς φοβοῦντος ἐβάδιζον. Ἐκ δὲ δύο δυνατῶν καὶ βασιλέων, οἳ ἐπὶ ῥώμῃ καὶ δυναστείᾳ καὶ μεγέθει σώματος ἐσεμνύνοντο, ἐρρύσατο αὐτούς. Ὢγ πηχῶν ἔχων ἐννέα τὸ μῆκος καὶ πέντε τὸ πλάτος, καὶ σιδηρᾶν εἶχε τὴν κλίνην.

«Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων.» Οὐχ ἁπλῶς δὲ τοὺς ἄλλους παραλείπων βασιλέας τούτων διαφερόντως ἐμνήσθη, ἀλλὰ τὸν λαὸν τῆς θεοδότου νίκης ἀναμιμνήσκων. Ἐπὶ ῥώμῃ γὰρ οὗτοι καὶ δυναστείᾳ καὶ μεγέθει σώματος ἐσεμνύνοντο.

«Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος.» Πλέον ἁρμόσει ὁ λόγος ὁ λέγων, «Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος», τοῖς τῆς νοητῆς δουλείας ἀπαλλαγεῖσιν, ἤτοι τῆς αἰσθητῆς.

«Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί.» Οὐ γὰρ μέχρι τῶν εὐσεβούντων ἡ τοῦ φιλανθρώπου Θεοῦ κηδεμονία, ἀλλὰ καὶ μέχρι τῶν ἀλόγων, ὡς ἑκάστῳ κατάλληλον διδόναι τροφήν, ἐκτείνεσθαί τε τὴν πρόνοιαν ἀπὸ τῶν κατ' οὐρανὸν θαυμάτων μέχρι τῶν ἐπὶ γῆς σμικροτάτων· ἐντεῦθεν δὲ πάλιν διῆκεν εἰς οὐρανόν. Διὸ μετὰ τό, «πάσῃ σαρκί», ἐπενήνοχεν· «Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ.» Καὶ πάντων ὧν ποιητής, οὐρανοῦ κατ' ἐξαίρετον χρηματίζει Θεός, ὑπὸ τῶν ἐκεῖ διαιτωμένων θεραπευόμενος. Καθαρὸν γὰρ ἁμαρτίας ἐστὶ χωρίον.

Τῷ Δαυὶδ διὰ Ἱερεμίου.

ΨΑΛΜΟΣ ΡΛϚʹ.

«Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν.» Διδάσκει ὁ λόγος τοὺς πολλοῖς ὕστερον χρόνοις ἐσομένους ἐν Βαβυλῶνι διὰ τὴν ἀνομίαν κλαίειν, ἀδημονεῖν, ἐπιζητοῦντας τῶν οἰκείων ἀγαθῶν τὴν ἀπόληψιν.

«Ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου.» Ἤτοι, μὴ τύχοιμι τῆς ἄνωθεν βοηθείας.

«Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ.» Τί γὰρ ὄφελος ἐρρῶσθαι λόγου ὄργανον, πρὸς τὸ δέον μὴ κρουόμενον; Διὸ καὶ τὴν ζωὴν ἅπασαν οἱ μακάριοι ἄνδρες τῇ περὶ τοὺς ὕμνους

ἂν ἦσαν φροντίδι λέγοντες· «Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου.[1]» Ἦν δὲ ἡ πόλις αὐτοῖς τιμία διὰ τὴν θείαν λατρείαν, ὡς προείρηται τό, «Ἕνεκα Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.»

«Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.» Τὴν σήν, φησί, μνήμην πάσης εὐφροσύνης προτάξω. Ἀγαθὰς γὰρ οὕτω καὶ τὰς λοιπὰς ἡμῖν εὐφροσύνας γενέσθαι συμβαίνει. Καὶ ὁ Κύριος δὲ τὰς ἱερὰς τροφὰς πρὸ τῶν σωματικῶν εἰσηγεῖται.

«Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδώμ.» Οἱ υἱοὶ Ἐδὼμ οἱ ἀπὸ Ἡσαῦ Ἰδουμαῖοι, οἳ καὶ ἁλούσης τῆς Ἱερουσαλὴμ ἐπενέβαινον πικρῶς, ἕως ἐκ θεμελίων αὐτὴν ἀνασπασθεῖσαν ἔγνωσαν.

«Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος.» Προφητικὸς ὁ λόγος κἀκεῖνος τῆς Βαβυλῶνος σημαίνει τὴν πόρθησιν. «Μακάριος ὃς ἀνταποδώσει τὸ ἀνταπόδομά σου.» Ἐκεῖνος, φησί, μακάριος ὁ ἀνταιχμαλωτεύων σε.

Τῷ Δαυὶδ διὰ Ζαχαρίου.

ΨΑΛΜΟΣ ΡΛΖ'.

Ὑπόθεσις.

Ὁ παρὼν ψαλμὸς προφητείαν περιέχει τῆς ἁπάντων ἐθνῶν κλήσεως· ἐφ' ᾗ καὶ εὐχαριστεῖ, ὅτι οὐ μόνος αὐτός, βασιλεὺς ὤν, ἠξίωται τῆς θείας θεοφανείας· ἀλλὰ καὶ πολλοὺς τῶν ἐθνῶν βασιλεῖς φησι τῆς αὐτῆς ἀξιωθήσεσθαι χάριτος, ὅπερ μόνον μετὰ τὴν ἐπιδημίαν γεγένηται.

«Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.» Ταύτην τῷ πλουσίῳ δέδωκεν ὁ Σωτὴρ τὴν ἐντολήν, εἰπών· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου.[2]»

«Καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου.» Ὡς παρόντων τῶν ἀγγέλων, καὶ τὴν κατὰ Θεὸν αὐτοῦ νίκην ἀεὶ ἐπιθεωρούντων. «Καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου ἐπὶ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου.» Εὐχαριστήσω, φησίν, ἐφ' οἷς τῆς μὲν σκιᾶς λελύτρωμαι, τῆς δὲ ἀληθείας ἠξίωμαι. «Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου.» Ἐπὶ τῇ τῶν ἐθνῶν κλήσει τὴν εὐχαριστίαν ἀναφέρειν λέγει. Οὐκ ἐφ' οἷς εὖ ἔπαθον μόνον εὐχαριστῶ· ἀλλὰ καὶ δι' ὅλου τὴν δόξαν τὴν σὴν θεωρῶν, δημιουργήσαντος, εὐεργετοῦντος, κολάζοντος. Οὐδὲν γὰρ τῆς κτίσεως ὃ μὴ τὴν σὴν μεγαλοσύνην κηρύττῃ.

«Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου.» «Πολυωρίαν» τὴν πολυχρονιότητά φησιν. Ὁ δὲ νοῦς· Δυνάμει τῇ σῇ μεταποιήσεις με ἐκ φθορᾶς εἰς ἀφθαρσίαν.

---

1. Ψαλμ. 103, 33. 2. Ματθ. 22, 37.

«Καὶ ᾀσάτωσαν ἐν ταῖς ᾠδαῖς Κυρίου, ὅτι μεγάλη ἡ δόξα Κυρίου.» Ὠδὰς Κυρίου ἀναγέγραφεν, ἃς ᾄδειν τοὺς ἐξ ἐθνῶν πάντας ἐπαγγέλλεται.

«Ὅτι ὑψηλὸς Κύριος καὶ τὰ ταπεινὰ ἐφορᾷ.» Μὴ θαυμάσῃς, φησίν, εἰ ταῦτα γενήσεται ἐν ἀνθρώποις· οὐ γὰρ ἀπηλλοτρίωται τῆς τοῦ Θεοῦ προνοίας τὰ ἀνθρώπινα. «Καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.» Προώρισε γὰρ ἀπὸ καταβολῆς κόσμου κατὰ τὸν θεῖον Ἀπόστολον τὴν κλῆσιν τῶν ἐθνῶν, καὶ τὴν εἰς τὰ ὑψηλὰ ἀναγωγήν.

«Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με.» Ὅμοιον τό· «Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.[1]» «Ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας τὰς χεῖράς σου.» Ἐπενήνεκται γὰρ κατ' αὐτῶν ἡ δεξιὰ τοῦ Πατρός, τουτέστιν ὁ Υἱός, ἥτις καὶ ἔσωσεν ἡμᾶς.

«Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ.» Κρίνας γὰρ τὴν καθ' ἡμῶν ἀδικίαν, ἐξέβαλε τὸν ἄρχοντα τοῦ κόσμου.

Εἰς τὸ τέλος τῷ Δαυὶδ ΨΑΛΜΟΣ διὰ Ζαχαρίου ἐν τῇ διασπορᾷ.

ΡΛΗ'.

Ὑπόθεσις.

Ἀναφέρεται μὲν ὁ ψαλμὸς εἰς τὸ τοῦ Ζαχαρίου πρόσωπον, ἔτι ὄντων ἐν τῇ αἰχμαλωσίᾳ τῶν υἱῶν Ἰσραήλ, καὶ μὴν καὶ αὐτοῦ τοῦ Προφήτου σὺν αὐτοῖς. Γράφει δὲ τῆς περὶ Θεοῦ εἰς ἡμᾶς κηδεμονίας τὸν τρόπον· καὶ ὡς οὐ μόνον τῶν καθόλου ποιεῖται πρόνοιαν, ἀλλὰ γὰρ καὶ τῶν κατὰ μέρος· ὡς μηδὲ τὰς κινήσεις, μηδὲ τὰς ἐνθυμήσεις ἡμῶν τῆς αὐτοῦ λείπεσθαι προνοίας. Ἀποθαυμάζει γε μὴν καὶ τῆς οἰκονομίας τὸ βάθος, τήν τε τῶν ἐθνῶν κλῆσιν κατασημαίνει σαφῶς, καὶ τὴν γεγενημένην ἀντιλογίαν τῷ Σωτῆρι Χριστῷ παρὰ τοῦ ἐξ Ἰσραὴλ λαοῦ. Διὰ δὴ ταῦτα καὶ εἰς τὸ τέλος ἐπιγέγραπται τῷ Δαυίδ. Εἴπομεν δὲ πολλάκις, ὡς οἱ οὕτω τῶν ψαλμῶν ἐπιγραφόμενοι εἰς τὸν τῆς ἐπιδημίας ἀναπέμπονται καιρόν.

«Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με.» Ὡς θαρρῶν βεβαίαν ἔχειν τὴν πίστιν τὴν εἰς Χριστόν, καὶ ὡς οὐδεμία αὐτῷ κοινωνία γένονε τῇ τοῦ φαύλου λαοῦ πανανομίᾳ, αὐτῶν τῶν καρδιῶν τὸν πλάστην ἐπικαλεῖται μάρτυρα.

«Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν, τὴν τρίβον μου καὶ τὸν σχοῖνόν μου σὺ ἐξιχνίασας.» Εἰ καὶ τῶν διανοημάτων οἶδε τὴν κίνησιν ὁ Θεός, πολλῷ πλέον τῆς κατὰ τὸν βίον πορείας ἔχει τὴν γνῶσιν. «Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας.» «Σχοινισμὸς» μὲν μέτρον ἐστὶν ὡρισμένον ὁδοῦ. Λέγει δέ, ὡς πᾶσαν

---

1. Ἰω. 16, 33.

κίνησιν λογισμοῦ ἐπίστασαι· τὰς γὰρ κινήσεις διὰ τῶν ὁδῶν σημαίνει.

«Ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου.» Καὶ τοῦτο μέγιστον τῶν κατορθωμάτων τῷ Δαυίδ, μὴ ἀδικῆσαι τὴν γλῶσσαν μήτε ἐν ψεύδει, μήτε ἐν ἐπιορκίᾳ, μήτε ἐν ἀπάτῃ καὶ δόλῳ, καὶ πάσῃ τοιαύτῃ ἄλλῃ ὁδῷ.

«Ἰδού, Κύριε, σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα.» Τὰ μέσα παρασεσιώπηται, διὰ τὸ τὴν κακίαν εἶναι ἐν τῷ μεταξύ. Οὐ γὰρ ἦν ἐν ἀρχῇ, οὐδὲ ἔσται πάλιν ἐν τέλει. «Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.» Εἰ καὶ ἔπλασάς με, φησί, καὶ γεγονότα διακρατεῖς· ἡ γὰρ ἐπίθεσις τῆς χειρὸς τοῦ Θεοῦ τὴν χορηγηθεῖσαν ἡμῖν τοῦ Πνεύματος δωρεὰν σημαίνει· ὡς οἱ ἀπόστολοι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν παρεῖχον Πνεῦμα ἅγιον.

«Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.» Ὃ λέγει τοιοῦτόν ἐστιν· Ὅτι ἕτερα πλεῖστά ἐστι τὰ ἀπὸ τοῦ Θεοῦ εἰς αὐτὸν γεγενημένα, καὶ οὐχ οἷός τέ ἐστι διαγινώσκειν. Ὑπερβάλλει γὰρ τὴν ἐμὴν δύναμιν, φησί, καὶ ἐπέκεινά ἐστι τῆς ἐμῆς καταλήψεως ἡ τούτων γνῶσις, ὡς μὴ δύνασθαί με ἐξευρεῖν ἢ ἐξειπεῖν αὐτά. Ὅσα γὰρ εἶπα σμικρὰ καὶ ἐλάχιστα τυγχάνει. Τῆς γὰρ θεϊκῆς δυνάμεως ἡ κατάληψις τὴν ἐμὴν σμικρότητα διαφεύγει.

«Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ.» Ὅμοιον τό, «Ὁ οὐρανός μοι θρόνος.[1]» «Ἐὰν καταβῶ εἰς ᾅδην, πάρει.» Προφητεύει τὴν γενομένην εἰς ᾅδου κάθοδον τοῦ Κυρίου.

«Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης.» Τουτέστιν, εἰ λάβοιμι πτέρυγας πτηνῶν μήπω κεκμηκότας· τοῦτο γὰρ σημαίνει τό, «κατ' ὄρθρον», νεαρὰς ἐν τῷ πέτασθαι καὶ δυνάμεως πεπληρωμένας. Ὁ δέ πως νοῦς οὗτος· Πάντα, φησί, περιειληφὼς Κύριος, καὶ πάντα προλαβὼν οἶδας, καὶ πανταχοῦ πάρει, καὶ πάντα πληροῖς ὡς Θεός. Εἶτα· Τίς γένωμαι, ἄν τι συμβῇ μοι ἁμάρτημα, καὶ εἰ γένοιτό μοι χρεία δρασμοῦ καὶ φυγῆς, σοῦ τοῦ Κυρίου πάντα ὑπειληφότος.

«Καὶ εἶπα· Ἄρα σκότος καταπατήσει με.» Τό, «καταπατήσει», ἀντὶ τοῦ, σκεπάσει καὶ ἀποκρύψει τῶν σῶν ὀφθαλμῶν. Ἀλλὰ καὶ τοῦτο, φησί, τὸ σκότος οὕτως ἐστὶν ἐν τῇ σῇ γνώσει, ὥσπερ ἂν εἴη καὶ αὐτὸ τὸ φῶς.

«Ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς.» Καθάπερ γὰρ ἐμοὶ ζοφώδης ἡ νύξ, οὕτως ἐστί σοι φωτεινή. Νεφροὺς δέ φησιν τοὺς φόβου ποιητικούς. Λέγει δέ, ὅτι Σὲ διαπαντὸς ἐφοβούμην, ἐπεὶ πρὸ ὀφθαλμῶν εἶχον τὴν σὴν κρίσιν. «Ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.» Εἰκότως, φησί, τὸν σὸν φόβον ἐκτησάμην, ἐπειδὴ κυόμενόν με ἡ σὴ περιφρουρεῖ πρόνοια.

«Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης.» Εὐκαίρως μετὰ τὴν προειρημένην θεολογίαν τὴν ἐξομολόγησιν ἀναφθέγγεται.

---

1. Ματθ. 5, 35.

«Θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.» Ἥτις ἐστί, φησίν, ἐμοὶ δύναμις ἀπόρρητος, καὶ αὐτή σοι τῷ Θεῷ φανερὰ τυγχάνει.

«Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ ὃ ἐποίησας ἐν κρυφῇ.» Οὐκ ἔλαθε, φησί, τῆς γυναικὸς ὁ ὄλισθος, ἣν ἐκ τοῦ ὀστέου μου λεληθότως ἐποίησας, ὕπνῳ βαρεῖ εὐνάσας με· ἀλλ' ἔγνως τὰ ἡμέτερα κρύφια, ὁ ἐκείνην κρυφίως ὑποστησάμενος. «Καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς.» Καὶ εἰ διαλυθείην, φησί, καὶ εἰς χοῦν πορευθείην, σοὶ πάλιν γνωστὸν τὸ τοιοῦτόν ἐστιν.

«Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου.» Πρὶν γενέσθαι, φησί, καὶ πρὶν μορφωθῆναι, οἱ σοὶ τῆς προγνώσεως ὀφθαλμοὶ ἐθεάσαντό με καὶ προεῖδόν με, οὐχ ἁπλῶς, ἀλλ' ὡς ἤδη ἐγκείμενον, καὶ συνηριθμημένον, καὶ ἐν τῇ βίβλῳ σου γεγραμμένον. «Ἡμέραι πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς.» Κατὰ πάσας τῆς ζωῆς αὐτῶν τὰς ἡμέρας εὐρύθμως καὶ εὐπλάστως ἑαυτοὺς διήγαγον, καὶ μηδὲ μίαν ἡμέραν αὐτοὺς ἄτυπον ἢ ἄπλαστον ἐσχηκέναι.

«Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός·» Ὅμοιον τό· «Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται.[1]» «Ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται.» Εὔελπίς εἰμι, φησί, τοὺς φίλους τιμῶν τοὺς σούς, ὅτι δὴ ἐν τῇ ἀναστάσει μετ' αὐτῶν στήσομαι, καὶ δι' αὐτοὺς τὴν παρὰ σοῦ κτήσομαι τιμήν. Τότε δή, φησί, καὶ οἱ ἁμαρτωλοὶ ἀποκτενοῖντο, τουτέστι, τὰς προσηκούσας ἀπολήψονται δίκας.

«Ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς, ὁ Θεός.» Εἰδὼς τὰς ἐσομένας κατ' αὐτῶν δίκας, ἔξω που ἀφορίζει αὐτοὺς ἑαυτοῦ. «Ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ, ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς.» Τὴν αἰτίαν φησὶ δι' ἣν ἀπελαύνει ἀφ' ἑαυτοῦ τοὺς ἁμαρτωλούς.
Διὰ τοῦτο, φησίν, ἐλαύνονται, ὅτι ἀντιφθέγγονται καὶ ἀντιφιλονεικοῦσι Θεῷ, καὶ μάτην ἐπαιρόμενοι καταλαζονευόμενοι τοῦ τῶν ἀνθρώπων βίου.

«Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα;» Ὅτι τοὺς μὲν σοὺς ἠγάπων καὶ ἀπεδεχόμην φίλους· τοὺς δὲ ἐχθρούς σου τελείως ἐμίσουν. Ἐχθροὶ δὲ τοῦ Θεοῦ πρώτως μὲν καὶ κυρίως οἱ ἀκάθαρτοι δαίμονες· δεύτεροι δὲ μετ' ἐκείνους οἵ τε τὴν εἰδωλολατρείαν πρεσβεύοντες καὶ οἱ τῶν αἱρέσεων ἀρχηγοί.

Εἰς τὸ τέλος ΨΑΛΜΟΣ τῷ Δαυίδ.

ΡΛΘ'.

«Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ.» Τῆς γενομένης ἀδικίας παρὰ τῶν δαιμόνων τῇ ἀνθρώπου φύσει κεκραγέναι πρὸς τὸν

1. Ματθ. 10, 41.

Θεὸν ποιῆσαι τὴν ἐκδίκησιν, καὶ μεταστρέψαι εἰς κεφαλὴν τῶν ἀδικούντων τὴν ἀδικίαν. Λεχθείη δὲ καὶ ἐπὶ αἰσθητῶν ἐχθρῶν τὰ λεγόμενα.

«Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρέτασσον πολέμους.» Οὐ γὰρ μόνον πονηροῖς ἐχρήσαντο λογισμοῖς, ἀλλὰ καὶ τὰ ἔργα προσέθηκαν τοῖς λογισμοῖς. Τὸ δέ, «ὅλην τὴν ἡμέραν», ὁ Σύμμαχος, «κατὰ πᾶσαν ἡμέραν», ἑρμηνεύει.

«Ἐχόμενα τρίβους σκάνδαλα ἔθεντό μοι.» Ταῦτα πάντα, φησίν, ἐποίουν, ἵνα τὸν δρόμον στήσωσι τῆς κατὰ Θεὸν πορείας, τοὺς πόδας αὐτοῦ παγίσι περιβάλλοντες, ἵνα τῆς ἐν Θεῷ στάσεως αὐτὸν καταβάλωσιν.

«Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ.» Ἐγώ, φησί, Κύριε, ἐπιθυμίαν ἐπιθυμῶ σωτηρίας· μὴ οὖν ἐγκαταλείπῃς με, ὥστε ταύτης παρατραπέντα παραδοθῆναι ἁμαρτωλῷ, ἤτοι τῷ διαβόλῳ. «Διελογίσαντο κατ' ἐμοῦ· μὴ ἐγκαταλείπῃς με, μήποτε ὑψωθῶσιν.» Ἐν *σκέπῃ* τῶν πτερύγων αὐτοῦ ἀξιοῖ σκεπασθῆναι, καὶ ὑπὸ τὴν κραταιὰν αὐτοῦ χεῖρα, ἀφ' ἧς οὐδεὶς δύναται ἁρπάσαι, ἵνα μὴ ὡς ἐπί τι ἄλλο τι μεγαλοφρονήσωσιν.

«Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν.» Ἐπ' αὐτούς, φησίν, ἔλθοι ὃ ἐβουλεύσαντο. Τοῦτο γὰρ σημαίνει ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν. Κεφαλὴ γὰρ τῶν ἁμαρτωλῶν ὁ λογισμὸς καὶ ἡ αἴσθησις. Τῆς οὖν ἐπιβουλῆς αὐτῶν τῆς κατ' ἐμοῦ, δι' ἧς ἐκύκλωσάν με ἡ ἀρχὴ καὶ ἡ κεφαλή, οὐ μὴν ἀλλὰ καὶ ὁ κόπος αὐτῶν, καὶ ὁ μόχθος ὁ κατ' ἐμοῦ, εἰς αὐτοὺς ἔλθοι. Οὓς καὶ δίκῃ παραδοθῆναι τῇ διὰ πυρός.

«Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες ἐν πυρί.» Οἷον γάρ τινι πυρὶ τῇ ὀργῇ καταναλώσεις αὐτούς. «Καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσι.» Περιπεσοῦνται συμφοραῖς, καὶ οὐ περιέσονται τούτων. Ταῦτα δὲ συμβαίνει τῷ Σαοὺλ ἐν τῷ κατὰ τοὺς ἀλλοφύλους πολέμῳ. Ἐκεῖ γὰρ σφαγεὶς ἐδέξατο τὸ τοῦ βίου τέλος.

«Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς.» Ἐκδέχεται μὲν τοὺς ἀσεβεῖς τὸ αἰώνιον πῦρ. Καὶ ἐν τούτῳ δὲ τῷ βίῳ εἰς τέλος οὐ κατευθυνθήσεται γλωσσώδης. Οὐδεὶς γὰρ μάχιμός τε καὶ λοίδορος, ὅς ἐστιν ἐν τῇ γεώδει προαιρέσει, κατευθύνεται, ὑπὸ τοῦ μάχιμος εἶναι στρεβλούμενος. Φιλαμαρτήμονες γὰρ ὄντες οἱ τοιοῦτοι, πῶς ὑπ' ἀρετῆς κατευθύνονται; «Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.» Ὥσπερ γὰρ ὑπὸ οἰκείας νόσου διαφθείρεται ἄνευ τῆς ἑαυτοῦ κακίας, δίκην δοὺς τὴν προσήκουσαν. Ἱκανὴ γάρ ἐστιν ἀντὶ πάσης τιμωρίας τὴν ἔχουσαν αὐτὴν ψυχὴν ἡ κακία διαφθείρειν.

ΨΑΛΜΟΣ τῷ Δαυίδ.

·ΡΜ'.

Ὑπόθεσις.

Ὅμοιος καὶ αὐτὸς τῷ ὀπίσω κεῖται, πλὴν δογματικώτερος. «Κύριε, ἐκέκραξα πρός σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ

τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.» Ἡ κραυγὴ τὸ σύντονον τῆς διανοίας πάντως δηλοῖ. Εὐμενῶς, φησί, Δέσποτα, δέξαι τὴν ἐμὴν ἱκετείαν.

«Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου.» Τὰ ἀπὸ διανοίας θυμιάμασι παρεικάζει, ἅτε λεπτὰ ὄντα, καὶ τῷ μόνῳ ἀνατιθέμενα τῷ Θεῷ. «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.» Τὰς πράξεις τὰς διὰ τῶν χειρῶν δηλουμένας θυσίᾳ παρεικάζει, ἅτε παχύτερα ὄντα παρὰ τὰς τῆς διανοίας αἱρέσεις. Τὸ δὲ ἑσπερινὴν φησιν, ὅτι χρὴ μέχρι τέλους πράξεις ἐπιτηδεύειν ἀγαθάς.

«Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.» Ἐπειδὴ μέγα οἶδε τὸ κατορθοῦν τῆς γλώσσης τὴν φυλακήν, τὸν Θεὸν αἰτεῖ ταύτης τὴν ἐγκράτειαν αὐτῷ χαρίσασθαι.

«Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας.» Τουτέστι μὴ συγχωρήσῃς παρατραπῆναι εἰς τὸ ἐναντίον τὴν ἅπαξ καλῶς κατασκευασθεῖσάν μου διάνοιαν· ἵνα μὴ νοῶ, φησίν, ἐννοίας παρανομίας.

«Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με.» Πᾶσαν μὲν παιδείαν δεξαίμην τοῦ δικαίου, τὴν εὐλογίαν δὲ καὶ τὴν κολακείαν τοῦ ἁμαρτωλοῦ μὴ λάβοιμι, δι' ἧς ὥσπερ ἔλαιον τὴν κεφαλήν μου καταχρίουσιν.

«Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.» Ἐγγύς, φησί, πέτρας γενόμενοι καταποντισθήσονται. Σημαίνει δέ, ὡς αὐτὸς αὐτοὺς ὁ Χριστὸς καταποντίσει εἰς τὴν ἄβυσσον. «Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν.» Ἔκβασις, φησί, τῆς κατ' αὐτῶν προλεχθείσης τιμωρίας, πίστιν ἀληθείας καὶ εὐπρεπείας τὰ ἐμὰ λάβοιεν ῥήματα.

«Ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς.» Πᾶν, φησί, τὸ γεῶδες ἡμῶν διερρήξαμεν, ταπεινοῦντες ἑαυτοὺς διὰ σέ· οὕτως ὡς πᾶσαν δύναμιν ἡμῶν μέχρι ᾅδου κατενεχθῆναι. Ὅμοιον δὲ τοῦτο τῷ, «Ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν.[1]»

«Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου.» Ἐγὼ δὲ οὐδενὶ τῶν ἀνθρωπίνων θαρρῶ· ἀλλὰ τὴν σὴν προσμένω βοήθειαν, καὶ παρακαλῶ ταύτης τὴν ἐμὴν μὴ γυμνωθῆναι ψυχήν. «Ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.» Ἀντὶ τοῦ· Μὴ ἐκχύσῃς ἢ ἐκκενώσῃς τῆς ἐλπίδος ἧς ἔχω πρὸς σέ.

«Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί.» Ἐμπέσοιεν, φησίν, εἰς τὰ ἑαυτῶν δίκτυα οἱ ἁμαρτωλοί. «Καταμόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω.» Τότε, φησί, παρελεύσομαι ἀφόβως καὶ ἀμερίμνως, ὅταν αὐτοὶ οἱ ἁμαρτωλοὶ τοῖς ἑαυτῶν περιπέσωσι δικτύοις. Ἐγὼ δὲ τούτων κεχωρισμένως διατελέσω ἕως ἂν δέξωμαι τοῦ βίου τὸ πέρας.

1. Ῥωμ. 8, 36.

Συνέσεως τῷ Δαυίδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ, προσευχή.

ΡΜΑ΄.

Ὑπόθεσις.

Προσευχὴ μὲν ἔστι καὶ οὐδὲν ἕτερον τὰ προκείμενα. Πλὴν ἀλλὰ δεῖται συνέσεως· ὅπως ἂν ἡμεῖς μάθωμεν τίνι τρόπῳ ἐν περιστάσεσιν ὄντες διαφυγεῖν δυνηθῶμεν τὰ πονηρά.

«Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα· φωνῇ μου πρὸς Κύριον ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου.» Ὅλην ὥσπερ τὴν διάνοιαν αὐτοῦ ἀνατέθεικε, φησί, τῷ Κυρίῳ. «Τὴν θλῖψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.» Τὸν περὶ αὐτῆς, φησί, τῆς ψυχῆς ἀγωνιζόμενος δρόμον, τὰς δεήσεις ἀναφέρω, τὰς θλίψεις διαδοῦναι εὐχόμενος. Ὡς οὐ δικαίως διώκομαι, ἐπίστασαι, φησίν.

«Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου.» Ταῦτα δὲ ἔδρων, τὴν ὑπερβολὴν θεώμενος τῶν κακῶν· παρ' αὐτὸν γὰρ ἐσκηνούμην τὸν θάνατον. «Καὶ σὺ ἔγνως τὰς τρίβους μου», θαρροῦντος τῇ τοῦ βίου πορείᾳ καὶ ταῖς πράξεσι τό, «Σὺ ἔγνως τὰς τρίβους μου.» Ὁρῶν δὲ τοὺς νοητοὺς τῆς ψυχῆς ἐχθροὺς παρασκευάσαντας εἰσελθεῖν τὸν Σαοὺλ εἰς τὸ σπήλαιον ὑπὲρ τοῦ συλληφθῆναι τὸν Δαυίδ, εἰκότως ἐλέγετο· «Ἔκρυψαν παγίδα μοι», ἣν ἡ παροῦσα κατήργησε προσευχή. Τὸ γὰρ ἐπ' ἀνθρώποις, συλληφθεὶς ἐν τῷ σπηλαίῳ, δρασμοῦ παντὸς ἀποκέκλειστο, καὶ οὐκ ἦν ὁ ῥυόμενος, ἢ ἐκζητῶν αὐτοῦ τὴν ψυχήν.

«Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην ἔκρυψαν παγίδα μοι.» Εἴ τις τὸν ἐν τῷ σπηλαίῳ λογίσηται τόπον, εὑρήσει προσηκόντως τὰ εἰρημένα. «Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.» Παρατιθέντες τὰς ἀγχιθύρους κακίας τοῖς ἀσκουμένοις ἀρεταῖς. Οἷον ὁδεύοντι ἐπὶ σοφίαν, ἔκρυπτον παγίδα, σοφίαν οὐ Θεοῦ· καὶ ζητοῦντι γνῶσιν, παρετίθεσαν τὴν ψευδώνυμον. Ἔχει δέ τινα ὁμοιότητα τὸ ῥητὸν πρὸς τό, «Ἐχόμενα τρίβου, σκάνδαλα ἔθεντό μοι.» Δύνανται δὲ καὶ αἱ ὑπερβολαὶ δηλοῦσθαι παγίδες, εἰς ἃς ἐμπίπτει ὁ μὴ φυλαττόμενος, περὶ ὧν λέγει· «Κατενόουν εἰς τὰ δεξιά.» Τοῖς γὰρ φιλοτιμοτέροις εἰς δεξιὰ παγίδες.

«Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.» Οὐ γὰρ ἦν ἀποδιδράσκειν ἐκ τοῦ σπηλαίου τῶν ἔμπροσθεν κατεχομένων ὑπὸ τοῦ Σαούλ. Οὐδείς, φησί, τῆς ἐμῆς ψυχῆς τὴν σωτηρίαν ἐπιζητεῖ.

«Ἐκέκραξα πρὸς σέ, Κύριε.» Ἐπ' αὐτῷ γὰρ μόνῳ δεῖται τὰς ἐλπίδας τῆς σωτηρίας.

«Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου.» Ταῦτά φησιν ὡς πρὸς τὸν τοῦ σπηλαίου τόπον. Ὁ δὲ Σύμμαχος· «Ἔξω ποίησον ἀποκλεισμοῦ τὴν ψυχήν μου. Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.» Ἐπειδάν, φησί, ταύτης με τῆς θλίψεως ἀπέλυσας καὶ τῆς εἱρκτῆς, εὐχαριστη-

ρίους ἀναπέμψω ᾠδάς. «Ἐμὲ ὑπομένουσι δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι.» Ἐὰν ἐξαγάγῃς με, φησίν, ἐντεῦθεν ἀμειψάμενός μου τὰς ἀγαθὰς πράξεις, καὶ οἱ λοιποὶ δίκαιοι ἐμὲ ὑπόδειγμα πρὸ ὀφθαλμῶν ἔχοντες, καὶ ἐκ τῶν κατ' ἐμὲ τὰ κατ' αὐτοὺς ἀποταμιευόμενα, ἀποδώσουσί σοι τὰς λιτὰς καί σοι προσδραμοῦνται.

ΨΑΛΜΟΣ ᾠδῆς τῷ Δαυίδ, ὅτε κατεδίωκεν αὐτὸν ὁ υἱὸς αὐτοῦ Ἀβεσσαλώμ.

ΡΜΒ'.

Ὑπόθεσις.

Καὶ οὗτος ὁμοίαν ἔχει τοῦ πρὸ αὐτοῦ τὴν ὑπόθεσιν. Εὔχεται γὰρ ἀπὸ τῶν διωκόντων ῥυσθῆναι, ὡς ὁ Ἀπόστολός φησι. Τυπικῶς δὲ ταῦτα συνέβη τοῖς ἀρχαιοτέροις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν. Διδασκόμεθα τοίνυν ἐν περιστάσεσιν ἐπὶ μόνον καταφεύγειν τὸν Θεόν. Ἰστέον δὲ ὅτι ἀναφέρεται εἰς τὸ τῆς ἀνθρωπότητος πρόσωπον ἡ προσευχὴ καταδιωκομένης καὶ θλιβομένης ὑπὸ τοῦ πλεονεκτήσαντος Σατανᾶ, οὗ καὶ ῥυσθῆναι εὔχεται διὰ τῆς παρουσίας τοῦ Μονογενοῦς.

«Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου.» Εἰσακουσθῆναι, φησίν, ἀξιῶ διὰ τῆς σῆς ἀληθείας. Ὅμοιον δὲ ὡσεὶ λέγοι· Ἔσο μοι ὑπήκοος, τὸν Μονογενῆ σου ἀποστείλας, ὅς ἐστιν ἀλήθεια καὶ δικαιοσύνη.

«Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡσεὶ νεκροὺς αἰῶνος.» Σκοτίαν τὴν ἀγνωσίαν ἣν ἔσχε ποτὲ δηλοῖ. Οὐδὲν γὰρ διεφερόμην νεκροῦ. Νεκροὺς αἰωνίους τοὺς πάλαι εἰδωλολάτρας φησίν.

«Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.» Ἐν ταῖς ἐσχάταις περιστάσεσιν, ἐπειδὰν ἀνακινδυνεύει τινὸς ἡ ψυχή, προσήκει τοῦτο λέγειν, οὐ μὴν ἐν ἀνθρωπίνοις πράγμασιν ἀναγκαίως κεχρῆσθαι.

«Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου.» Τὴν πρωϊνὴν ἀνάστασιν τοῦ Κυρίου λέγει· ἢ τάχα καὶ τὴν πρωϊνὴν ἀνάστασιν εὔχεται παραγενέσθαι Χριστοῦ, δι' ἧς ἐλεούμεθα.

«Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι.» Τῆς εὐαγγελικῆς διδασκαλίας εὔχεται τυχεῖν.

«Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου.» Τῶν νοητῶν δηλονότι.

Τῷ Δαυὶδ πρὸς τὸν Γολιάθ.

ΡΜΓ'.

«Εὐλογητὸς Κύριος ὁ Θεός μου.» Ἐκ περιχαρείας τὸ προοίμιον. «Ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν.» Χεῖρας τὰς πράξεις φησὶν εἶναι τὰς κατὰ θεοσέβειαν γενομένας, δι' ὧν πολεμοῦμεν τὸν Σατανᾶν.

«Ἄνθρωπος ματαιότητι ὡμοιώθη.» Ἕκαστος τῶν ἀνθρώπων τῷ κόσμῳ τούτῳ ὡμοιώθη.

«Ἄστραψον ἀστραπήν, καὶ σκορπιεῖς αὐτούς.» Ἀστραπὴν τὸ εὐαγγελικὸν κήρυγμά φησιν.

«Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους· ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητας.» Τῶν περικυκλωσάντων ἡμᾶς λογισμῶν ὑπὸ τῆς τῶν δαιμόνων ἐπιβουλῆς. Ἢ καὶ ὕδατα τὸν τῶν Ἰουδαίων φησὶ λαὸν τὸν κυκλώσαντα τοὺς ἀποστόλους, ἐν τῷ συσχεῖν καὶ ἀπολέσαι. Καὶ οὗτοι εἶεν υἱοὶ ἠλλοτριωμένοι, οἱ καὶ μάταια λαλοῦντες. Καὶ ποῖα μάταια, ἢ τὸ λέγειν τῷ Χριστῷ· «Πῶς σύ, ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν; [1]»

«Ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι.» Τὴν εὐαγγελικὴν δηλονότι. Ἐξ αὐτοῦ δὲ τοῦ προσώπου τοῦ Δαυὶδ ὁ λόγος ἐστίν. «Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι.» Ψαλτήριον δεκάχορδον τὸ σῶμά ἐστιν, ἅτε πέντε αἰσθήσεις ἔχον, καὶ πέντε ἐνεργείας ψυχῆς, δι' ἑκάστης αἰσθήσεως γιγνομένης ἐνεργείας ἑκάστης.

«Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσιν ἡμῶν.» Τοῖς ἁγίοις ἀποστόλοις, οὓς κατέστησεν ἄρχοντας αὐτῶν ὁ Χριστός. «Τῷ λυτρουμένῳ Δαυὶδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς· ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.» Διὰ γὰρ τὰς πρὸς ἐκείνους συνθήκας πᾶσαν ἡμῶν κηδεμονίαν ποίησον. Ῥομφαίαν γὰρ πονηρὰν τῶν ἐπελθόντων τὸ μανικὸν καὶ θηριῶδες ἐκάλεσε· τοὺς δὲ αὐτοὺς ἀλλοτρίους, ὡς δυσσεβεῖς.

«Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν.» Τοῦ κατὰ σάρκα λαοῦ υἱοί, φησίν, εὐθαλεῖς εἰσι· τοῦ δὲ κατὰ πνεῦμα τεταπεινωμένοι. «Οὗτοι γάρ εἰσιν οἱ λέγοντες· Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται.[2]»

«Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.» Τῷ ἐπιγείῳ κόσμῳ. Διὸ καὶ οὐ ναὸς Θεοῦ γεγόνασιν, ὡς αἱ ἅγιαι τῶν πιστευσάντων ψυχαί, ἀλλ' ὁμοίωμα ναοῦ· προσεποιοῦντο γὰρ τὴν κατὰ νόμον ἐπιτηδεύουσαι πολιτείαν. Ἀλλ' οὐκ ἔσχον ἐν αὐταῖς τὸν Λόγον, ἀλλὰ τὸ πονηρὸν πνεῦμα.

«Τὰ ταμιεῖα αὐτῶν πλήρη ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο.» Ἐθησαύρισαν γὰρ οὐ τὸν οὐράνιον, ἀλλὰ τὸν ἐπίγειον πλοῦτον.

«Τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν.» Πίονα δὲ αὐτῶν καὶ πολύγονα τὰ κτήνη. «Οὐκ ἔστι κατάπτωμα φραγμοῦ οὐδὲ διέξοδος.» Πολλήν, φησίν, ἔσχον τὴν εὐημερίαν· ἀλλ' οὐ μέχρι τέλους αὐτοῖς στήσεται. Τοῦτο γὰρ ἐν ἄλλῳ ψαλμῷ ἐδίδαξεν εἰπών· «Κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.[3]»

«Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι· μακάριος ὁ λαὸς οὗ Κύριος

1. Ἰω. 10, 33. 2. Β' Κορ. 4,16. 3. Ψαλμ. 72,18.

ὁ Θεὸς αὐτοῦ.» Οἱ μὴ ὀρθῶς κρίνοντες, ἀλλὰ καὶ αὐτὰ φανταζόμενοι τὰ σαρκός, τὸ τούτων ἐν ἀπολαύσει γενέσθαι πολλῇ μακάριον εἶναι νομίζουσιν. Οὐκ ἔστι δὲ τοῦτο μακάριον· ἀλλὰ τὸ ἐπικαλεῖσθαι Κύριον τὸν Θεὸν αὐτοῦ.

Αἴνεσις τῷ Δαυίδ.

ΡΜΔ′.

«Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου.» Οὐχ ὡς μὴ ἔχοντι δὲ δίδωσιν ὕψος· ἀλλὰ τοῖς ἄλλοις δείκνυσιν ἔχοντα. Ὁποῖον· «Πάτερ, δόξασόν σου τὸ ὄνομα ἐν τῇ γῇ.[1]» Οὐ γὰρ ἣν μὴ εἶχεν αἰτεῖ, ἀλλ' ἣν καὶ εἶχε δειχθῆναι· ὡς δηλοῖ τό· «Δόξασόν με τῇ δόξῃ ᾗ εἶχον παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι.[2]»

«Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε.» Ἀρχὴ παρ' Ἑβραίοις τοῦ παρόντος στίχου τὸ «Βήθ.» Διδάσκει δὲ ὡς οὐ μίαν ἡμέραν παραπεμπτέον ὕμνων χωρίς. Ὅλῃ μὲν οὖν ψυχῇ καὶ διανοίᾳ ὑψοῦν δεῖ καὶ εὐλογεῖν τὸν Θεόν· τὸ ὄνομα δὲ αὐτοῦ δοξάζειν θνητοῖς ὀνόμασί τε καὶ ῥήμασιν.

«Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου.» Τὴν ἀμφοτέρων φησὶ λαῶν συναχθεῖσαν Ἐκκλησίαν ἔκ τε τῶν ἐκ περιτομῆς καὶ τῶν ἐξ ἐθνῶν. Ἔργα δὲ αὐτοῦ, ἃ πεποίηται ἐν τῇ ἐπιδημίᾳ φησί· πολυτρόπως δὲ αὐτὰ ὑμνεῖ· δύναμιν, καὶ μεγαλοπρέπειαν, καὶ δόξαν, καὶ ἁγιωσύνην, καὶ θαυμάσια· καὶ πάλιν δύναμιν καὶ μεγαλωσύνην καὶ χρηστότητα, καὶ δικαιοσύνην καὶ οἰκτιρμοὺς προσαγορεύων.

«Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι.» Πρακτικῶς ἐροῦσι καὶ μετὰ ὀρθοῦ φρονήματος. Οἷόν ἐστι· «Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.[3]» Καὶ τό, «Ἀλαλάξατε Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως·[4] ὅτι Κύριος ὕψιστος φοβερός.» Ταῦτα γὰρ ἐροῦσι δι' αὐτοῦ τοῦ φοβεῖσθαι καὶ σέβας ἔχειν Θεοῦ. Διηγήσονται δὲ καὶ ὡς πέρας οὐκ ἔχουσαν αὐτοῦ τὴν μεγαλωσύνην, οὐ περιγράψαντες γνώσει, ἀλλ' ὡς οὖσαν ἀκατάληπτον· μόνος γὰρ ὁ Υἱὸς γινώσκει τὸν Πατέρα, καὶ ὁ Πατὴρ τὸν Υἱόν. Εἰ δὲ καὶ ἀποκαλύπτει τὸν Πατέρα οἷς βούλεται, ἀλλ' οὖν ὡς ἐφικτὸν γενητοῖς ἰδεῖν, κατὰ ἀναλογίαν ἧς τις ἔχει προπαρασκευῆς.

«Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται.» Πᾶσι μὲν αὐτός, ἅτε Θεὸς ὢν ἀγαθός, ἐπιδέδωκε τὴν χρηστότητα, καὶ οἰκτείρει πάντα τὰ ἔργα αὐτοῦ. Σῴζονται δὲ οἱ τῆς χρηστότητος αὐτοῦ ἀπολαύειν ἐθέλουσιν.

---

1. Ἰω. 12, 28. 2. Ἰω. 17, 5. 3. Ἑβρ. 10, 31. 4. Ψαλμ. 46, 2.

ΨΑΛΜΟΣ ΡΜΕ'.

«Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω τὸν Κύριον ἐν τῇ ζωῇ μου.»

«Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.» Ἐν τῷ καιρῷ τοῦ θανάτου, φησί, πάντα ὅσα ἐφρόνησεν ἠχήσονται, καὶ οὐδὲν ἔσται ὧν ἐφαντάζετο ἐπὶ γῆς.

«Διδόντα τροφὴν τοῖς πεινῶσι.» Πνευματικὴν δηλονότι τοῖς λιμώξουσι παντὸς ἀγαθοῦ.

ΨΑΛΜΟΣ ΡΜϚ'.

«Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός.» Ἐν μὲν τῷ προλαβόντι αὐτὸς ἑαυτὸν παρῄνει εἰς μόνον τὸν Θεὸν ἔχειν τὴν ἐλπίδα· ἐν δὲ τούτῳ τὸν ἀποστολικὸν χορὸν δείκνυσι διδάσκοντα τὸ πλῆθος αἰνεῖν τὸν Θεόν, ἐφ' οἷς τὸ γένος εὐηργέτησεν.

«Ἀναλαμβάνων πραεῖς ὁ Κύριος.» Πραεῖς μὲν τοὺς τὴν πίστιν αὐτοῦ δεξαμένους φησί, τοὺς μιμησαμένους τὸν εἰπόντα· «Πρᾷός εἰμι ἐγώ.[1]» Ἐγὼ δὲ τοὺς ἁμαρτωλοὺς μισῶ, φησίν, οἵτινές εἰσιν οἱ ἀκάθαρτοι δαίμονες, οἱ τῷ πυρὶ ἐνοικοῦντες.

«Καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.» Δουλείαν τῶν ἀνθρώπων φησὶ βοῦς, καὶ ἡμιόνους καὶ τὰ ἕτερα τῶν κτηνῶν.

1. Ματθ. 11, 29.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ*

(ΑΠΟΣΠΑΣΜΑΤΑ)

Ex Nicetæ metropolitæ Heracleæ catena expositionum, sive ut ipse vocat, Συναγωγῇ ἐξηγήσεων, ex Græcis Patribus in Psalmos collecta.

Nicetas hic in prœmio tertiam ex quinque, quas sibi præmittendas esse quæstiones censuit, hanc, τί τὸ Ψαλτήριον, explicans, addito nomine 'Αθανασίου, sequentia subjicit.

Ἔστι τοίνυν τὸ ψαλτήριον ὄργανον μουσικὸν δεκάχορδον, ἐκ τῶν ἄνωθεν μερῶν τῆς κατασκευῆς ἀποτελοῦν τὸν ἦχον, ἐναρμονίως τοὺς φθόγγους πρὸς τὴν ἐκ τῆς φωνῆς μελῳδίαν ἀποδιδόν· παρὰ μὲν Ἑβραίοις ναῦλα λεγόμενον, παρ' Ἕλλησι δὲ κιθάρα ὀνομαζόμενον. Κατεσκεύαστο γὰρ αὐτοῖς ὀρθὸν ξύλον καὶ ἀπαρέγκλιτον, χορδαὶ ἐν τούτῳ δέκα ἐτείνοντο. Ἑκάστη δὲ τῶν χορδῶν εἰς τὸ ἀκροτελεύτιον τοῦ ψαλτηρίου διῃρημένως ἐναπεσφίγγετο· αἱ δὲ ἀρχαὶ τῶν χορδῶν καθίεντο ἄνωθεν. Δέκα γὰρ κόλλαβοι εἴτουν πασσαλίσκοι, περὶ τὸν πῆχυν τοῦ ψαλτηρίου στρεφόμενοι, ἔτεινόν τε τὴν χορδὴν καὶ ἐχάλων πρός τε τὸν ῥυθμὸν τῆς ἁρμονίας καὶ πρὸς τὸ τοῦ ψαλτηρίου βούλημα. Καὶ τοῦτό ἐστιν ὅ φησιν ὁ μέγας Βασίλειος, κ.τ.λ.

Idem explicans ista psalmi II, «Convenerunt reges terræ», etc., ponit:

'Αθανάσιος. Διὰ τί δὲ οἱ βασιλεῖς Ἡρώδης ὁ Ἀσκαλωνίτης καὶ Πιλᾶτος ὁ Πόντιος παρέστησαν, τουτέστι παρετάξαντο καὶ ἐπῆλθον κατὰ Χριστοῦ; Διὰ τί δὲ οἱ ἄρχοντες τῶν Ἰουδαίων οἱ ἀσεβεῖς, καὶ λοιμοί, καὶ ἁμαρτωλοί, Γραμματεῖς, καὶ Φαρισαῖοι, καὶ νομικοί, εἰς ταὐτὸν συνέδραμον, καὶ κατὰ τοῦ Κυρίου, τουτέστι τοῦ Πατρός, καὶ κατὰ τοῦ Χριστοῦ ἐλύττησαν, τουτέστι τοῦ Υἱοῦ αὐτοῦ; «Ὁ γὰρ μὴ τιμῶν τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα τιμᾷ.[1]» Τάχα μὲν οὖν, ἐπειδὴ τὰ παρ' ἐκείνοις τετολμημένα τοῦ Κυρίου μᾶλλον τὴν δύναμιν ἔδειξε, καὶ εἰς τοὐναντίον αὐτοῖς τὰ ἐπιχειρήματα γέγονεν, οἱονεὶ μυκτηρίζει αὐτοὺς ὁ Δαυίδ, ὡς εἰς κενὸν πάντα τολμήσαντας· τάχα δὲ καὶ μέμφεται. Τί γὰρ δήποτε αἰτιώμενοι οἱ κατὰ Χριστοῦ συνδραμόντες σταυρῷ τοῦτον ἀνήρτησαν; Οὐχ οὗτός ἐστιν ὁ τοῖς ἔθνεσι μὲν δεδωκὼς τὴν σοφίαν, τοῖς δὲ βασιλεῦσι τὸ κράτος παρασχών, καὶ τοῖς ἄρχουσι

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 27, σ. 548 ἑξ.

1. Ἰω. 5, 23.

τὴν ἀρχὴν κρατυνόμενος, καὶ τοῖς 'Ιουδαίοις τὰ μέγιστα τερατουργήσας καὶ βοώμενα θαύματα;

Et in versum sequentem scribens:

'Αθανάσιος. 'Ενταῦθα λείπει τό, λέγοντες, ἵνα ᾖ ἡ διάνοια αὕτη· «Συνήχθησαν κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ», λέγοντες· «Διακόψωμεν τοὺς δεσμοὺς αὐτῶν.» Τίνων; τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· οὐ γὰρ ἤθελον εἴσω τῆς ἱερᾶς γενέσθαι σαγήνης· «'Απορρίψωμεν δὲ τὸν ζυγόν», τουτέστι τον εὐαγγελικὸν νόμον καὶ τὴν ἐντολήν, περὶ οὗ γέγραπται· «'Ο ζυγός μου χρηστός ἐστι.[1]» Τοῦτο δὲ αὐτὸς ὀνειδίζων αὐτοῖς διὰ 'Ιερεμίου ἔλεγεν· «Εἶπας· Οὐ δουλεύσω σοι·[2]» τουτέστιν, Οὕτως ἐπολιτεύσω, ὥστε ἀποσείσασθαι τὴν ἐμὴν δουλείαν. Ἢ τοίνυν ταῦτα ἐκ προσώπου τῶν 'Ιουδαίων εἴρηται ἀθετούντων τὴν εἰς τὸν Κύριον ὑποταγήν, καὶ οὔτε αὐτῷ οὔτε τῷ Πατρὶ ὑποζεῦχθαι θελόντων· ἢ καὶ τοῖς πιστεύσασι τὸ Πνεῦμα παρεγγυᾷ καὶ λέγει· Μὴ ὁμοιωθῶμεν τοῖς ἐπιβουλεύσασι τῷ Χριστῷ, μηδὲ συνδεθῶμεν αὐτοῖς κατὰ τὴν ὁμόνοιαν· ἀλλὰ καὶ τὸν βαρὺν τοῦ παλαιοῦ νόμου ζυγὸν ἀποτιναξώμεθα, μηδὲν ἡγούμενοι τὰ ἐν τύποις, εἰ μὴ νοοῖντο πνευματικῶς. 'Ασυντελὲς γὰρ πρὸς ὄνησιν ἡ σκιά, εἰ μὴ τὸ Χριστοῦ μυστήριον ζωγραφεῖ.

Et in illa verba: «Tunc loquetur ad eos in ira sua»,5.

'Αθανασίου. Τότε. Πότε, ἢ ὅτε ἔλεγον· «Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν;» Τίνα δέ ἐστιν ἐν ὀργῇ παρ' αὐτοῦ λαληθέντα; «Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι, ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ.[3]» Καὶ τοῖς νομικοῖς, «οὐαί.[4]» Ἢ τό, «Τότε», εἰς τὸν καιρὸν τῆς κρίσεως ἀναφέρεται, «ὅταν ὄψονται εἰς ὃν ἐξεκέντησαν.[5]» Τότε γὰρ ταράξει αὐτοὺς λέγων· «Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι.[6]» 'Επειράθησαν δὲ θείας ὀργῆς, καὶ ὅτε ἡ 'Ρωμαϊκὴ αὐτοῖς ἐπιστᾶσα στρατιὰ τήν τε πόλιν ἐνέπρησε, καὶ τὸν ναὸν ἐπόρθησε, καὶ τοὺς πλείονας αὐτῶν θανάτῳ παρέπεμψεν.

Idem in inscriptionem psalmi tertii.

'Αθανασίου, Κυρίλλου. 'Η τοῦ τρίτου ψαλμοῦ ἐπιγραφὴ πρὸς τὴν ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν ἱστορίαν ἡμᾶς παραπέμπει. Τῷ Δαυὶδ ἐκ διαφόρων γυναικῶν παῖδες ἐγένοντο πλείονες. 'Εν τούτοις καὶ ὁ 'Αμνὼν ἦν πρωτότοκος· ἐξ ἑτέρας δὲ ὁ 'Αβεσσαλὼμ καὶ ἡ Θάμαρ, ἄμφω τὴν ὄψιν καλοί. Ταύτης ἠράσθη ὁ 'Αμνών· καὶ νοσεῖν ὑποκρινάμενος, ἐπειδὴ ὁ Δαυὶδ αὐτὸν ἐπεσκέψατο, παρεῖναι ἠξίου τὴν ἀδελφὴν αὐτὸν θεραπεύσουσαν. Καὶ διαφθείρας, εἶτα μισήσας, εὐθὺς ἐξέπεμψεν.

---

1. Ματθ. 11, 30. 2. 'Ιερ. 2, 20. 3. Ματθ. 21, 43. 4. Λουκ. 11, 46. 5. 'Ιω. 19, 37. 6. Ματθ. 25, 41.

Ἡ δὲ τῷ ἀδελφῷ Ἀβεσσαλὼμ τὴν ὕβριν ἀπήγγειλε. Κἀκεῖνος ἀγανακτεῖ μέν, κρύπτει δὲ τὴν ὀργήν. Μετά τινα δὲ καιρὸν τὸν Ἀμνὼν εἰς δεῖπνον καλέσας, ἀπέκτεινε, καὶ φοβηθεὶς τὴν ὀργὴν τοῦ πατρός, ἀπέφυγε· μετὰ δὲ τρία ἔτη ἐπάνεισι, τοῦ θυμοῦ κοπάσαντος τῷ Δαυίδ. Οὐ μὴν καὶ ὄψεως ἀξιοῦται τῆς πατρικῆς αὐτίκα, ἀλλὰ μετὰ δύο ἐνιαυτούς. Ἤρξατο δὲ ἐπιβουλεύειν τῷ πατρί, καὶ ἅρματα ἑαυτῷ καὶ ἱππεῖς ἐποίησε, καὶ ἰδιοποιεῖτο τοὺς ἐρχομένους κριθῆναι πρὸς τὸν βασιλέα, σχήματι ἐπιεικείας ὑπαγόμενος τοὺς ὑπηκόους, καὶ πλῆθος ἀποστατῶν συναθροίζων, εἰς ἐπιβουλὴν τοῦ πατρός. Καὶ τέλος ἀπέστη, καὶ βασιλέα ἑαυτὸν ἀνηγόρευσε. Προσελάβετο δὲ σὺν ἄλλοις πολλοῖς καὶ τὸν Ἀχιτόφελ, ὃν ὁ Δαυὶδ εἶχε σύμβουλον, ἄνδρα δεινὸν καὶ δραστήριον. Καὶ ὁ Δαυὶδ ἀκούσας, φεύγει μετὰ τῶν περὶ αὐτὸν γυμνοῖς τοῖς ποσίν· ὅτε καὶ Σεμεεὶ αὐτῷ κατηρᾶτο. Εὐχόμενος δὲ τὴν τοῦ Ἀχιτόφελ διασκεδασθῆναι βουλὴν ὁ Δαυίδ, πέμπει καὶ τὸν ἑαυτοῦ φίλον Χουσὶ τῇ ἐκείνου γνώμῃ ἀντιταξόμενον, καὶ διὰ τῶν ἱερέων Σαδὼκ καὶ Ἀβιάθαρ δηλώσοντα αὐτῷ πᾶν ὃ ἂν βουλεύσηται ὁ Ἀβεσσαλώμ. Ὁ δὲ Χουσί, ἐπειδὴ πρὸς τὸν πατραλοίαν τοῦτον ἀφίκετο, πιστευθεὶς ὡς εὔνους αὐτῷ, αὐτός τε καὶ Ἀχιτόφελ προτρέπονται ὅ,τι δέον περὶ πολέμου εἰπεῖν. Καὶ ὁ Ἀχιτόφελ προτρέπεται, ταῖς τοῦ πατρὸς τοῦτον μιγέντα παλλακαῖς, ὀπίσω διώκειν, καὶ ἀσυντάκτῳ προσβαλεῖν. Ὁ δὲ Χουσὶ περὶ μὲν τῶν παλλακῶν οὐδὲν ἀπεφήνατο· ἐξορμᾶν δὲ εὐθὺς κατὰ τοῦ πατρὸς οὐ συνεχώρει τῷ Ἀβεσσαλώμ· ἵνα μή, ἐν ὄρεσι, φησίν, ἐμπεσὼν καὶ δυσφορίαις, τό τε στρατόπεδον διαφθείρῃς καὶ αὐτὸς ταῖς τοῦ πατρὸς ληφθείης χερσί. Τοῦ δὲ πατραλοίου εἰπόντος· «Ἀγαθὴ βουλὴ Χουσὶ ὑπὲρ τὴν βουλὴν Ἀχιτόφελ[1]», λυπηθεὶς Ἀχιτόφελ ἀπήγξατο. Ὁ δὲ Χουσὶ τῷ Δαυὶδ πάντα διὰ τῶν ἱερέων ἐδήλωσε, καὶ φεύγειν ἔτι ἐκέλευσεν. Ἐπεὶ δὲ παρασκευασάμενος ὁ Ἀβεσσαλὼμ ὀπίσω τοῦ πατρὸς κατεδίωξε, πρότερον ταῖς ἐκείνου παλλακαῖς ἐν ὑπαίθρῳ μιγείς, ὁ μὲν Δαυὶδ οὐκ ἐξῆλθεν αὐτὸς εἰς ἀντιπαράταξιν, ἡγεμόσι δὲ πιστεύσας τὸ στράτευμα, ἐνετείλατο αὐτοῖς λέγων· «Φείσασθέ μου τοῦ παιδαρίου Ἀβεσσαλώμ.[2]» Τοῦ δὲ πολέμου συρραγέντος ἐν τῷ δρυμῷ Ἐφραΐμ, πίπτουσι μὲν εἴκοσι χιλιάδες ἀνδρῶν ἀπὸ τοῦ στρατεύματος, τοῦ Ἀβεσσαλώμ· αὐτὸς δέ, ὡς εἶχεν, ἔφευγε στρέψας τὸν χαλινόν. Βαθεῖαν δὲ τὴν κόμην καὶ πολλὴν τρέφων, ἐμπλέκεται ταύτην δρυΐ· καὶ ἡ μὲν ἡμίονος ἐκ τῶν σκελῶν αὐτοῦ διωλίσθησεν· ὁ δὲ μετέωρος ἐπὶ τοῦ δένδρου ἐκρεμᾶτο, ἕως, ἰδών τις αὐτόν, ἀπαγγέλλει τῷ Ἰωάβ. Εἷς δὲ τῶν τοῦ Δαυὶδ ἡγεμόνων ἦν ὁ Ἰωάβ. Καὶ οὗτος, τρία βέλη λαβὼν ἀπὸ χειρός, εἰς τὴν καρδίαν τοῦ Ἀβεσσαλὼμ ἐνέπηξε, καὶ ἀνεῖλεν αὐτόν. Ὁ δὲ Δαυίδ, ἀκούσας, πενθεῖ· «Υἱέ μου, λέγων, Ἀβεσσαλώμ, υἱέ μου. Τίς δῴη τὸν θάνατόν μου ἀντὶ σοῦ;[3]» Καὶ

1. Β' Βασ. 17, 14. 2. Β' Βασ. 18, 5. 3. Β' Βασ. 18, 33.

οὕτω τοῦ τυράννου διαφθαρέντος, πάλιν ὁ Δαυὶδ τὴν βασιλείαν ἀναλαμβάνει. Ἀλλὰ τοῦτο μὲν ὕστερον. Τὸν δὲ μετὰ χεῖρας ψαλμὸν συνέταξεν ἔτι διωκόμενος. Διὸ καὶ θρήνους ἔχει καὶ ὀλοφυρμούς. Ἀναχθήσεται δὲ καὶ εἰς Χριστὸν ὁ ψαλμός, τὸν ἀληθινὸν Δαυίδ· Δαυὶδ γὰρ ἑρμηνεύεται «πεποθημένος καὶ ἱκανὸς χειρί.» Τίς δ' ἂν εἴη ὁ φύσει καὶ ἀληθῶς πεποθημένος ἢ ὁ Χριστός, «ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων;[1]» Τίς δὲ ἱκανὸς τῇ χειρί, εἰ μὴ ὁ ἰσχυρὸς Ἰησοῦς, ὁ τῇ δυνάμει τῆς θεότητος πάντας τοὺς ἀλλοφύλους τροπωσάμενος δαίμονας; Τοῦτον γὰρ ἐδίωκεν, ὡς ἄλλος τις Ἀβεσσαλώμ, ὁ αἰσθητὸς καὶ κατὰ σάρκα Ἰσραήλ, οἱ Ἰουδαῖοι. Περὶ ὧν λέγει διὰ Ἡσαΐου· «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν.[2]» Συνήργει δὲ πρὸς τὴν δίωξιν, οἷά τις Ἀχιτόφελ ὁ Ἰούδας· ὃν σύμβουλον εἶχεν ὁ νοητὸς Δαυὶδ ὁ Χριστός. Περὶ ταὐτοῦ γὰρ εἴρηται ἔν τινι τῶν ψαλμῶν· «Σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου.[3]» Ἀλλὰ γὰρ Ἰούδας μὲν παραπλησίως τῷ Ἀχιτόφελ ἀπελθὼν ἀπήγξατο· ὁ δὲ Χριστός, ἀποστέλλων τοὺς ἡγεμόνας αὐτοῦ μαθητὰς εἰς τὸν κατὰ τῶν ἐχθρῶν αὐτοῦ πόλεμον, ἐνετέλλετο, ὥσπερ ὁ Δαυίδ, ἵνα φείσωνται τοῦ Ἀβεσσαλώμ, οὕτω καὶ αὐτός, ἵνα τοὺς Ἰσραηλίτας μὴ παρόψωνται· «Ἔσεσθε γάρ μοι, φησί, κήρυκές τε καὶ μάρτυρες ἐν Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.[4]» Ὥσπερ δὲ καὶ ἡ ἡμίονος καὶ αἱ τρίχες τὸν Ἀβεσσαλὼμ τῷ θανάτῳ παρέδωκαν, οὕτω τοὺς Ἰουδαίους ἡ ἀλογία καὶ τὸ μέγα φρονεῖν ἐπὶ τοῖς ἔξω καὶ σωματικοῖς τῆς ἀληθινῆς ζωῆς ἀπεστέρησε· καὶ οὔτε τῆς γῆς ἀπολαύειν εἴασεν, οὔτε τοῦ οὐρανοῦ.

Deinde subsequitur Athanasii nomine argumentum psalmi VII prout habetur superius. Item illa verba psalmi XI, Ὅτι ὠλιγώθησαν ἀλήθειαι, etc., præmissa prius Chrysostomi sententia, subjicit:

Κατὰ δὲ τὸν μέγαν Ἀθανάσιον σαφῶς ὁ λόγος ἐνταῦθα τὴν Ἰουδαίων ἀπιστίαν ἐλέγχει. Διὸ Μωσῆς πρὸς αὐτοὺς ἀπέτεινε φάσκων· Υἱοὶ ἀνθρώπων οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.[5]

Et in ejusdem psalmi versum sequentem, præmissa rursum Chrysostomi explicatione.

Κυρίλλου καὶ Ἀθανασίου. Τοῦτο καὶ ἐπὶ Ἰουδαίων ἀληθές· «Ἕκαστος ἐλάλησε μάταια πρὸς τὸν πλησίον», τὰς κατὰ τοῦ Σωτῆρος ἡμῶν συνάγων ἐπιβουλάς.

Καὶ οἱ παρ' Ἕλλησι δὲ ποιηταὶ καὶ λογογράφοι, κατ' οὐδένα τρόπον τοῦ ἀληθεῖς εἶναι φροντίσαντες, συντεθείκασιν ἀβασανίστως τὸ αὐτοῖς δοκοῦν, σκοπὸν ἔχοντες ἕνα, τὸ ἐπίδειξιν ποιήσασθαι γλώττης.

---

1. Πρβλ. Ψαλμ. 44, 4. 2. Ἡσ. 1, 2. 3. Ψαλμ. 54, 14. 4. Πράξ. 1, 8. 5. Δευτ. 32, 20.

Item in psalm. XIII ἐπιγραφήν.

Ἀθανασίου. Κατὰ μέντοι ἀναγωγήν, διαρρήδην ἐν τῷ παρόντι ψαλμῷ σαφηνίζει τῶν ἀνθρώπων τὴν εἰς τὸ παντελὲς τῶν ἐπιτηδευμάτων ἀσέβειαν καὶ παρανομίαν, ἵνα τὸ ἀναγκαῖον τῆς ἐπιφανείας ἀνακηρύξῃ Χριστοῦ. Καὶ οὕτως μὲν ὁ θεῖος Ἀθανάσιος· κατὰ δὲ τὸν μέγαν Βασίλειον, κ.τ.λ.

Similiter in titulum psalm. XIV, præmissa Theodoreti sententia, subjicit:

Ἀθανάσιος δὲ καὶ Βασίλειος, οἱ μεγάλοι Πατέρες, φασίν· ὅτι τοῦτον ᾄδει τὸν ψαλμὸν ὁ Δαυὶδ διδάσκων, τί ἂν ἄνθρωπον παρασκευάσοι τῆς μακαρίας ἐκείνης τυχεῖν λήξεως. Διὸ τὸν τέλειον ἡμῖν ὁ λόγος ὑπογράψαι βουλόμενος, τὸν τῶν μακαρισμῶν, ἐπιτυγχάνειν μέλλοντα, τάξει τινὶ καὶ ὁδῷ τῶν περὶ αὐτὸν θεωρουμένων χρησάμενος, ἀπὸ τῶν προσεχεστέρων καὶ πρώτων τὴν ἀρχὴν πεποίηται. Ἀρχόμενος οὖν φησι· Κύριε, κ.τ.λ.

Rursum in psalm. XV illa verba, «Sanctis qui sunt in terra», etc., v.

Ἀθανάσιος. Ἁγίους εἶναί φησιν ἐνταῦθα τοὺς ἡγιασμένους ἐν Πνεύματι· Χριστοῦ δὲ γῆν τὴν Ἐκκλησίαν· τὸ δέ, «Ἐθαυμάστωσας», ἀντὶ τοῦ, Ἐφανέρωσας. Θελήματα δὲ αὐτοῦ τοῦ Πατρός· ἵν' ᾖ τὸ ὅλον οὕτω· Τοῖς ἡγιασμένοις ἐν πίστει γνωστὸν ἐποίησε τὸ θέλημα τοῦ Πατρός. Νοήσεις δὲ τὸν στίχον καὶ οὕτως· Ἐθαυμάστωσε τοὺς ἁγίους ὁ Θεός. Διὰ τί; Διότι τὰ θελήματα αὐτοῦ πάντα ἐν αὐτοῖς ἦσαν, καὶ παρ' αὐτοῖς ἐγίνοντο.

Adhuc ad inscriptionem psa. XVIII.

Ἀθανάσιος. Ἐνταῦθα μέντοι ὁ Δαυίδ, ὡς ἐν τῷ εἰκοστῷ τρίτῳ ψαλμῷ, ψάλλων τὰ τῆς γενέσεως, αἰτιᾶται τοὺς αὐτόματα λέγοντας ὑφεστάναι τὰ ὄντα καὶ ἀπρονόητα εἶναι, καὶ τοὺς λατρεύοντας τῇ κτίσει παρὰ τὸν κτίσαντα. Τί οὖν ἄρα φησὶ τοῖς ἐξ ἐθνῶν κεκλημένοις;

Item in ejusdem psalmi verba ista, Οὐκ εἰσὶ λαλιαί, etc., v.

Ὁ δὲ ἅγιος Κύριλλος καὶ ὁ παμμέγας Ἀθανάσιος ἐν ἐρωτήσει ἀναγινώσκουσι τό, «Οὐκ εἰσὶ λαλιαί, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούσονται αἱ φωναὶ αὐτῶν;» τουτέστιν· Ἆρα οὐκ εἰσὶ καὶ τῶν ἀφώνων, ἢ πραγμάτων, ἢ ἔργων, φωναὶ χωρὶς λόγου καὶ γλώττης; Ναί, φαίη ἄν τις. Ὥσπερ γὰρ τοῦ ὑφάντου τὴν τέχνην ἡ πολυποίκιλος ἐσθὴς ἀναβοᾷ, καὶ τὸν ναυπηγὸν ἡ ἀδιαβλήτως ἔχουσα ναῦς ἀνακηρύττει, καὶ τὸν σιδηρέα τὸ ἔργον αὐτοῦ· οὕτω καὶ ἡ κτίσις, ἧς ἀρτίως διεμνημονεύσαμεν, ἄφωνος μέν, ἤγουν ἄλογος· λαλιὰ δὲ ὥσπερ αὐτῆς

τὸ θαῦμά ἐστι, καὶ οἷον φωνὴ τὸ κάλλος καὶ εὐταξία. Τὸ γὰρ διήγημα τὸ οὐράνιον καὶ τὸ ῥῆμα τὸ παρὰ τῆς ἡμέρας βοώμενον φωνὴ μὲν ἔναρθρος οὐκ ἔστιν, οὔτε λαλιὰ διὰ στόματος· διδασκαλία δὲ θείας δυνάμεως γίνεται τοῖς ἐπαΐειν ἐπισταμένοις σιωπώσης φωνῆς. Πλὴν ἄφωνον τὴν κτίσιν εἰπὼν ὁ Δαυίδ, ἀπέφηνεν, ὅτι μήτε ἔμπνους, μήτε λογική, κατὰ τὸ δοκοῦν τοῖς Ἑλλήνων σοφοῖς. Ζῷον γὰρ εἶναί φασιν ἓν τὸν σύμπαντα τοῦτον κόσμον· ζῷα δὲ ὁμοίως καὶ τὰ μέρη, ἐξ ὧν συμπληροῦται.

Item in titulum psal. XIX.

Εἰς τὸ τέλος καὶ οὗτος ὁ ψαλμὸς ἐπιγέγραπται, μελλόντων τινῶν ἔχων προαγόρευσιν. Κατὰ γὰρ τὸν μέγαν Ἀθανάσιον, λέγεται μὲν ὁ ψαλμὸς ὡς ἐκ προσώπου τῶν περὶ τὸν Δαυὶδ ἑταίρων, αὐτῷ τῷ Δαυὶδ ἐπευχομένων ποιοῦντι θυσίαν· ἀναφέρεται δὲ καὶ εἰς πρόσωπον τῶν ἀποστόλων, ὡς ἐν ἡμέρᾳ τοῦ σταυροῦ τῷ Χριστῷ συνευχομένων.

Et in psal. XXVIII hac verba, «Et conteret cedros Libani», etc., v. 5.

Κατὰ δὲ τὸν μέγαν Ἀθανάσιον, κέδροι Λιβάνου οἱ ὑψηλοὶ τοῦ τῶν Ἰουδαίων λαοῦ, διὰ τὸ ὠνομάσθαι πολλάκις ἐν τῇ θείᾳ Γραφῇ Λίβανον τὴν Ἱερουσαλήμ. Ὁ δὲ μόσχος τὸ θυσιαστήριον δηλοῖ. Συντρίβονται οὖν αὐτοί τε καὶ τὸ παρ' αὐτοῖς εἰς τέλος θυσιαστήριον.

At in psal. XXXIV, verba ista, «Et oratio mea in sinum meum», etc., adnotat, v. 13.

Κατὰ δὲ τὸν θεῖον Ἀθανάσιον, τὸ ἀποστραφῆναι εἰς κόλπον τὴν ὑπὲρ Ἰουδαίων τοῦ Χριστοῦ προσευχὴν σημαντικὸν ἂν εἴη τοῦ ἐναπομεῖναι ἐκείνους τῇ ἁμαρτίᾳ, καὶ μηδὲν ὠφεληθῆναι, τῇ ὑπερβολῇ τῆς ἀπονοίας τὴν προσευχὴν ὥσπερ ἀνακάμψαι ποιήσαντας. Ὁ μὲν γὰρ Κύριος, θεωρῶν τὸν καταληψόμενον αὐτοὺς ὄλεθρον, καὶ τὴν ἐσχάτην ἀπώλειαν, ἐπένθει ὑπὲρ αὐτῶν· οἱ δὲ τοιαῦτα ἔπραττον ὡς τὴν εὐχὴν αὐτοῦ τὴν ὑπὲρ αὐτῶν μὴ παραπέμπεσθαι εἰς τὰ ὦτα τοῦ Πατρός, ἀλλ' ὥσπερ ἀντικρουομένην ὑπὸ τοῦ μεγέθους τῆς αὐτῶν δυσσεβείας, καθέλκεσθαι καὶ ἐπαναστρέφειν πρὸς αὐτόν. Διὸ ἔλεγε· «Καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.» Εἰ γὰρ σῴζεσθαι ἔμελλον καὶ μεταβαλεῖν τῶν ἀσεβημάτων, εὐθυδρομοῦσα ἡ προσευχὴ τοῦ Σωτῆρος ἀκωλύτως ἂν καὶ ἀπαραποδίστως ἐπὶ τὰ πατρικὰ παρήει.

In psal. XXXVIII verba, «Utique in imagine ambulat homo», v. 7.

Κατὰ δὲ τοὺς πάνυ Ἀθανάσιον καὶ Κύριλλον· Ἐπειδὴ ἐν εἰκόνι καὶ οὐκ ἐν ἀληθείᾳ νῦν διαπορεύεται ὁ ἄνθρωπος· ἡ γὰρ ἀληθὴς ζωὴ κατὰ τὸν μέλλοντα αἰῶνά ἐστιν· εἰκότως ὁ ψάλλων τὴν εἰκόνα μα-

ταιότητα προσεῖπεν. Ἐπειδὴ οὐ τὴν ἀληθινὴν νῦν ζῶμεν ζωήν, ἀλλὰ τὴν ὡς ἐν εἰκόνι, οὐδὲ περὶ τὰ ὄντως ἀγαθὰ ποιούμεθα τὴν σπουδήν, διὸ μάτην ταρασσόμεθα περὶ κοσμικὰς ἐπιθυμίας στρεφόμενοι, καὶ συνάγοντες θησαυροὺς ὧν οὐκ ἴσμεν τοὺς διαδόχους.

In illa verba psal. XLI, «Quemadmodum desiderat cervus.»

Κατὰ δὲ τοὺς μεγάλους Ἀθανάσιον καὶ Κύριλλον· Ἐπείπερ ἐν τῷ πρὸ τούτου ψαλμῷ ἐκ τοῦ Σωτῆρος πρὸς τὸν Πατέρα εἴρηται· «Ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς [1]», νῦν τὸ τῶν ἐσταυρωκότων ὑπόκειται πρόσωπον, οἳ πεπόνθασιν ἀνήκεστα, προδήλου ὄντος, ὡς ὕστερον προσληφθήσονται, ἐγκεντρισθέντες, ὥς φησι Παῦλος, τῇ ἰδίᾳ ἐλαίᾳ.[2] Μεταγινώσκων οὖν ὁ Ἰσραὴλ ταῦτά φησιν.

Sic in versus seauentis verba, «Sitivit anima mea ad Dominum.»

Ἀθανασίου καὶ **Κυρίλλου**. Ἀλγοῦντες ἐπὶ τῇ ἐκπτώσει οἱ σταυρωταὶ τοῦ Κυρίου καὶ μεταγινώσκοντες, διψῆν λέγουσι τὸν Θεόν, καὶ τῆς παρ' αὐτῷ πηγῆς ἐπιθυμεῖν· περὶ ἧς εἴρηται· «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς.[3]» Καὶ ποθοῦσιν ἐγγὺς γενέσθαι Θεοῦ, κατὰ διάθεσιν καὶ ἁγιασμὸν τὸν διὰ πίστεως τῆς ἐν Χριστῷ. Καὶ ὃν ἀπεκτόνασι, τὸν ἀρχηγὸν τῆς ζωῆς ἡμῶν, καὶ τῷ θανάτῳ παρέδωκαν, τοῦτον Θεὸν ὀνομάζουσι ζῶντα. Τὸ δέ, «Πότε ἥξω;» γλιχομένων ἐπὶ τῆς εἰς ὕστερον κλήσεως, καὶ ζητούντων μαθεῖν τὸν καιρόν, καθ' ὃν καὶ αὐτοὶ ἐμφανεῖς ἔσονται τοῦ προσώπου τοῦ Θεοῦ καὶ Πατρὸς (ταὐτὸν δέ ἐστι καὶ τῷ τοῦ Υἱοῦ)· εἰ καὶ νῦν εἰσιν ἐν ἀποστροφῇ. Ἀποστρέψω γάρ, φησί, τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. Διὰ τί; Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις.

Rursum in versum sequentem.

Ἀθανάσιος καὶ Κύριλλος. Τοῦ Σωτῆρος προειπόντος· Ὅταν ἴδητε τὴν Ἱερουσαλὴμ κυκλουμένην ὑπὸ στρατοπέδων·[4] ὅτε πρὸς ἔργον ἐξέβη ὁ λόγος, Ῥωμαίων αὐτοὺς πορθησάντων, ἐθρήνουν· πρῶτον μὲν ὡς προσκεκρουκότες Θεῷ· εἶτα ὡς τῆς ἐξ αὐτοῦ σωτηρίας ἐκπεπτωκότες· καὶ τρίτον, ὅτιπερ αὐτοῖς οἱ ἀστυγείτονες ἐπεμβαίνοντες τό, «Ποῦ ἔστιν ὁ Θεός σου;» διασύροντες ἔλεγον.

In proœmio psal. XLII.

Ἀθανασίῳ δὲ τῷ πάνυ τὴν αὐτὴν ὑπόθεσιν ἔχειν τῷ προτεταγμένῳ καὶ ὁ παρὼν δοκεῖ ψαλμός. Προσέρχονται γὰρ πάλιν οἱ ἐξ Ἰσραὴλ τὴν διὰ Χριστοῦ σωτηρίαν αἰτούμενοι. Διό φασι πρὸς τὸν Πατέρα· «Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου.» Αὐτὸς γὰρ αὐτοὺς

---

1. Ψαλμ. 40, 11. 2. Πρβλ. Ῥωμ. 11, 24. 3. Ψαλμ. 35, 10. 4. Πρβλ. Λουκ. 19, 43.

εἰς τὸ ἅγιον ὄρος εἰσάξειν ἔμελλε· τουτέστιν εἰς τὸν οὐρανὸν καὶ εἰς τὰς ἄνω μονὰς (ἃς καὶ σκηνώματα ὀνομάζει), καὶ εἰς τὸ νοητὸν θυσιαστήριον· καὶ αὐτὸς αὐτῶν ἔμελλεν εὐφραίνειν τὴν νεότητα. Νεότητα δὲ καλεῖ τὴν εὐφροσύνην, τὴν καὶ ἀνανεουμένην αὐτῶν τὴν ψυχήν. Διὸ ἐν κιθάρᾳ ὑπισχνοῦνται προσφέρειν αὐτῷ τὴν ἐξομολόγησιν. Κιθάραν δὲ πολλάκις τὸ σῶμα νοεῖν ἐδίδαξεν.

Et in ejusdem psalmi verba, «Quia tu es Deus fortitudo mea», v. 2.

Ἀθανάσιος, Κύριλλος, Θεοδώρητος. Καὶ οἱ ἐκ περιτομῆς μεταγινώσκοντες κραταίωμα ἑαυτῶν τὸν Θεὸν ἐπιγράφονται· καὶ οἱ ἐξ ἐθνῶν πιστεύσαντες τοῦτον ἰσχὺν ἑαυτῶν τίθενται· καὶ οἱ αἰχμάλωτοι παρ᾽ ἄλλου λυτρωθῆναι οὐκ ἐλπίζουσιν.

Item in ista verba, «Confitebor tibi in cithara, Deus, Deus, meus», v. 4.

Ἀθανάσιος, Κύριλλος. Κιθάραν τὸ σῶμα λέγει, δι᾽ οὗ πέφυκεν ὁ νοῦς ἀνακρούεσθαι, καθάπερ διὰ χορδῶν τῶν αἰσθητηρίων μελῳδίαν ἀναπέμπων Θεῷ. Δηλοῖ δὲ ἡ κιθάρα καὶ τὴν νέκρωσιν τοῦ σώματος, καὶ τὴν συμφωνίαν τῶν ἀρετῶν. Τὴν μὲν γὰρ νέκρωσιν αἱ νευραί, τὴν δὲ συμφωνίαν αἱ ἁρμονίαι αἰνίττονται. Ἔδειξε δὲ τὴν μὲν φαιδρότητα τῇ τῆς κιθάρας προσθήκῃ, τὴν δὲ ἀγάπην ἐν τῇ προσφωνήσει τῇ δὶς ἐπαναλαμβανομένῃ· «Ὁ Θεὸς» γάρ, φησίν, «ὁ Θεός μου.» Ἵνα μάθῃς, ὅτι τὸν ἐπὶ πάντων Θεόν, τοῦτον ἐξαίρετον Θεὸν διὰ ζῆλον καὶ πίστιν οἱ ἐκ περιτομῆς μεταγινώσκοντες, καὶ οἱ ἐξ ἐθνῶν πιστεύοντες ἐπιγράφονται· οἷς καὶ ἡ πνευματικὴ νεότης εὐφραίνεται, ἀντικειμένως ἔχουσα πρὸς τὸν παλαιὸν ἄνθρωπον. Μόνος γὰρ ὁ πνεύματι καὶ φρονήματι νεάζων συγγενῶς τῷ καινῷ ἀνθρώπῳ καὶ τῇ καινότητι τοῦ πνεύματος εἴσεισι πρὸς τὸν Θεόν, τὸν εὐφραίνοντα τὴν τοιαύτην νεότητα.

Et im proœmio psal. XLIII.

Κατὰ μὲν τὸν μέγαν Ἀθανάσιον, ἔτι καὶ οὗτος ὁ ψαλμὸς τῆς αὐτῆς ὑποθέσεως ἔχεται, τάς τε παλαιὰς εὐεργεσίας διηγουμένων τῶν ἐξ Ἰσραήλ, μεταγινωσκόντων καὶ προσληφθῆναι ἀξιούντων παρὰ Χριστοῦ, διὰ τὸ αὐτῷ ἐπιγράφεσθαι τὴν ἐλπίδα, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἐξομολογεῖσθαι· κατὰ δὲ τὸν χρυσολόγον Πατέρα, κ.τ.λ.

Item in illa verba ejusdem, «Convertisti nos retrorsum.

Ἀθανάσιος. Πάλαι, φησί, συνεστρατήγεις ἡμῖν· νῦν δὲ οὐ μόνον οὐ συνέρχῃ ἡμῖν, ἀλλὰ καὶ ἀπέστρεψας ἡμᾶς, καὶ ἐσχάτους ἔταξας παντὸς ἐναντίου· ὡς καὶ τοῖς μισοῦσιν ἡμᾶς γενέσθαι εἰς διαρπαγήν. Καὶ περιέστηκεν ἡμᾶς ἡ τότε κατασχοῦσα τοὺς πολεμίους αἰσχύνη, καὶ γεγόναμεν ἡλαττωμένοι παρ᾽ ἐκείνοις ὧν ἐκρατοῦμεν τὸ πρό-

τερον, καὶ διηρπάσθημεν ὑπ' αὐτῶν οὓς διηρπάσαμεν. Ταῦτα δέ φησιν ὁ χορὸς ὁ προφητικὸς κατὰ τὸν μέγαν Ἀθανάσιον, οἰκειούμενος τοῦ λαοῦ τὰς συμφοράς· κατὰ δὲ τοὺς ἄλλους ὁ τῶν Μακκαβαίων στρατός.

Rursum in verba: «Oblivisceris paupertatis nostræ», etc., v. 23.

Ἀθανάσιος. Ὕπνῳ μὲν οὖν παραβάλλουσι τὴν πολλὴν ἀνοχὴν τοῦ Θεοῦ ἣν ἐποιεῖτο διὰ τὰς ἁμαρτίας αὐτῶν. Εὔχονται δὲ δοθῆναι αὐτοῖς τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ τὴν ἐπ' ἐσχάτων τῶν καιρῶν, ἵνα μὴ τῆς παρ' αὐτοῦ ἀμοιρήσωσι ζωῆς· καί φασιν· «Ἵνα τί τὸ πρόσωπόν σου ἀποκρύπτεις, καὶ ἐπιλανθάνῃ τῆς κακώσεως ἡμῶν καὶ θλίψεως;» Κρύπτεις μὲν τὸ σεαυτοῦ πρόσωπον, ὁ Θεός, καὶ ἀποστρέφεις, πρὸς τὸ μὴ βλέπειν τὰ αἰσχρὰ καὶ ἀπρεπῆ, καὶ τῆς τῆς θέας ἀλλότρια· ἀλλ' ἐπεὶ ἡμεῖς ἐπὶ τοῖς λεχθεῖσι κατορθώμασι παρρησίαν ἄγομεν, ἵνα τί τὸ πρόσωπόν σου κρύπτεις; Τοσαῦτα δὲ πασχόντων καὶ κακοπαθούντων τῆς σῆς ἕνεκεν εὐσεβείας, ἵνα τί ἐπιλανθάνῃ τῆς κακώσεως ἡμῶν, ἤτοι τῆς πτωχείας; Εἰ γὰρ καὶ μεγάλα ταῦτα ὡς πρὸς ἡμᾶς τὰ κατορθώματα, ἀλλ' ὡς πρὸς σὲ πάντα πτωχὰ καὶ σμικρὰ καὶ ὀλίγιστα· πλὴν ὡς ἐξ ἡμῶν μεγάλα. Διὸ ἱκετεύομεν μὴ λήθην ποιήσασθαι τῆς ἡμετέρας πτωχείας· μνησθῆναι δὲ καὶ τῆς θλίψεως ἡμῶν, ἧς ὑπεμείναμεν χάριν σοῦ, ὦ Δέσποτα.

Et in versum sequentem 25.

Ἀθανάσιος. Τεταπεινῶσθαι δὲ αὐτῶν τὴν ψυχήν φασιν καὶ Ἰουδαῖοι· ἐπειδή, ἀπωσάμενοι τὸ φρονεῖν τὰ Χριστοῦ, εἰς φρόνημα κατέπεσον σαρκικόν.

Item in versum ultimum.

Ἀθανάσιος. Καὶ τὴν ἐν ὑστέροις δὲ καιροῖς ἐσομένην τοῦ Ἰσραὴλ ἐπιστροφὴν καὶ κλῆσιν οἱ στίχοι σημαίνουσιν. Οἳ καί φασιν· Ἀντιλάβου δὴ ἡμῶν, καὶ δίδου τὸ εὐμενές. Καὶ καιρὸν ἐπιστροφῆς τὴν εἰς σὲ ἀληθινὴν πίστιν ὁμολογοῦσιν· ἐπάγοντες τό· «Ἕνεκεν τοῦ ὀνόματός σου», διαρρήδην ὁμολογοῦσιν, ὡς οὐκ ἄξιοι τοῦ ἐλεεῖσθαί εἰσιν κατὰ Χριστοῦ γενόμενοι. Πρέπει γε μὴν τὸ ἐλεεῖν αὐτῷ, καὶ κατοικτείρειν τοῖς ἀνθρωπίνοις πταίσμασι δι' ἑαυτόν. Φησὶ γάρ· «Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, λέγει Κύριος, ἀλλ' ἢ διὰ τὸ ὄνομά μου.[1]»

Deinde sequitur argumentum in psalmum XLIV eisdem prorsus verbis quibus habetur supra; quare omissum est.

Et in versum primum, præmissa Basilii, Chrysostomi et Eusebii sententia, subjicit.

Ἀθανάσιος δὲ ὁ πάνυ καὶ ὁ θεῖος Κύριλλος ὡς ἐκ προσώπου τοῦ Θεοῦ καὶ Πατρὸς λέγεσθαι ταῦτα νοοῦσι περὶ τοῦ ἐν ἀρχῇ ὄντος

1. Πρβλ. Ἰεζ. 20, 14.

πρὸς αὐτὸν Λόγου, ὃν ἐκ τῆς οἱονεὶ καρδίας ἢ αὐτῶν τῶν σπλάγχνων, φασί, προήγαγε. Περὶ οὗ καὶ λέγει διὰ Δαυίδ· «'Εξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.» Γεγέννηται γάρ, ὡς λόγος ἐκ νοῦ, ἀγαθὸς ἐξ ἀγαθοῦ, Θεὸς ἐκ Θεοῦ. Ἄθρει δὲ ὡς περὶ ἐνανθρωπήσαντος τοῦ Υἱοῦ λέγοντα τὸν Πατέρα· «Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.» Μονονουχὶ γὰρ καθυπισχνεῖται διδάσκειν αὐτόν, ὁποίοις τισὶ λόγοις χρήσεται, ἐμβιβάζων ἡμᾶς εἰς τὸ δρᾶν τὰ ἔργα αὐτοῦ. Ἔργα δὲ Θεοῦ φαμεν τὴν εὐσεβῆ πολιτείαν, ἥτις διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων γέγονεν ἡμῖν ἐμφανής. Προσλαλῶν δὲ Χριστὸς 'Ιουδαίοις τὰ χρήσιμα πρὸς σωτηρίαν, τῷ Πατρὶ τοὺς ἑαυτοῦ λόγους ἀνετίθει λέγων· «'Απ' ἐμαυτοῦ ποιῶ οὐδέν·» καὶ πάλιν· «'Ο Πατὴρ ἀγαπᾷ τὸν Υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ.[1]» Καλεῖ δὲ αὐτὸν βασιλέα κατὰ καιρὸν ὁ Πατήρ, ὡς ἂν μὴ τῷ τῆς ἐνανθρωπήσεως μέτρῳ δόξῃ τῆς ἐνούσης αὐτῷ κατὰ φύσιν ἀξίας ἀποφέρεσθαι. Ἔμεινε γὰρ καὶ μετὰ τὴν οἰκονομίαν οὐδὲν ἧττον, ἐκ βασιλέως ὢν τοῦ Πατρός, βασιλεύς, καὶ ὥσπερ βασιλεὺς ὑπάρχων καὶ Θεός, εἰς βασιλέως ἀρχὴν λέγεται ἔρχεσθαι, διὰ τὸ σεσαρκῶσθαι. Οὕτω καὶ ἅπερ οἶδε φυσικῶς, ὡς Θεός, ταῦτα πάλιν ἀκούειν λέγεται διὰ τὸ ἀνθρώπινον οἰκονομικῶς. Χριστὸς γάρ ἐστιν ὁ βασιλεύς, ᾧ τὰ ἔργα λέγει ὁ Πατήρ. Ὃν δὲ εἴρηκε Λόγον, τοῦτον καὶ γλῶσσαν αὐτοῦ ἀποκαλεῖ· ὡς οὐχ ἕτερόν τι λαλοῦντα πλὴν ὅ τι ἐν αὐτῷ πατρικόν ἐστι βούλημα. Καὶ παρ' ἡμῖν γὰρ γλῶττα διαπορθμεύει τοῖς ἔξω τὸ νοῦν. «Κάλαμος δὲ γραμματέως ὀξυγράφου» ὠνόμασται, διὰ τὸ λέγειν τι καὶ εὐθέως, γενέσθαι, ὡς τό· «Λέγω· Καθαρίσθητι[2], καὶ εὐθέως ἐκαθαρίσθη· Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι[3], καὶ εὐθέως ἠγέρθη.» 'Αλλὰ καὶ ὡς κάλαμος ὀξέως ἐγγράφει ταῖς καρδίαις ἡμῶν τὸ βούλημα τοῦ Πατρός. Βούλημα δέ, φησὶν αὐτός, τοῦ Πατρός, «Ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ.[4]» 'Οξὺς δὲ ὁ κάλαμος τοῦ Πατρός. 'Ο μὲν γὰρ Μωσέως νόμος διὰ τῶν κατὰ τὸ γράμμα κύκλων ἀμυδρῶς ἐδήλου τὰ χρήσιμα· ὁ δὲ κοινὸς Σωτὴρ συντόμως ἐδήλωσε τὸ θέλημα τοῦ Πατρός. Ἔστι γὰρ Μεγάλης βουλῆς ἄγγελος. «Καὶ λόγον», φησί, «συντετμημένον ποιήσει Κύριος ἐν τῇ οἰκουμένῃ ὅλῃ.[5]»

Et in ejusdem psalmi hæc verba: «Audi, filia, et vide», etc., postquam Basilii et Chrysostomi explicationem, qui totum hunc locum de Ecclesia intelligunt, præmisit, subjicit:

'Αθανάσιος δὲ ὁ πάνυ καὶ τῇ ἁγίᾳ Θεοτόκῳ ἀνατίθησι τό· «Ἄκουσον, θύγατερ», καὶ τό· «Αὐτός ἐστι Κύριός σου.» Ὥσπερ ὅμοιόν ἐστι τό· «Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.[6]» Εἰρηκὼς γάρ, φησίν, ὁ Δαυὶδ Χριστὸν τὸν Λόγον τοῦ Θεοῦ, εὐθὺς καὶ τὴν ἀνθρω-

1. 'Ιω. 5, 20. 2. Ματθ. 8, 3. 3. Λουκ. 7, 14. 4. 'Ιω. 6, 39. 5. 'Ησ. 10, 23. 6. Λουκ. 1, 28.

πίνην γέννησιν δεδήλωκε, τὴν ἐκ παρθένου. Καὶ ὁ μὲν Γαβριὴλ κεχαριτωμένην ἁπλῶς καλεῖ, ξένος ὢν αὐτῆς κατὰ τὴν γέννησιν· ὁ δὲ Δαυὶδ ἐκ τοῦ σπέρματος αὐτοῦ τυγχάνουσαν θυγατέρα προσφωνεῖ.

At in inscriptionem psalmi XLVI.

Ἀθανάσιος καὶ Κύριλλος. Κλῆσιν ἐθνῶν ὁ ψαλμὸς σημαίνει, ᾀδόμενος ἐκ προσώπου τῶν ἁγίων ἀποστόλων παραινούντων τοῖς ἔθνεσιν ἀνασκιρτᾶν διὰ πράξεων ἀγαθῶν ἐπὶ τῇ γενομένῃ νίκῃ κατὰ τῶν ἀλιτηρίων δαιμόνων. Ἐπιγέγραπται δὲ «Ὑπὲρ τῶν υἱῶν Κορέ·» οὐχ ὡς ὑπὲρ ἐκείνων πάντως γεγενημένης τῆς ᾠδῆς, ἀλλ' ὡς δι' αὐτῶν ὑπηρετεῖν τεταγμένων τῇ ἀναφορᾷ τῆς ᾠδῆς. Ἔστι δέ, ὡς εἴρηται, τῶν ἁγίων ἀποστόλων τὸ πρόσωπον, ὡς κεκελευσμένων πάντα μαθητεῦσαι τὰ ἔθνη. Ἐπειδὴ δὲ πλείστων ὅσων αὐτοῖς καὶ μεγάλων ἀγαθῶν προμνήστρια γέγομεν ἡ πίστις· κέκληνται γὰρ δι' αὐτῆς εἰς υἱοθεσίαν Θεοῦ, εἰς μέθεξίν τε ἁγίου Πνεύματος, θείας τε φύσεως γεγόνασι κοινωνοί, τά τε ἐξ οὐρανοῦ χαρίσματα πεπλουτήκασι, καὶ τῆς τῶν ἁγίων ἐλπίδος συμμέτοχοι καθεστήκασι· ταύτῃ τοι καὶ μάλα εἰκότως πανηγυρίζειν αὐτοῖς ἐπιτάττουσιν.

Et in ejusdem psalmi verba ista: «Subjecit populos nobis», etc., v. 4.

Ὁ δὲ θεῖος Ἀθανάσιος λαοὺς καὶ ἔθνη τόν τε Σατανᾶν καὶ τὰς σὺν αὐτῷ πονηρὰς δυνάμεις εἶναί φησι· περὶ ὧν ἔλεγεν ὁ Σωτήρ· «Ἰδοὺ δέδωκα ὑμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων.[1]» Τὰ γὰρ ἔθνη τῶν δαιμόνων ὑπέταξε τοῖς τῶν ἀποστόλων ποσίν.

Item im proœmio psal. XLVII.

Ἀθανάσιος. Ἄδεται μέντοι καὶ οὗτος ὁ ψαλμὸς ἐκ προσώπου τῶν ἁγίων ἀποστόλων, διηγουμένων τοὺς διὰ τὸ κήρυγμα διωγμούς, καὶ τὰς νίκας τὰς ἐπὶ τούτοις γενομένας. «Ὠδὴ δὲ ψαλμοῦ» ἐπιγέγραπται, ὡς τῆς ἠθικῆς φιλοσοφίας πρὸς τὴν θεωρητικὴν συνδραμούσης.

Et in verba ejus: «Quoniam ecce reges terræ congregati sunt», etc., v. 5.

Κατὰ δὲ τὸν μέγαν Ἀθανάσιον, ὁ κατὰ τῶν ἀποστόλων διὰ τὸ κήρυγμα γενόμενος πόλεμος ὑπό τε τῶν αἰσθητῶν βασιλέων τῶν ἐθνῶν, καὶ μὴν καὶ τῶν ἀοράτων δαιμόνων τῶν πάλαι βασιλευόντων, ἐνταῦθα σημαίνεται. Οἳ καὶ κατεπλάγησαν καὶ ἐξέστησαν, τὴν γενομένην βοήθειαν παρὰ τοῦ Θεοῦ τοῖς ἁγίοις θεωροῦντες. Ἡ γὰρ ὑπερβολὴ τῆς ἰσχύος τοῦ σῴζοντος τὸ θαῦμα αὐτοῖς καὶ τὴν κατάπληξιν εἴργασται. Εἶτα ἐταράχθησαν, ὡς ἂν Θεοῦ καταστάντες πολέ-

1. Λουκ. 10, 19.

μιοι, καὶ ἦσαν ὡς ἐν ὠδῖσι. Τό γε μὴν ἑξῆς εἰρημένον ἐπιστήσας νοήσεις, ὡς νῆες Θαρσεῖς ἐλέγοντο, πλοῦτον φέρουσαι μέγαν τῷ Σολομῶντι, καθάπερ ἐν τῇ τῶν Βασιλειῶν ἐγνώκαμεν ἱστορίᾳ. Διὸ καὶ νῦν διὰ τῶν συντριβομένων πλοίων Θαρσεῖς τὴν ἀπώλειαν τοῦ πλούτου καὶ τῆς δυναστείας τῶν προλεχθέντων ἐδήλωσε βασιλέων. Πνεῦμα δὲ βίαιον νοητὰς δυνάμεις τινὰς νοήσεις, δι' ὧν τοὺς ἐχθροὺς τῶν ἀποστόλων κατεπολέμησεν.

Item in illa verba: «Propter judicia tua, Domine.»

Ἀθανασίου. Ὅτι κρίνας τὴν δίκην τῶν ἐθνῶν, ἐξήλασας τὸν κατ' αὐτῶν πολέμιον δαίμονα. Εἰ δὲ βούλει, ὄρος Σιὼν οἱ τὸ ὕψος τῆς θεολογίας πεπιστευμένοι· θυγατέρες δὲ τῆς Ἰουδαίας αἱ κατὰ τὴν οἰκουμένην Ἐκκλησίαι, ὡς ὑπὸ τῶν ἀποστόλων παγεῖσαι, οἳ τὸ γένος ἐξ Ἰουδαίων κατῆγον. Παρεγγυᾷ δὲ καὶ τοῖς κηρύττουσιν εὐφραίνεσθαι ἕνεκα τῶν δικαίων τοῦ Θεοῦ κριμάτων, οἷς χρησάμενος, τὴν τῆς οἰκουμένης σωτηρίαν ἐπραγματεύσατο.

Item in psal. XLIX illa verba: «Ex Sion species decoris ejus», etc., v. 2.

Κατὰ δὲ τὸν μέγαν Ἀθανάσιον, ἐκ τῆς ἄνω Σιὼν ὁ Κύριος τὴν δευτέραν παρουσίαν ποιήσεται, τὴν ἐπιφανῆ καὶ ἔνδοξον, ἣν καὶ εὐπρέπειαν ὡραιότητος κέκληκεν.

In psal. L. verba: «Cor mundum crea in me. Deus., v. 12.

Κατὰ δὲ τὸν μέγαν Ἀθανάσιον, Πνεῦμα τὸν νοῦν ἐκάλεσεν· εὐθὲς δὲ αὐτοῦ τὸ ἑδραῖον· ὡσανεὶ λέγοι· Ἀσφάλισαί μου τὸν νοῦν, τοῦ μηκέτι εὔκολον εἶναι καταπίπτειν εἰς ἁμαρτίαν.

In psal. LX. illa verba: «A finibus terrœ ad le clamavi», etc., v.3.

Ἀθανασίου καὶ Εὐσεβίου. Ἀκηδιᾷ δὲ ἀληθῶς καὶ ἀδημονεῖ πᾶς θεοφιλὴς τῷ θνητῷ ἐνδιατρίβων βίῳ· ἀδημονεῖ δὲ καὶ διὰ φιλανθρωπίαν, τὸ πλῆθος τῶν ἀπολλυμένων θεωρῶν. Ἐπειδὴ οὖν καὶ Δαυίδ, εἰς τὴν καταδυναστείαν καὶ τυραννίδα τῶν δαιμόνων θεωρῶν, ἀκηδίας πεπλήρωτο, τούτου χάριν ἱκετεύει, ὅπως, ἐπιφανεὶς ὁ Κύριος, τῆς τῶν βιαζομένων ἡμᾶς ἐξέληται χειρός. Τὸ δέ, «ἀπὸ τῶν περάτων τῆς γῆς», σημαίνει ὑπὲρ πάσης αὐτὸν τῆς οἰκουμένης ποιούμενον τὰς λιτάς. Οὐ μόνον δέ, ἀλλὰ καὶ τὸ μέσον Θεοῦ καὶ ἀνθρώπων οὐσίας πολὺ παριστῶντα, κατὰ τὸ ἐν τῷ Ἐκκλησιαστῇ· «Ὁ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐν τῇ γῇ κάτω.[1]» Τοῦ μέντοι Συμμάχου σαφέστερον εἰπόντος, «ἐν τῷ ἀδημονεῖν», ἐναργέστερον καὶ ἐμφαντι-

---

1. Ἐκκλ. 5, 1.

κώτερον εἶπον οἱ Ἑβδομήκοντα. «Ἐν τῷ ἀκηδιάσαι.» Ἀδημονεῖν γὰρ καὶ ἐπὶ τοῖς μικροῖς λέγεται· ἀκηδιᾶν δὲ ἐπὶ τοῖς μεγάλοις πάντως, ὅταν διὰ τὸ πλῆθος τῶν κακῶν λοιπῶν τῶν ἐν μέσῳ τις περιλαμβάνεται, ἀπαγορεύῃ πρὸς αὐτὰ καὶ οἷον ἀπογινώσκει, ῥίψας τοῦ νοὸς βουλεύματα, ὡς μηκέτι φέρειν οἷός τε ὤν.

Et in vers. sequentem: «In petra exaltasti me», v. 3.

Ἀθανάσιος. Πρὸς δὲ διάνοιαν κρείττους γεγόναμεν τῶν ἐπηρεαζόντων δαιμόνων διὰ Χριστοῦ, ὃς πέτρα τῷ μακαρίῳ κατωνόμασται Παύλῳ.[1] Καὶ ἵνα τὸν νοῦν ἅπαντα τῆς ψαλμῳδίας εἴπω, εὐχαριστίαν ὁ λόγος περιέχει. Ταῦτα γάρ μοι, φησίν, ὑπῆρξαν ὅσα προείρηκα, ἐπειδὴ σὺ αὐτός, ὁ Θεός, ἐπῆράς με, καὶ ὕψωσας ἐν τῇ παρὰ σοὶ πέτρᾳ, ἥτις ἐστὶν ὁ σὸς λόγος· ἡ πέτρα γὰρ ἦν ὁ Χριστός. Ἐπεὶ τοίνυν τῷ λόγῳ σου ὕψωσάς με, καὶ μετέωρον ἐποίησας, ὡς μηκέτι κατοικεῖν τὰ μέσα τῆς γῆς, ἀλλ' ἐν ἄκροις αὐτῆς γενέσθαι· ἤδη δὲ καὶ ὡδήγησάς με, ὥστε πλησίον σου φθάσαι, γέγονάς τε ἐλπίς μου, δι' ἣν ἐλπίδα οὐ καταισχυνθήσομαι· ἀλλὰ καὶ πολλῶν ἐπικειμένων νοητῶν ἐχθρῶν, τῶν ζητούντων τὴν ψυχήν μου, ἀντὶ πάντων ἤρκεσας σὺ μόνος, πύργος ἰσχύος μοι γενόμενος· εἰκότως τούτων ἁπάντων τυχών, σοὶ τοὺς ὕμνους ἀναπέμπω, ὡς ἁπάντων μοι τῶν ἀγαθῶν γενομένῳ αἰτίῳ.

Et in versum sequentem: «Deduxisti me», etc., v. 4.

Ἀθανασίου καὶ Κυρίλλου. Ἐπεὶ δὲ τῶν ὁδηγούντων ἴδιον τὸ δεικνύειν, ποία μὲν ἀσφαλὴς ὁδός, ποία δὲ σφαλερὰ καὶ βλαβερὰ μαρτύρεσθαι· καὶ τοῦτο Χριστὸς πεποιηκὼς εὑρίσκεται, ἐν τῷ λέγειν· «Ἐγώ εἰμι ἡ ὁδός[2] καὶ ἡ θύρα.[3]» Τὸ δέ, πύργος ἰσχύος, ὅμοιον ὡσεὶ λέγοι· Τοῖχος καὶ ἀσφάλεια γέγονας, εἰς τὸ μηδὲν παθεῖν ἐπηρεαζόντων τῶν ἐχθρῶν. Πύργος γὰρ ἑδραῖος, ἀκατάσειστος ὁ Χριστός.

Et in sequentia: «Habitabo in tabernaculo tuo», etc., v. 5.

Ἀθανάσιος, Κύριλλος. Πρὸς δὲ νοῦν, ἀφ' ὧν ἤδη εἴληφεν ἀγαθῶν, καὶ περὶ τῶν μελλόντων ἐλπίζει, ὅτι δή, εἰς τὰς ἄνω σκηνὰς γεγονώς, ὑπὸ τὴν αὐτοῦ διὰ παντὸς γενήσεται σκέπην. Ὥσπερ γὰρ οἱ μέλλοντες ἐπιτελεῖν ἑορτήν, ἐγγύς τε καὶ ἐπὶ θύραις ἔχοντες αὐτήν, προαναπίμπλανται θυμηδίας, καὶ τὴν οὔπω παροῦσαν ὡς ἤδη παροῦσαν ὁρῶσιν· οὕτω καὶ οἱ ἅγιοι, χρηστὰς ἔχοντες ἐλπίδας ἐπὶ τῇ μελλούσῃ ζωῇ, χαίρουσιν ἐπ' αὐτῇ. Πτέρυγας δὲ καλεῖ τὰς τοῦ Θεοῦ προνοητικὰς δυνάμεις· ὑφ' ἃς σκέπτεται ὁ θεοφιλής, μηδέποτε τῆς σκηνῆς ἀναχωρῶν τοῦ Θεοῦ, ἀλλὰ δι' αἰῶνος ἐν αὐτῇ κατοικῶν.

---

1. Πρβλ. Α' Κορ. 10, 4. 2. Ἰω. 14, 6. 3. Ἰω. 10, 9.

Et adhuc in verba: «Dedisti hæreditatem timentibus nomem tuum», etc.

Εὐσεβίου καὶ Ἀθανασίου. Ἰστέον μέντοι, ὅτι ταῦτα αἴνιγμα ἔχει καὶ τῆς ἀληθοῦς κληρονομίας. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή. Ἀλλὰ μὴν αὕτη ἐν τῷ μέλλοντι αἰῶνι δοθήσεται· πῶς οὖν εἶπε, «Δέδωκας;» Ὅτι, εἰ καὶ προσδοκᾶται μετὰ τὴν ἀνάστασιν, ἀλλά γε τῷ ἤδη εὐπρέπεσθαι, δέδοται τοῖς αὐτὴν κατὰ καιρὸν τὸν δέοντα ληψομένοις. Ὅρα δέ, ὅτι καὶ τοῖς φοβουμένοις τὸν Θεὸν δέδοται ἡ κληρονομία. Εἰ οὖν αὐτοῖς ὑποδεεστέροις οὖσι, πολλῷ πλέον τοῖς ὑπεραναβεβηκόσιν, εἴτουν ἀγαπῶσιν τὸν Θεόν. Ἀορίστως δὲ εἰπών, τοῖς φοβουμένοις, καὶ οὐ προσθείς, Ἰουδαίοις, ἢ Ἕλλησιν, ἥπλωσε τὴν χάριν ἐπὶ πάντας ἀνθρώπους· μάλιστα δὲ τοὺς ἐξ ἐθνῶν προσιόντας, φοβουμένους τὸν Κύριον, εἴωθεν ἀποκαλεῖν ὁ λόγος. Ποία δὲ ἡ κληρονομία ἀλλ' ἢ ἡ βασιλεία τῶν οὐρανῶν; ἣν ἐν τοῖς μακαρισμοῖς εἴρηκεν ὁ Σωτήρ.

Et in sequentia: «Diem supra diem regis appones», v. 7.

Εὐσεβίου, Ἀθασίου, Κυρίλλου. Πρὸς δὲ νοῦν σημαίνει ὁ λόγος, ὡς καὶ τοῦτο μέρος κληρονομίας ἐστὶν ἡ αἰώνιος ζωή. Τοῦτο γάρ ἐστι τὸ ἡμέρας ἡμερῶν τοῖς ἔτεσι τοῦ βασιλέως προσθῆναι. Σημαίνει γὰρ διὰ τῶν ἡμερῶν χρόνους τινὰς καὶ αἰῶνας. Μὴ ὑπολάβῃς δέ, ὅτι περὶ ἑνός τινος βασιλέως τὰ τοιάδε φησίν· ἴσθι δὲ μᾶλλον, ὅτι περὶ παντὸς τοῦ κεκλημένου εἰς βασιλείαν οὐρανῶν· ὃν καὶ διαμένειν φησὶν εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ. Οἱ γὰρ σύμμορφοι γενόμενοι τῶν παθημάτων αὐτοῦ καὶ συμβασιλεύσουσιν αὐτῷ διηνεκῶς. Προειπὼν μέντοι ὁ Προφήτης, ὅτι Σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου, καθ' ὑπερβατὸν συνῆψε τό· Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις. Ἤκουσας γάρ, φησί, τῶν εὐχῶν μου· ἡμέρας ἐφ' ἡμέρας προσέθηκας. Διὰ μέσου δὲ ἐνεβλήθη ἡ περὶ τῶν φοβουμένων τὸ ὄνομα Κυρίου μνήμη· ἐπειδὴ καὶ αὐτοῖς ἐπήγγελται τὴν κληρονομίαν ἡ προφητεία. Ἦν δὲ ἡ αἰώνιος ζωή.

Et adhuc in sequentem versum: «Permanebit in sæculum», etc.

Ἀθανάσιος. Ἐξ ἀναστροφῆς δὲ ὁ λόγος, ἵνα ᾖ τοιοῦτος· Εἴ τις ἐκζητήσει τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν, οὗτος ἐν τοῖς ἀτελευτήτοις αἰῶσι διαμενεῖ ἐνώπιον τοῦ Θεοῦ. Τοῦτο δὲ σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· «Ἔλεος καὶ ἀλήθεια διατηρήσουσιν αὐτόν.» Ταῦτα γὰρ τῆς ἀθανασίας αὐτῷ ἔσται αἴτια, τὸ τοῦ Θεοῦ ἔλεος καὶ ἡ ἀλήθεια. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα· Τίς, φησίν, ἱκανὸς τὸν κεκριμένον καὶ δίκαιον τοῦ Θεοῦ ἔλεον καταμαθεῖν ἀκριβῶς; Τὰ γὰρ κρίματα αὐτοῦ ἄβυσσος πολλή.

Exinde sequitur argumentum psalmi LXIII ad verbum ut legitur in Expositionibus, ideoque ipsum prœtermisimus.

Item in illa verba: «Qui acuerunt ut gladium», etc., v. 4.

Ἀθανάσιος. Πρὸς δὲ νοῦν ταῦτά φησι διὰ τὸ βλασφημοῦντας αὐτοὺς τὸν Ἰησοῦν λέγειν τοῖς ἀποστόλοις· «Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν, μηδενὶ λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ;[1]» Τοὺς μέντοι λόγους τῆς διαβολῆς ῥομφαίαν ἠκονημένην ὠνόμασεν, ἵνα δείξῃ τὸ ὀξύτερον πρὸς ἀναίρεσιν· καὶ τόξῳ τὴν γλῶσσαν τοῦ συκοφάντου παρείκασεν, ὅτι καὶ τοὺς πόρρω βλάπτει. Οὐδενὸς γὰρ οὔτε παρόντος οὔτε ἀπόντος ὁ λοίδορος καὶ συκοφάντης φείδεται.

Item in illa psalmi ejusdem, «Conturbati sunt omnes qui vid.», etc, v. 10.

Ἀθανάσιος. Οἱ θεωροῦντες, φησί, τοὺς τοιούτους καὶ τοσούτους τῶν ἐγχειρημάτων διαμαρτόντας καὶ ἀστοχήσαντας θορύβου καὶ δέους ἐπλήσθησαν, καὶ τὴν θείαν ἐθαύμασαν πρόνοιαν. Ἐν περινοίᾳ γὰρ τῆς τοῦ Θεοῦ κηδεμονίας γενόμενοι, τὸ θεῖον κριτήριον ἔδεισαν, καὶ πάντες συνῆκαν, ὅτι παρὰ Θεοῦ κατεργάζεται τὸ τῆς αὐτῶν δολιότητος ἄπρακτον, ὅτι τὰ κατ' ἐμοῦ μάταια ἠλέγχθη. Ὡς πάντας ἀπαγγέλλειν, ὅτι Σόν, ὦ Δέσποτα, ἔργον τοῦτο, καὶ σοὶ τὰ γενόμενα ἐπιγράφουσι. Τίς γὰρ οὐκ ἂν φοβηθείη, ἐπισκοπὴν ἐκ Θεοῦ ὁρῶν γινομένην κατὰ τῶν ἀσεβῶν, καὶ ἐκδίκησιν ὑπὲρ τῶν ἀδικουμένων;

Item in titulum psal. LXIV, prœmissa Theodoreti sententia.

Ἀθανάσιος. Ἀναμέμικται δὲ τῇ περὶ τούτων προρρήσει καὶ τῆς τῶν ἐθνῶν σωτηρίας ἡ προφητεία. Εἰσάγει γὰρ ὁ Δαυὶδ ἐνταῦθα τοὺς ἐξ ἐθνῶν πιστεύσαντας εἰς Χριστόν, καταβοῶντας τῶν σοφῶν τοῦ αἰῶνος τούτου, αἰτοῦντάς τε τῆς προτέρας ἀσεβείας ἄφεσιν· ἔτι τε εὐχὴν ἀναπέμπει ὑπὲρ αὐτῶν, ὄντων μὲν πάλαι ἀκάρπων, γενομένων δὲ εὐφόρων διὰ τῆς εἰς Χριστὸν πίστεως. Εἴρηται δὲ πρότερον, ὡς πρᾶξιν μὲν ὁ ψαλμός, θεωρίαν δὲ ἡ ᾠδὴ δηλοῖ. Ὅταν οὖν δι' ἀμφοτέρων ᾖ τὸ ἀγαθὸν κατορθούμενον, τῆς ἠθικῆς φιλοσοφίας πρὸς τὴν θεωρητικὴν συνδραμούσης, ψαλμὸς ᾠδῆς γίνεται. Ὁ θεωρητικὸς γὰρ ἅμα τῷ πρακτικῷ κατορθούμενος βίῳ ἄνδρα τέλειον ἀποδείκνυσιν.

In ejusdem psalmi verba, «Beatus quem elegisti», etc., v. 5. Postquam ex Theodoreto sensum litteralem exposuit, subjicit:

Ἀθανάσιος. Πρὸς δὲ διάνοιαν αἰνίττεται τὸν λαὸν τὸν νέον, τὸν ἐξ ἐθνῶν ἐκλεγέντα τῷ Χριστῷ εἰς κληρονομίαν. Αὐλὰς δὲ τὰς κατὰ χώραν Ἐκκλησίας ὑποληπτέον. Ἑτέρως δὲ καὶ τὸν τελειωθέντα

1. Πράξ. 5, 28.

ἐν ἀρεταῖς, τοῦτον καὶ ὁ Προφήτης μακαρίζει. Ἐκλέγεται μὲν γὰρ ὁ Θεὸς τὸν ἀγωνίζεσθαι καὶ δραμεῖν ἐπιτήδειον· τὸν δὲ ἤδη νενικηκότα, καὶ καλῷ τέλει τὴν ζωὴν περικλείσαντα, εἰς οὐρανὸν προσλαμβάνεται, ἔνθα καὶ σκηνὴν αὐτῷ ταῖς ἰδίαις αὐλαῖς ἀποκληροῖ· περὶ ὧν εἴρηται· Πολλαὶ μοναὶ παρὰ τῷ Πατρί.[1] Ὥστε τελειότερον τοῦ ἐκλεγῆναι τὸ προσληφθῆναι παρὰ τοῦ ἐκλεξαμένου. Ὅταν γὰρ ὁ ἐκλεγεὶς πάντα κατὰ βούλησιν Θεοῦ πράξῃ, τότε μετὰ δόξης εἰς τὰς ἐπαγγελίας προσλαμβάνεται, καὶ μετοικισθεὶς τοῦ περὶ γῆν τόπου, ἐκεῖ κατασκηνοῖ, ἐν ταῖς αὐλαῖς τοῦ ἐκλεξαμένου. Ὧν ἐντεῦθεν ἔτι πόθον τις ἔχων, εἶπεν· «Ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.[2]» Ὥστε τὰς λέξεις ταύτας, φημὶ δή τό, «Μακάριος, ὃν ἐξελέξω καὶ προσελάβου», εἰκότως προφέρουσιν οἱ τοὺς ἀπαλλαγέντας τοῦ βίου ζηλοῦντες καὶ μακαρίζοντες.

Et in versum sequentem: «præmissa rursum litterali explicatione ex Theodoreto, sequitur.

Ἀθανασίου. Πρὸς δὲ νοῦν· Ἀγαθὰ τοῦ οἴκου τοῦ Θεοῦ τὰ τοῦ Πνεύματος διάφορα χαρίσματα. Οἶκον δὲ Θεοῦ τὴν Ἐκκλησίαν ὁ Παῦλος καλεῖ. Ἐν δὲ τούτῳ θαυμαστῶς ἐπιτελεῖται ἡ ἀρετή, καλουμένη δικαιοσύνη. Ὁ τοίνυν πιστεύων καὶ ἔργων ἀγαθῶν πληρωθεὶς ἔχει τὸν Κύριον ἐν ἑαυτῷ. Εἴρηται γὰρ διὰ τῆς πίστεως κατοικεῖν τὸν Χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον, καὶ πρὸς τὸν τηροῦντα τὸν λόγον αὐτοῦ μετὰ τοῦ Πατρὸς ἐρχόμενος μονὴν ποιεῖται. Καὶ γίνεται ὁ τοιοῦτος ναός, (κατὰ τό· «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε;[3]») ὃς καὶ δικαιοσύνην θαυμαστῶς κατορθοῖ, τὴν διὰ πίστεως συνισταμένην. Ἅγιος μέντοι ἐστὶν ὡς καθαρός, θαυμαστὸς δὲ ἐπὶ τῇ δικαιοσύνῃ.

Et in ejusdem psalmi verba: «Qui præparat montes», etc., v. 7. Similiter præmissa Theodoreti sententia, subjecto Athanasii nomine, ait:

Πρὸς δὲ διάνοιαν· Σύ, φησίν, εἶ ὁ τὰ ὄρη, ἤγουν τὰς ἀντικειμένας δυνάμεις, ἑτοιμάζων εἰς τιμωρίαν (ἡτοίμασται γὰρ αὐταῖς ἡ ἄβυσσος)· τοῦτο δὲ ποιήσεις δυνατὸς ὤν.

Et in versum sequentem Theodoreti explicationi hæc subjicit:

Ἀθανασίου καὶ Κυρίλλου. Πρὸς δὲ διάνοιαν· Συνταράσσει Χριστὸς οἷόν τι κύτος καὶ πλάτος θαλάσσης τὰ πλήθη τῶν ἐθνῶν, μὴ συγχωρήσας αὐτὰ ἠρεμεῖν ἐν ταῖς ἀρχαίαις ἀπάταις· κεκινηκὼς δὲ μᾶλλον εἰς ἐπίγνωσιν τῆς ἑαυτοῦ δυνάμεως, καὶ ὥσπερ τινὰς ἤχους κυμάτων, ἀνασαλεύσας ἁπάντων τὰς ἐπ' αὐτῷ δοξολογίας. Ἡ θά-

1. Ἰω. 14. 2. 2. Ψαλμ. 83, 3. 3. Α' Κορ. 3, 16.

λασσαν ἐνταῦθα τὸ πλῆθος τῶν ἀκαθάρτων πνευμάτων φησίν, ὃ συνταράσσεται τῇ τοῦ Χριστοῦ παρουσίᾳ. Διὸ καὶ φοβούμενοι ἔλεγον· «Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς.[1]» Ἡ θάλασσαν μὲν τὸ πλῆθος καλεῖ τῶν τυράννων διὰ τὸ ἁλμυρὸν τῆς εἰδωλολατρείας αὐτῶν, ἤχους δὲ κυμάτων τὰς κατὰ τῶν μαρτύρων ἐπιβουλὰς καὶ βασάνους. Ἃς τίς ὑπέμεινεν, εἰ μὴ τῇ δυνάμει Χριστοῦ ἐνεδυναμοῦτο καὶ ἐστηρίζετο;

Et adhuc in versum sequentem Theodoreti explicationi subjungit:

Ἀθανασίου. Παρεδήλωσε δὲ καὶ τὸ τῶν ἁγίων ἀποστόλων κήρυγμα· ὅπερ διὰ τὸ ἄηθες καὶ διὰ τὸ καταλύεσθαι τὸ πατρῷον τῶν ἐθνῶν σέβας, καὶ τὴν πολιτείαν αὐτῶν ἀμείβεσθαι, ταραχὴν εὐθὺς καὶ ζάλην τοῖς ἀνθρώποις ἐκίνησε κατὰ τὴν τοῦ Κυρίου φωνήν, χωρίζον νύμφην ἐκ πενθερᾶς, καὶ πατέρα ἐξ υἱοῦ.[2] Μετὰ δὲ τὴν ζάλην κατέπαυσε, καὶ τὴν εἰρήνην ἅπασιν ἐπρυτάνευσεν. Ὅτε οὖν, φησί, τὰ ἔθνη ταραχθήσονται, τουτέστι τῶν δαιμόνων τὰ συστήματα, τότε δὴ τότε καὶ οἱ ἐν τοῖς πέρασι τῆς οἰκουμένης ἄνθρωποι φοβηθήσονταί σε, τὰ μεγάλα σημεῖα θεωρήσαντες, τὰ ἐπὶ τῇ σῇ παρουσίᾳ γεγενημένα.

Item in sequentem v. 9.

Ἀθανασίου, Εὐσεβίου καὶ Κυρίλλου. Καὶ μέντοι ὅταν τὰ μεγάλα σημεῖα θεωρήσαντες οἱ τὴν οἰκουμένην οἰκοῦντες φοβηθῶσι τὸν ἀγαθὸν φόβον, τότε δὴ καὶ εἰς τὰς πρωΐας καὶ εἰς τὰς ἑσπέρας ἐξόδους, τουτέστιν ἐν παντὶ καιρῷ, τέρψις ἔσται αὐτοῖς ἀγαλλιωμένοις, ἐφ' οἷς κατώρθωσεν ἡ Χριστοῦ παρουσία. Καὶ αὐτοῦ δὲ τοῦ Χριστοῦ δύο ἔξοδοι, ἤγουν πρόοδοι· ἡ μὲν πρωΐας, πρὸ πάντων τῶν αἰώνων ἐκ Πατρὸς γενομένη, κατὰ τό· «Αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος·[3]» ἡ δὲ ἑσπέρας, ἡ ἐκ παρθένου, ἥτις ἐπὶ συντελείᾳ τῶν αἰώνων ἀπήντησεν. Ἑκατέρα δὲ τέρψις ἐστὶ καὶ ἀγαλλίασις. Ὁ μέντοι Σύμμαχος εἰπών, «Τὰς προσελεύσεις τοῦ ὄρθρου καὶ τῆς ἑσπέρας ὑμνολογοῦσι», τοῦτο δοκεῖ λέγειν, ὅτι καὶ ἀρχομένης καὶ ληγούσης ἡμέρας τὴν ἀρεστὴν τῷ Θεῷ προσοίσουσιν ὑμνῳδίαν οἱ τὴν πλάνην καταλιπόντες, τὸν δὲ φύσει γνόντες Θεόν.

Et in versum adhuc sequentem, litterati expositione ex Theodoreto pœcedente, v. 10.

Ἀθανάσιος. Πρὸς δὲ διάνοιαν· Κατεκόρεσας, φησί, τῶν ἄνωθεν ἀγαθῶν τὴν σύμπασαν γῆν· πεπλήρωκας τῶν πνευματικῶν χαρισμάτων τοὺς κατὰ πᾶσαν ὄντας τὴν ὑπ' οὐρανόν· ἡμᾶς δὲ τοὺς τότε

1. Ματθ. 8, 29. 2. Ματθ. 10, 35. 3. Μιχ. 5, 1.

πλανωμένους, γῆν ὥσπερ τινὰ ξηρὰν ὄντας καὶ ἄνυδρον, καρποφόρον ἀνέδειξας, καὶ γονιμωτάτην, καὶ ἱερὰν ἀληθῶς.

Itidem et in versum proxime sequentem.

Ἀθανάσιος. Πρὸς δὲ νοῦν ποταμὸς Θεοῦ ὁ Μονογενής. Ὡς γὰρ ἀπὸ πηγῆς ἔρχεται ποταμός, οὕτω καὶ αὐτὸς ἐκ τῆς τοῦ τεκόντος οὐσίας, καὶ ἔστιν ὁμοούσιος αὐτῷ· ὃς πλήρης ὑδάτων ἐστίν· ἐπεὶ τὸ πλήρωμα τῆς θεότητος ἐν αὐτῷ κατοικεῖ. «Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ· πλήρης χάριτος καὶ ἀληθείας.[1]» Νοηθείη δ' ἂν ποταμὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, πλῆρες ὑδάτων τῶν διαφόρων χαρισμάτων. Ἡτοιμάσθαι δέ φησι τὴν πνευματικὴν τροφήν, διότι πρὸ καταβολῆς κόσμου ὥρισται τὸ Χριστοῦ μυστήριον, «ὅς ἐστιν ἄρτος ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.[2]» Ὅτι οὕτως, φησίν, ἡ ἑτοιμασία τῆς ἀληθινῆς τροφῆς, ὡς αὐτὸς ἡτοίμασας, καὶ οὐκ ἄλλως (ἄλλος)· ἀντὶ τοῦ, προνοητικώτατα καὶ θεοπρεπῶς. Θεῷ γὰρ πρέπει τοιαῦτα ἑτοιμάζειν, ὧν οἱ μεταλαμβάνονται εἰς ἀξίαν Θεοῦ διὰ τῆς μετανοίας ἀναβαίνουσιν.

Adhuc in versum sequentem, præmissa rursus Theodoreti sententia, v. 11.

Ἀθανασίου καὶ Εὐσεβίου. Θεωρητικῶς δέ· Ἐπίμεινον, φησί, Δέσποτα, τὰ βάθη τῆς καρδίας τῶν ἀνθρώπων καθάπερ τινὰς αὔλακας ἄρδων, καὶ μεθύσκων, καὶ εἰς καρπογονίαν διεγείρων· ὥστε πληθυνθῆναι τὰ γεννήματα τῆς δικαιοσύνης αὐτῶν, οὐ μόνον διὰ τοῦ ποταμοῦ (τουτέστι τῆς τοῦ Πνεύματος χάριτος), ἀλλὰ καὶ διὰ τῶν φερομένων ψεκάδων, ὡς παρά τινων νεφελῶν τῶν διδασκάλων, τουτέστι διὰ τῶν νοημάτων τῶν θείων Γραφῶν.

Et in proxime annexum v. 12.

Ἀθανάσιος. Κατὰ μὲν οὖν τὸ ῥητόν, ἐνιαυτὸν χρηστότητος εὐλογούμενον τὸν τῆς εὐθηνίας ὠνόμασεν, ὡς τῇ τοῦ Θεοῦ χρηστότητι τὴν εὐετηρίαν δεχόμενον, καὶ εὐλογίας διὰ τῆς εὐθηνίας πληρούμενον· πρὸς δὲ νοῦν. *Sequentia Cyrilli sunt. Et paulo post, Θεοδωρήτου καὶ Ἀθανασίου.* Εἴη δ' ἂν καὶ ὁ μέλλων αἰὼν στέφανος χρηστότητος, διὰ τὸ ἐν πολλῇ χρηστότητι τοὺς ἁγίους ἐν αὐτῷ στεφανοῦσθαι.

Item in illa: «Et campi tui complebuntur pinguedine.» Præmissa Theodoreti litterali explicatione subtexit.

Ἀθανάσιος. Πρὸς δὲ νοῦν πεδίοις καὶ γαίαις παρεικάζει τὰς τῶν πιστευόντων ψυχάς. Ἃς τοῖς θείοις καὶ πνευματικοῖς χαρίσμασι καταπιαίνει Θεός, ἵνα δύνωνται φέρειν τοὺς τῆς εὐσεβείας καρπούς.

1. Ἰω. 1, 14. 2. Ἰω. 6, 33.

Et in verba: «Pinguescent speciosa deserti», etc., v. 13.

Ἀθανασίου. Πρὸς δὲ νοῦν ὡραῖα τοὺς ἁγίους ἀποστόλους καὶ εὐαγγελιστάς φησι, τοὺς εὐτραφεῖς γεγενημένους τοῖς πνευματικοῖς χαρίσμασιν. Ἔρημον δὲ τὴν Ἐκκλησίαν ἀποκαλεῖ, τὴν πάλαι ἔρημον οὖσαν τῆς περὶ Θεοῦ γνώσεως.

Et in verba sequentia, v. 3. Theodoreti explicationi subjiciuntur hæc.

Ἀθανασίου, Κυρίλλου. Πρὸς δὲ νοῦν· Τῆς τοῦ Θεοῦ φανείσης χρηστότητος, ἡ πάλαι ἔρημος καρποφορήσει, καὶ οἱ βουνοί, οἱ ταῖς εἰδωλικαῖς θυσίαις μιαινόμενοι, τοὺς τὸν ἀγγελικὸν αἱρουμένους βίον δεξάμενοι, εὐφρανθήσονται. Ἢ βουνοῖς ἀπεικάζει τοὺς κατὰ καιροὺς τῶν ἁγίων Ἐκκλησιῶν ἡγουμένους, καὶ λαῶν προεστηκότας, ἤτοι ποιμένας καὶ διδασκάλους. Ὥσπερ γὰρ τῆς ἄλλης ἁπάσης γῆς ὑπερανέχουσι τὰ ὄρη καὶ οἱ βουνοί· τὸν αὐτὸν τρόπον καὶ ἡ τῶν ἁγίων μυσταγωγῶν ἀξία ὑψηλοτέρα τῶν ἄλλων ἐστίν. Οὗτοι καὶ ἀγαλλίασιν περιζώννυνται, τουτέστι τὴν τοῦ πνεύματος παράκλησιν.

Rursum in verba ista: «Et valles abundabunt frumento.»

Γρηγορίου Θεολόγου καὶ Ἀθανασίου. Αἱ μὲν τῆς γῆς τὸν αἰσθητὸν καὶ ἐφήμερον· αἱ δὲ τῶν ψυχῶν τῶν καλῶς τῷ λόγῳ γεωργουμένων τὸν πνευματικὸν καὶ αἰώνιον. Αἱ γὰρ πάλαι, φησίν, ἀπορώταται καὶ ἄγονοι τῶν ἐθνῶν ψυχαὶ πνευματικῷ καρπῷ ἔσονται πλήρεις.

Et in verba utltima, Theodoreto subjungitur.

Ἀθανάσιος. Ἁπλῶς δέ· Ἅπαντες, φησίν, οἱ προλεχθέντες σὺν πάσῃ προθυμίᾳ τὸν Θεὸν ἀνυμνήσουσι, τὴν τοιαύτην μεταβολὴν τῇ τῶν ἀνθρώπων δωρησάμενον φύσει.

In psalmi LXV versum primum, post Theodoreti explicationem sequitur.

Ἀθανασίου. Κατὰ δὲ θεωρίαν, ἀλαλαγμός ἐστιν ἐπινίκιος ὕμνος ἐπὶ ἐχθροῖς πεπτωκόσιν ᾀδόμενος. Ὡς οὖν ἀνῃρημένων τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου διὰ τῆς Χριστοῦ παρουσίας, πάντα τὰ ἔθνη τοὺς ἐπινικίους ὕμνους ἀναπέμπειν παρακελεύεται τῷ τῆς νίκης αἰτίῳ Θεῷ καὶ τῷ ὀνόματι αὐτοῦ, τουτέστι τῷ Υἱῷ.

Ὡς γὰρ ἡμεῖς διὰ τοῦ ὀνόματος αὐτοῦ γνωριζόμεθα, οὕτω καὶ ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ.

Rursum in sequentem versum 2. Præcedi similiter Theodoretus.

Κύριλλος, Ἀθανάσιος. Καὶ οὕτω μὲν πρὸς ἱστορίαν· πρὸς δὲ πνευματικὴν ἔκληψιν λίαν φοβερὰ τὰ ἔργα Χριστοῦ, εἴτουν αἱ θεοσημεῖαι, καὶ τό, ἐκποδὼν γενέσθαι τῶν ἀκαθάρτων δαιμόνων τὰ πλήθη. Πλῆθος δὲ καὶ περιουσία δυνάμεως ἡ ἀνάστασις αὐτοῦ, καταστρέφουσα μὲν τοῦ θανάτου τὸ κράτος, ἅπασαν δὲ τὴν ἀνθρώπου φύσιν εἰς ἀφθαρσίαν ἀνακαινίζουσα. Ἐπεὶ δὲ Ἰουδαῖοι, τῶν Χριστοῦ θαυμάτων γενόμενοι θεωροί, δέον ἐκπλήττεσθαι, τὸν τερατουργὸν ἐνδιέβαλλον, καὶ πλάνον ἐκάλουν, ἐπιπλήττων ὁ ψάλλων φησί· Παύσασθε, εἴπατε δὲ μᾶλλον αὐτῷ, ὅτι Φοβερὰ τὰ ἔργα σου. Εἶτα ἐπεὶ ἀπειθοῦντας ἑώρα, ἀφεὶς τὸ πρὸς αὐτοὺς διαλέγεσθαι, τῷ συκοφαντουμένῳ Χριστῷ προσομιλεῖ, λέγων· Πολλή σου ἡ δύναμις, εἰ καὶ οἱ ἐχθροί σου ἐψεύσαντό σε, ἑκουσίως πρὸς τὸ φανὲν τῷ κόσμῳ θεῖόν σου φῶς μύσαντες, καὶ μηδὲ τῶν θαυμάτων τῆς ὑπερβολῆς παρενεγκούσης αὐτοὺς εἰς τὸ πείθεσθαι. Πλήθει γὰρ δυνάμεως τοῦ Κυρίου ἡμῶν ἐκτελέσαντος τὴν οἰκείαν ἐκ νεκρῶν ἀνάστασιν κατὰ τὸ ἀνθρώπινον, οἱ ἐχθροὶ αὐτοῦ Ἑβραῖοι ἐψεύσαντο αὐτόν· τουτέστιν, ἐνδιέβαλλον τὴν ἀνάστασιν.

Et in versum proxime cohærentem 4.

Ἀθανάσιος, Κύριλλος, Γρηγόριος Νύσσης. Εἰ καὶ Ἰουδαῖοι, φησίν, ἀρνήσονταί σε, ἀντ' ἐκείνων ὑποκλιθήσεταί σοι καὶ προσκυνήσει πᾶσα ἡ γῆ, ἤτοι τὰ ἔθνη τὰ κατοικοῦντα τὴν γῆν. Οὐκέτι γὰρ ἐν Ἱερουσαλὴμ ἡ προσκύνησις, τῆς νομικῆς παυσαμένης σκιᾶς, κατὰ τό· «Προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ[1]», καὶ τῆς προσκυνήσεως γενομένης ἐν πνεύματι καὶ ἀληθείᾳ, καταλλήλων ἔργων γινομένων τῇ προσκυνήσει Θεοῦ, τῆς αὐτοῦ προσηγορίας ἐπικληθείσης αὐτοῖς. Πρόρρησις δὲ ταῦτα τοῦ παρόντος καιροῦ, καθ' ὃν ἐν ἅπασι τοῖς ἔθνεσιν ὁ τῶν ὅλων ὑμνεῖται Θεός, καὶ ὁ Δεσπότης Χριστὸς ὕψιστος παρὰ πάντων καλεῖται.

Rursum in ista verba: «Venite et videte opera Dei», etc., 5.

Ἀθανάσιος. Τῶν ἀποστόλων ἐνταῦθα εἰσάγει τὸ πρόσωπον, διδασκόντων τὰ ἔθνη, ὡς ἄρα οὗτος ὁ ἐν τῇ κατὰ σάρκα παρουσίᾳ τὰς θεοσημείας ἐργαζόμενος, αὐτόν ἐστιν ὁ πάλαι τὴν Ἐρυθρὰν θάλασσαν ξηράνας, καὶ μὴν καὶ τοῦ Ἰορδάνου ἀνακόψας τὰ ῥεύματα, ὡς ποσὶ παρελθεῖν τοὺς υἱοὺς Ἰσραήλ. Φησὶν οὖν· Ἐπιστήσατε τὸν νοῦν καὶ κατανοήσατε τῶν ὑπὸ τοῦ ἀγαθοῦ Θεοῦ γινομένων ἑκάστων, ὅπως ἐστὶν ἐν βουλαῖς ἀκατάληπτος· καὶ τὴν ἄρρητον αὐτοῦ σοφίαν θαυμάσατε, δι' ἧς τὸ τῶν ἀνθρώπων γένος ποδηγεῖ πρὸς εὐσέβειαν.

1. Σοφ. 2, 11.

Φοβεραῖς γὰρ καὶ θαυμασταῖς μηχαναῖς ὑπὲρ τῆς τῶν ἀνθρώπων κέχρηται σωτηρίας.

In verba ejusdem: «Ibi tœtabimur», etc., v. 6.

Ἀθανασίου. Πρὸς δὲ νοῦν· Ἐκεῖ σὺν Χριστῷ βασιλεύσομεν, ἡνίκα τοῦ νέου αἰῶνος βασιλεύσει, καὶ εὐφρανθησόμεθα ἐπ' αὐτῷ. Εὐφραινόμεθα δὲ ἐν τῷ ποιήσαντι τὰ δυσχερῆ ῥᾴδια.

Similiter in versum sequentem 7.

Ἀθανάσιος, Εὐσέβιος. Κατὰ δὲ πνευματικὴν ἐκδοχὴν ὀφθαλμοὺς Θεοῦ τοὺς ἀποστόλους νοήσομεν· παραπικραίνοντας δὲ τοὺς Ἰουδαίους, οὓς καὶ οἱ προφῆται οἶκον ἐκάλουν παραπικραίνοντα. Τίς γάρ, φησίν, ὁ παραπικραίνων ἀλλ' ἢ ὁ οἶκος Ἰσραήλ.[1] Τῷ γοῦν παραπτώματι τοῦ Ἰσραὴλ ἐπὶ τὰ ἔθνη ἐπεῖδεν ὁ Κύριος. Ὅθεν μὴ ὑψούσθωσαν οἱ ἀσεβεῖς, ὡς δυνάμενοι ἀπολέσαι τοὺς τῷ Εὐαγγελίῳ προσερχομένους· ἀλλὰ μηδ' ὁ ὑπερόπτης λαός, ἤγουν ὁ Ἰσραήλ, μέγα φρονείτω, μηδὲ κατὰ τῆς τῶν ἐθνῶν πληθύος ὑψηλὴν ἐπαιρέτω τὴν ὀφρύν. Μὴ λεγέτω καθ' ἑαυτόν· Ἐγὼ γέγονα πρωτότοκος ἐν τέκνοις Θεοῦ· ἴστω δὲ μᾶλλον, ὅτι παρεπίκρανε τὸν κτίσαντα. Διὸ καὶ μετέστησεν ἀπ' αὐτοῦ τὴν ἐπισκοπήν.

Eadem ratione in verba sequentia.

Ἀθανάσιος. Πρὸς δὲ νοῦν οἱ ἀπόστολοι τοῖς ἐξ ἐθνῶν φασιν· Ὅταν ἀκούσητε παρ' ἡμῶν, τίνα τρόπον προσήκει δοξολογεῖν, τότε μεθ' ἡμῶν εὐλογήσατε, οὐκ ἔτι τοὺς ψευδωνύμους θεούς, ἀλλὰ τὸν Θεὸν ἡμῶν τὸν τῆς ζωῆς δοτῆρα. Ζωὴ γὰρ ἦν ἡ τοῦ παραδείσου τρυφή, ἐν ᾧ ἔθετο ὁ Θεὸς τὸν ἄνθρωπον ἐργάζεσθαι καὶ φυλάσσειν αὐτόν.

Eodem modo in verba: «Probasti nos, Deus», etc., v. 10.

Ἀθανασίου, Κυρίλλου. Πρὸς δὲ νοῦν τὰς θλίψεις τὰς γενομένας διὰ τὸ κήρυγμα τοῖς ἀποστόλοις τὸ Πνεῦμα προαναφωνεῖ, ἐκ προσώπου αὐτῶν ταύτας καταλέγον. Ὥσπερ γὰρ ὁ ἄργυρος πυρὶ τηκόμενος εὖ μάλα διακαθαίρεται, οὕτω καὶ αἱ τῶν ἁγίων ψυχαὶ παντὸς ἀπαλλάττονται ῥύπου, ταῖς τῶν πειρασμῶν ἐφόδοις προσβάλλουσαι νεανικῶς. Καὶ ἡ αὐτῶν εὐδοκίμησις διὰ πυρώσεως γίνεται, δοκιμαζομένων ὡς διὰ πυρός. Ταύτας τὰς φωνὰς τοῖς ἁγίοις μάρτυσιν ὁ Παῦλος ἀνατίθησιν. Ἀλλὰ καὶ οἱ διὰ πυρὸς καὶ ὕδατος τοῦ ζέοντος θυμοῦ, καὶ τῆς διακεχυμένης ἡδονῆς καὶ ἐπιθυμίας διελθόντες, καὶ μὴ ἐναπομείναντες τούτοις τοῖς πάθεσιν, εὑρίσκουσι τὴν ἀνάψυξιν.

1. Πρβλ. Ἰεζ. 2, 5.

Item in verba: «Introibo in domum tuam», etc., v. 13.

'Αθανάσιος. Πρὸς νοῦν φασὶν οἱ ἀπόστολοι· Εἰσελευσόμεθα εἰς τὸν ναὸν τὸν ἐπουράνιον οὐκ ἐν αἰσθητοῖς, ἀλλ' ἐν νοητοῖς ὁλοκαυτώμασιν. Ὅλους γὰρ ἑαυτοὺς ἀνέθηκαν τῷ Θεῷ ἐν τάξει ὁλοκαυτωμάτων.

Adhuc in sequentia.

'Αθανάσιος, Κύριλλος, Βασίλειος. Πρὸς δὲ διάνοιαν· Πνευματικὰ πάντα καὶ τὰ ὁλοκαυτώματα, καὶ οἱ βόες, καὶ οἱ χίμαροι, οὓς ἀποδώσειν ἐπαγγέλλεται. Καὶ μετὰ κριῶν δὲ προσφορὰ γίνεται. Εἰσὶ δὲ κριοὶ κινήσεις καὶ ὁρμαὶ ἀπὸ τοῦ θυμικοῦ τῆς ψυχῆς τὴν ὁρμὴν ἔχουσαι, ἢ λογισμοὶ ἡγεμονικοὶ τὰ πάθη κερατίζοντες. Βοῦν δὲ ἱερουργεῖ ὁ προσάγων θυσίαν ζῶσαν ἑαυτὸν διὰ πράξεως. 'Αναλογεῖ γὰρ τῷ ἐκ τῆς γῆς πλασθέντι σώματι, γεωπόνον ὑπάρχον τὸ ζῷον ὁ βοῦς. Χίμαροι δὲ τὰ μετανοίας ἔργα· περὶ ἁμαρτίας γὰρ προσεφέροντο. Θυμίαμα δὲ ἡ ἀποπνέουσα τῶν καθαρῶν ψυχῶν εὐωδία.

Et in verba: «Venite, audite», etc., 16.

'Αθανάσιος. Οἱ μέντοι ἀπόστολοι οὐκ ἀρχαίων διηγημάτων ποιοῦνται μνήμην· ἀλλὰ τὰ νέα τοῦ Σωτῆρος ἡμῶν θαυμάζουσι κατορθώματα, ὅσα ταῖς ἁπάντων ἡμῶν ψυχαῖς ἐχαρίσαντο.

Item in psal. LXVII verba: «Sicut deficit fumus, deficiant», etc., 3.

'Αθανασίου. Τάχα δὲ ἁμαρτωλοὶ οἱ τῆς ἁμαρτίας εὑρεταὶ δαίμονες· οἳ καὶ ὡς καπνὸς ἐκλείπουσι, τῷ ἁγίῳ Πνεύματι ἐλαυνόμενοι καὶ σκεδαννύμενοι· καὶ ὡς κηρὸς τήκονται ὑπορρέοντες τῇ ἐπιφανείᾳ τοῦ Χριστοῦ, ὃς πῦρ λέγεται καταναλίσκον τὴν μοχθηρίαν. Καὶ λοιπὸν οἱ δικαιωθέντες ἐκ πίστεως, καταλυθείσης τῆς τυραννίδος τῶν δαιμόνων, εὐφραίνονται.

Item in ejusdem psalmi verba: «Parate viam ei, qui», etc., 5.

Εὐσεβίου, 'Αθανασίου. Καὶ ὁ τῆς δικαιοσύνης ἥλιος, μορφὴν δούλου λαβών, καὶ τὰς ἀκτῖνας τῆς αὐτοῦ ὥσπερ συστείλας θεότητος, καὶ καταδὺς ἐν τῷ σώματι, ἢ καὶ ἐν αὐτῷ τῷ θανάτῳ, τὸ κατακεχυμένον τῶν ἀνθρωπείων ψυχῶν σκότος ἀπήλασε. Πλὴν εἰ καὶ τῆς ἡμετέρας ἐπέβη πτωχείας, καὶ τὴν οἰκείαν οἰκονομικῶς συνεσκίασε δόξαν, τὴν εἰς ἀνθρώπους ποιησάμενος πάροδον καὶ τὴν ἔνσαρκον ἐνδημίαν, ἀλλ' οὖν Κύριος ὄνομα αὐτῷ. Καὶ γὰρ ἄνθρωπος γεγονὼς οὐκ ἀπέβαλε τὸ εἶναι Θεός. Παρακελεύεται τοίνυν ὁ λόγος τοῖς ἱεροῖς ἀποστόλοις μετὰ χορείας καὶ ὑμνῳδίας εἰς τὰ ἔθνη δραμεῖν, καὶ τὴν ὁδὸν τῶν

ψυχῶν αὐτῶν εὐτρεπίσαι τῷ τῶν ὅλων παμβασιλεῖ διὰ τοῦ κηρύγματος. Εἶεν δ' ἂν δυσμαὶ εἴτουν νύκτες καὶ αἱ τοῦ τῆς δικαιοσύνης ἡλίου ἐκπεσοῦσαι ψυχαί· ὧν Χριστὸς τὸν τῆς πλάνης ζόφον ἐξήλασεν, ἐνοικήσας αὐταῖς διὰ πίστεως.

Item in psalm. LXXII verba: ***Καὶ ὑπέλαβον τοῦ γνῶναι***, *etc.*, *v. 16.*

Κατὰ δὲ τὸν θεῖον 'Αθανάσιον, ὑπονοήσας, φησί, τὰ οὕτω βαθέα γνῶναι κρίματα, ἐν κόπῳ ἐνέβαλον ἐμαυτόν, ἅτε ἀνεξερευνήτων ὄντων. Πλὴν τὸν δέοντα εἰς τὴν τούτων γνῶσιν ἐμαυτῷ πεπόρισμαι καιρόν. Οὗτος δὲ ἦν ὁ τοῦ δικαστηρίου καιρός, ὅτε ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τότε γὰρ ἀκριβῶς οἱ μικρόψυχοι εἴσονται, ὁποῖον μὲν ἡ ἀρετή, ὁποῖον δὲ ἡ κακία.

Et in psal. ejusdem verba: *«Quid enim mihi est in cœlo», etc., 25.*

Κατὰ δὲ τὸν ἱερὸν 'Αθανάσιον· 'Επειδὴ οὐδέν μοι, φησίν, ὑπάρχει ἐν τῷ οὐρανῷ πλὴν σοῦ μόνου, ἀναγκαίως οὐδέ τι τῶν ἐπὶ γῆς ἠθέλησα δέξασθαι παρὰ σοῦ, ἅτε φθαρτῶν ὄντων πάντων καὶ προσκαίρων· ἑνὸς δὲ μόνου ηὐχόμην τυχεῖν, καὶ τῷ τούτου πόθῳ κατέτρυχον ἐμαυτὸν ἐπὶ τῆς γῆς. Τοῦτο δέ ἐστι τὸ σὲ μερίδα μοι καὶ μόνον γενέσθαι. 'Εξέλιπε γὰρ ἡ καρδία μου· τί ἐπιζητοῦντος; τὰς ἄνω διατριβάς.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν ο′.

Π Ι Ν Α Ξ
ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Ἐπισκόπου Ἀχαΐας Παντελεήμονος Καρανικόλα.)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.— γ) Ὅπου ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σ ἢ σ-ς, αἱ σελίδες δὲν ἔχουν τοὺς στίχους ἠριθμημένους.